3 1761 05411673 6

UNIV. OF
TORONTO
LIBRARY

Digitized by the Internet Archive
in 2009 with funding from
University of Toronto

http://www.archive.org/details/moralia07plut

LGr
P737mB

985-77

PLUTARCHI CHAERONENSIS

MORALIA

RECOGNOVIT

GREGORIUS N. BERNARDAKIS

VOL. II.

47653
99

LIPSIAE
IN AEDIBUS B. G. TEUBNERI.
MDCCCLXXXIX.

LIPSIAE: TYPIS B. G. TEUBNERI.

ΛΟΥΔΟΒΙΚΩΙ Φ. ΛΙΜΠΡΙΤΗΙ

ΦΙΛΙΑΣ ΕΝΕΚΑ.

PRAEFATIO.

“Ζεὺς γὰρ μεγάλης γλώσσης κομπους ὑπερεχθαίρει.”

Praefandi occasionem et alia multa mihi dederunt et id potissimum quod professor Gottingensis Udalricus de Wilamowitz-Moellendorff huius editionis censuram vehementissimam et iniquissimam Indici Scholarum per semestre aestivum a. MDCCCLXXXIX habendarum Gottingae p. 21 intexuit. Cuius criminationibus hic respondeo non solum ut me immerito accusatum defendam, sed etiam ut hac occasione oblata quaestiunculas quasdam in altera Praefatione non satis ut videtur illustratas melius explicem.

Cum hanc editionem ut multorum annorum laboris fructum in medium proferrem, fore ut mihi neque adhortatio neque ad operam perdifficilem continuandam confirmatio deesset valde sperabam. Re vera spes me prorsus non fefellit. Sed ut mihi stimulos non defuisse grato animo profiteor, ita silentio premere non possum quod iudicium iniquissimum tulit censor Gottingensis nulla alia causa quam quod veritatem eloqui non deterritus sum. Sed ipsum potius audiamus: ‘peccamus omnes’ inquit ‘neque exagitarem hoc (i. e. errorem in loco laudato) nisi laudari vidissem mercennariam operam, quam ille in provincia collocavit per Hercheri

mortem deserta.' In quibus quid mercennariam operam dicat, candide profiteor me minus assequi posse. Itaque ad coniecturam defugiendum est. Si intellegit me quaestus causa hanc provinciam aggressum esse, vehementer errat. Non semel sed saepe ut codices, qui ad editionem constituendam necessarii essent, conferrem, viae me commisi. Ad quos excutiendos et perlegendos ter me in Italiam contuli, bis Parisios, semel Athonis monasteria visi, multa alia itinera ingressus sum atque ut videtur, ante quam haec editio terminata sit, ingrediar. Quantum enim vis accurate conferto et excutito codicem, erit cur eum denuo inspicere velis. Praeterea, ut ad aliud accedam, omnium qui ad Plutarchi Moralia spectant librorum pretium numerato solvendum mihi est, saepe dum ad manus perveniant intempestive exspectanti. Verum tamen quam multis libris opus mihi sit Mytilenis permanenti et quam paucos possidere liceat (nam non dives sum) manifestum est. Quibus si addideris me stimulis et incitamentis quae in Germania abundant prorsus carere, facile concesseris Ud. W. Moellendorff, si ad vitam Mytilenis degendam condemnatus fuisset, ne istas quidem miscellaneas observatiunculas in lucem prolaturum fuisse. Minime igitur haec exaggeravi in altera Praefatione p. XIV dicendo: 'quanto cum labore, dispendio, patientia' codices contulissem, solos 'qui eundem laborem perpessi sunt, iudicium facere' posse. Negotium igitur, quod mihi bibliopola honestissimus mandavit, animo gratissimo accepi, praesertim cum, nisi mandasset, meis impensis Plutarchi Moralia edenda essent. At revera operae pretium, quamvis *δόσιν ὀλίγην τε φίλην τε*, prae dispendio in hac opera constituenda collocato minimum esse quis negabit? Quae omnia si ipse U. W. Moellendorff respexerit, fore puto ut et is male mihi id quidem exprobrasse se intellegat.

Sed unde tantae irae? Cur hic impetus vehemens? Profiteor me, quamquam et multum et diu de hac re cogitaverim, nullam aliam causam idoneam invenire potuisse quam Thucydideam hanc: *μέχρι γὰρ τοῦδε ἀνεκτοὶ οἱ ἔπαινοί εἰσι περὶ ἑτέρων λεγόμενοι, ἐς ὅσον ἂν καὶ αὐτὸς ἕκαστος οἴηται ἱκανὸς εἶναι δρᾶσαί τι ὧν ἤκουσε· τῷ δ' ὑπερβάλλοντι αὐτῶν φθονοῦντες ἤδη καὶ ἀπιστοῦσιν.* Neque minus haec: 'qui invident egent: illi quibus invidetur rem habent.' Sed minime dolendum adversarium habere tam invidiosum.

'Fragmentum' inquit 'est 343 legiturque in Nauckii Sylloga p. 168. Iam' inquit 'Herchero accidit ut ad Homeri versum subscriberet 'Nauck p. 343', ad Sophocleum 'Nauck p 168'. haec totidem verbis Bernardaces repetenda curavit, fraudis in hexametro tragico nihil odoratus.'

Error in Hercheri editione, quam cum correctior videretur, meae subesse volui, est. Quam in rem neque gravissimam sane neque maximam, cum fiduciam Herchero haberem, accuratius inquirere neglexi, praesertim cum neminem credidissem futurum, qui unum in loco laudato errorem tanta cum iniquitate et acrimonia castigaturus esset atque huius unius erroris causa (nam nullum alium profert) conclusurus 'fundamentum recensionis non esse iactum'. Contra equidem et putabam et puto lectorem benevolum mea huius rei imperitia quadam respecta atque eo quod procul a loco, ubi et hic liber imprimitur et libri plurimi sunt, permaneo, et eius modi vitia et alia graviora concessurum. Sed ne ipsum quidem censorem serio contendere opinor Hercheri errorem (ut mittam id quod nemo unquam exstitit qui eum in Hercheri editione castigaret; in mea privatim mihi Nauckius pridem indicavit) non ipso auctori deberi, sed mihi qui totidem verbis repetenda curaverim fraudis in hexametro tragico nihil odoratus

(quasi Hercher odoratus fuisset); quin etiam hunc errorem repetitum unum, quem puer quoque redarguere possit, ita gravem esse, ut liber iste, quo error repetitus insit, et male esse recensitus et fundamento critico carere dicatur. Sed Herchero accidit (semel certo) ut ad Homeri versum subscriberet: 'Nauck p. 343'. Postea vero, cum et versum et adnotatiunculam saepius legisset, cur accidit, ut errorem non corrigeret? Sane nulla alia causa quam quod non vidit se ad Homeri versum subscripsisse: 'Nauck p. 343'. At id mihi quoque accidit, ut hanc adnotatiunculam: 'Nauck p. 343' ad versum Homericum referri non animadverterem. Si animadvertissem, correxissem sane. Sed Herchero hoc accidisse argumentatur censor et ignoscendum illum quidem esse; mihi non idem accidisse, quod ego nihil fraudis odoratus essem: vel ut aliis verbis utar vidisse me quidem sed non intellexisse Naucki Fragmentis Tragicorum fragmenta epica contineri non posse. Ergo *ἀγχόνης ἄξιον* me esse. *Ὦ Ζεῦ βασιλεῦ, τῆς λεπτότητος τῶν φρενῶν*! Eidem vero censori accidit, ut huius eiusdem dissertationis pag. 26 adnot. 3 subscriberet: 'Nauckius inter fragmenta adespota recepit sub numero 305.' Sed fragmentum est s. num. 318. Neque est liber qui eius modi erroribus prorsus vacuus sit. Verum tamen prorsus alia vitia sunt ea, quae cum sint liber fundamento recensionis carere dicatur. Quae ea sint infra indicabitur. Ceterum parum curo et laudem in hexametro tragico invento positam et gloriam quam sibi comparavit eo quod Naucki sylloga investigata nullum inesse hexametrum sibi persuasit. Pusilli animi est talia premere et castigare.

Quibus addidit cum indignatione et contemptu haec: 'at hercle aliud est recensere librum, aliud emendatiunculas aliquot excogitare quamvis elegantes et hiatus pernumerare.'

Quae ut maxime calumniosa ita minime accurata sunt. Partem enim minimam eorum quae Praefatione continentur, omissis plurimis et summis quae eadem in Praefatione tractantur cum indicat, manifesto lectorem adducere conatur, ut me in Praefatione nisi de emendatiunculis et hiatibus non disputasse existimet; id quod falsissimum est. Verum tamen in eadem Praefatione, ubi de codicum virtute dicitur, maximum exemplorum numerum protuli: DCCCLXV testimonia i. e. lectiones optimas certas et indubitatas, quibus ne ipsae quidem quae palmares dicuntur emendationes comparari possunt. Quibus quot loci desperati, ut voces singulas omittam, persanati sint, quot lacunae completae, quot sententiae amissae in lucem redierint, invidiosum esset pernumerare, neque nisi coactus fuissem rem commemorarem. Hoc est verum fundamentum recensionis. In Praefatione autem disputatur 1) de Plutarchi librorum ordine in codicibus (p. VIII—p. XV). 2) de codicibus quibus in editione constituenda usus sum (p. XI—XV). 3) codices describuntur, virtus multis exemplis ex ipsis codicibus petitis illustratur, atque qui codices quibus in scriptis sequendi sint indicatur (p. XV—L). 4) Treui collationes ex codicibus Parisinis emendantur, atque eorum virtus nonnullis testimoniis declaratur (p. L—LV). Deinde in capite altero haec: 5) sermo Plutarcheus. Periodorum constructio et longitudo multis cum exemplis (p. LV—LVIl). 6) textus emendatio ipsius scriptoris sermoni innitenda est; id quod multis exemplis declaratur (p. LVII—LXI). 7) formarum varietas ex hiatu praecipue evitando repetenda est (p. LXI—LXXVI). 8) multae duplices ac triplices formae librariis debentur (p. LXXVI—LXXXVII). 9) orationis variandae etiam aliae causae inveniri possunt (p. LXXXVII—XC). 10) ratio quam in textu recensendo secutus sum (p. XC—XCII). Haec est summa,

minutiis multis omissis, Praefationis. In quibus quaestionibus et quid, cum id a recensione libri abhorreret, ego addidissem ostendere censor debebat et quid, cum artissimo vinculo cum hac recensione coniunctum esset, ego omisissem. Sed nihil eorum cum neque fecerit neque facere possit, postulat ut sibi credatur.

Ex iis omnibus luce clarius efficitur professori Gottingensi munus fuisse hoc, ut editionem meam apud lectores calumniaretur, nam ne ea quidem quae de emendatiunculis dicit vera sunt. Emendatiuncula dici potest ea quae in scriptore semel aut non saepe quidem edito fiat, velut in Erotiano, Himerio, aut interdum in ipsis inscriptionibus. Emendatiunculae exemplo sit quod in verbis Himerii (ecl. I 4 p. 22) *χρυσὸς* pro *χρόνος* correxit, cum *χρυσόν* eodem compendio quo *χρόνον* scribi omnibus notum sit. Verum tamen loci quem multi et optimi critici frustra tentaverint correctio si emendatiuncula appellanda est, quae demum erit emendatio? Et re vera emendatiunculae, quas dicit, eorum sunt locorum, quos a multis et praestantissimis criticis frustra tentatos, ego (venia sit dicto) codicum ope et textu innisus correxi.

Continuatur: 'Bernardaces quid ipse possit in proximis demum tomis aestimari poterit: unum iam nunc constat fundamentum recensionis non esse iactum.' Quae omnia latenter et fraudulenter dicta sunt. Ut enim ex antecedentibus facile intellegitur censorem, ut suo livori indulgeret, Praefationis capita perticuisse, ita hic palam ignorare videtur quae in Indice Teubneriano (vid. Mitteil. No. 5. 1887) publice professus sum. Quo in Indice disertis verbis promisi me falsas solas codicum lectiones, quae in textu coniectura suppletae essent, adnotaturum ac selectas quasdam probabilesque coniecturas appositurum. Nihilo minus etiam in Praefatione non semel indicavi hanc editionem minorem esse (cf.

Praefat. p. VIII: 'Nunc igitur negotio, ut editionem minorem constituerem, mandato, magna laetitia afficior me — publici iuris facere posse partem saltem apparatus mei, sperans me alio tempore, si minor approbata fuerit, ampliorem editionem prolaturum'). Denique ex pacto quoque cum bibliopola honestissimo converto me in minorem editionem ad exemplum Hercherianae adornandam obstrinxi. Quae publice privatimque promissa me religiose solvisse iudices idonei et Germani et alii, quibus coram omnibus gratias ago, publice professi sunt. Solus U. W. Moellendorff ab hac minore editione quae aequus iudex ab ampliore postulare videtur, iure an iniuria ipse videat. — Nos reliqua videamus: 'atque vehementissime optandum est, ut is qui indefesso studio, prospero successu, summa modestia viam ad codices Plutarcheos et cognoscendos et aestimandos aperuit, ab aemulo parum liberaliter virtuti et gloriae suae detractante ne se patiatur deterreri: Maximilianum Treuium dico.'

Quid de Plutarchi codicibus de quibus quomodo disseruerit Treuius ego aliquanto melius scire possum atque Praefationis magnam partem eius dissertationibus aestimandis destinavi. Sed quoniam aliis quoque qui in iis studiis versantur Treui scripta nota sunt pariter atque ea quae ego in Praefatione scripsi, mea de Treui scriptis sententia iustane an iniusta sit facile iudicari potest. Neque minime dubito quin iudex huius quaestionis aequus et idoneus U. W. Moellendorffium neque studio neque obtrectatione neque malevolentia liberum fuisse declaraverit. Atque rogo ut mihi dicat quid rei sit quod cum dixissem Treui gloriam et virtutem detrectaverim. Detrectatur gloria alicuius cum de eo falsa et calumniosa dicuntur; cuius rei exemplum facile invenerit vir summus. Equidem in Praefatione certas quasdam quaestiones tractavi; ergo ut quae de Treui

dissertationibus dixi ea vi exitiosa praedita sint, calumnias et mendacia contineant oportet; ea enim sola, cum de aliorum operibus dicuntur, et gloriam et virtutem detrectant. Necesse igitur est calumnias iis quae dixi inesse. At quaenam vero et ubi Praefationis sunt? Nonne debebat vir optimus, priusquam in hominem innocentem immeritumque hoc crimen contulit, aliquot exemplis illustrare?

Sed in rem paulo accuratius inquiramus. Multis locis et saepe Treuium laudavi, at usquequaque meam opinionem multis exemplis confirmavi (vid. p. XV. XVI. XXVI. XXVIII. XXXI. XXXV. XXXVIII. XLI XLIX. L). Quae si U. W. Moellendorff infirma et falsa putat redarguat. Verum tamen si quid non demonstravi, mihi indicet et officio non deero, modo ostendat. Atque ut paucis verbis rem comprehendam, de Treuio nihil dixi quod demonstrare non possim. Ad ea quae libere et aperte elocutus sum, si U. W. Moellendorff obticuerit, nullam rationem eorum quae iactat habendam esse in propatulo est. Neque tamen decorum ei fuerit silentium tenere, praesertim cum me etiam 'parum liberaliter' gloriam Treui detrectasse fecerit. At puto equidem parum liberalitatis non magis in eum qui veritatem religiose et candide dicat quam in eum qui veritatem mendaciis et calumniis contaminare minime vereatur maxime cadere. Ei tamen qui aliorum operas laudari non patiatur idque aperte dicat quid feceris et quomodo tantum livorem appellaveris? Si mea opera laudatur, quae est culpa mea? Si iudicium falsum est, redarguat sed testimoniis, non verborum inanium iactatione. Hoc decet virum veri tenacem et honestum. Verum tamen neque est quantum se cogitatione effingit et hac in re, qua de agitur, minus quam se putat idoneus est iudex. Id quod statim ostendam, ne quid sine testimoniis proferre videar.

Ad eam rem demonstrandam satis est testimoniorum; ex quibus Erotiani Praefatio (p. 17 sqq. impressa et recensita) iis potissimum de causis eligenda videtur, cum hoc prooemium ex sententia U. W. Moellendorffi ab Erotiano longarum periodorum amantissimo conscriptum homini ponti cuidam fuerit, quo ad Plutarchi periodos indeque ad meae editionis castigationem transiret. Altera causa est quod haec U. W. M. dissertatio, cum multa quaedam et generis diversissimi neque ullo interiore vinculo connexa fragmenta contineat, nihil aliud quod recensitum sit praebet; tum eandem Praefationem cum U. W. Moellendorffi iudicio quidem etiam longis periodis abundet, exemplo esse posse rationis, qua recensionem fieri iubeat ille, facile patet. Sed apponamus exemplum:

Τὴν Ἱπποκράτους πραγματείαν, ἀρχιατρὲ Ἀνδρόμαχε, οὐκ ὀλίγα συμβαλλομένην πᾶσιν ἀνθρώποις ὁρῶν, ὅσοι γε λογικῆς ἀντιποιοῦνται παιδείας, καὶ τούτων ἐξαιρέτως τοῖς ἰατροῖς (οἳ δὴ τὴν ἀρχαίαν ἱστορίαν οὐκ ἀποκηρύττουσι τῆς τέχνης, φιλοτίμως δὲ καὶ σφόδρα ἐπιπόνως ἅ τε οὐκ ἴσασι μαθεῖν ἐπιθυμοῦσιν ἅ τε καὶ δὴ (ita U. W. M.: *ἃ δὲ καὶ ἤδη*) *μεμαθήκασι κρίνειν σπουδάζουσι, τὸ μὲν ἀδίδακτον ὡς ἐνδεὲς τὸ δὲ ἄκριτον ὡς ἄπιστον παραπέμποντες), εἰκότως ἠβουλήθην τὰς ἐμφερομένας αὐτοῦ τοῖς συγγράμμασιν ἀσαφεῖς καὶ κατὰ πολὺ τῆς κοινῆς ἀνακεχωρηκυίας ὁμιλίας ἐξηγήσασθαι λέξεις (αἳ δὴ ἀγνοούμεναι μὲν ἱκανῶς ἀφαιροῦνται τῆς διανοίας τὸ πρὸς ἐπίστασιν ἕτοιμον, ἐξαπλωθεῖσαι δὲ καὶ ἐπὶ τὸ τηλαυγέστερον ἀχθεῖσαι πολὺ παρέξονται φῶς πρὸς τὸ εὐκατάληπτον τῆς ἐν τῇ διανοίᾳ συνθέσεως), καὶ μάλιστα ἐπεὶ πολλοὶ τῶν ἐκ τοῦ ῥᾴστου πάντα γινώσκειν ἐθελόντων ἰατρῶν οἳ μὲν οὐδ᾽ ὅλως μετὰ χεῖρας ἔχοντες σπουδάζουσι τὴν πραγματείαν* . . . . (lacunae signa dedit U. W. M. Supplendum fere esse ⟨*τινὲς δὲ ὧν οὐκ ἠδύναντο κατανοῆσαι τὴν καταφρόνησιν φαίνονταί*⟩ *τινος* cett.) *τινὸς*

χλεύης τελωνοῦντες, ὡς ἐπετήδευσεν Ἱπποκράτης ἀσαφὴς φανῆναι καὶ διὰ τοῦτο ἀνακεχωρηκυίας εὐπορῆσαι λέξεως ἐσπούδασεν (ita U. W. M.: λέξεις σπουδάσαι), καὶ ταῦτα μακρὰν μὲν τὴν τέχνην βραχὺν δὲ τὸν βίον οἰόμενος διὰ τὸ σαφῆ ποιῆσαι τὴν ὁμιλίαν καὶ πᾶσι φανεράν· δέδοται γὰρ ἡμῖν ὑπὸ τῆς φύσεως ⟨ὁ add. Kleinius⟩ λόγος πρὸς ⟨τὸ add. vulgata⟩ τὰς κατὰ διάνοιαν γεννηθείσας φαντασίας τοῖς πέλας ἐκτυποῦν. λελήθασι δὲ οἱ ταῦτα περὶ τοῦ ἀνδρὸς ἐπὶ τῶν μειρακίων φλυαροῦντες ὡς οὐ μᾶλλον καθ' (ita Stephanus: καὶ) Ἱπποκράτους ταῦτα ἀποφαίνονται, ὅσον τὴν αὑτῶν ἀμαθίαν εἰς ὕπαιθρον ἄγουσιν. εἰ μὲν γὰρ μόνος ἢ πρῶτος ἐπεπλάκει τὰς φωνάς, ἴσως αὐτοῦ τὸ περίεργον ἐμέμψατο ἄν τις; ἐπεὶ δ' αἱ παλαιαὶ συνήθειαι (ita U. W. M.: δὲ πάλαι αἱ συνήθειαι) ταύτῃ κέχρηνται τῇ περὶ τὴν διάλεκτον φορᾷ (ἐξ ὧν οἵ τε περὶ τὴν ἀρχαίαν κωμῳδίαν καταγινόμενοι ὁμοφωνοῦσι (ita U. W. M.: ἐμφαίνουσι) καὶ τῶν μὲν φιλοσόφων Δημόκριτος τῶν δὲ ἱστορικῶν Θουκυδίδης καὶ Ἡρόδοτος καὶ σχεδὸν ὁ σύμπας τῶν ἀρχαίων χορὸς συγγραφέων), τί δήποτε τὸ πᾶσι τοῖς ἀρχαίοις εἰρημένον συμβεβηκὸς τοῦτο καθ' Ἱπποκράτους κεκομίκασι μόνου; Post quaedam hic omissa continuatur ita:

ὅθεν ἐπεί τινες τὰ (ita U. W. M.: τινας) τῶν ἀρχαίων οὐκ ἀποδοχῆς ἀλλὰ μέμψεως ἀξιοῦσι, δι' αὐτὸ τοῦτο μετὰ τοὺς ἥρωας καὶ αὐτοί ⟨τι add. idem⟩ τετολμήκαμεν περὶ τοῦ ἀνδρὸς συντάξαι· εὔλογον οὖν ἡγοῦμαι προειπεῖν τοῦτο, ὅτι πολλαὶ τῶν ἐπὶ τὰς γραφὰς ὁρμώντων γεγόνασιν ὑπολήψεις. εἰ γάρ τινες ὅσα εὗρον ἐσπούδασαν φιλανθρώπως ἀναγράψαι· ἢ ὅσα ⟨οἱ add. idem⟩ εὑρόντες οὐκ ἔφθασαν (Eustachius: ἐφθόνησαν) ἐμφανῆ ποιῆσαι, ταῦτά τινες ἕτεροι δείξαντες τῆς ἀμισοῦς μεταδόσεως ἱκανὴν ἀπηνέγκαντο μαρτυρίαν· ἢ καὶ τὰ μὴ συμφερόντως ἱστορηθέντα διορθοῦν ἐσπούδασαν, κατηγορικὴν οὐκ ὀλίγοι πεποιημένοι τὴν τῆς συντάξεως ἀφορμήν· οἷς πάλιν ἀντειπόντες ἕτεροι σφόδρα που τὸ Ὁμη-

ρικὸν ἐξεπλήρωσαν "ὁποῖον κ' εἴπησθα ἔπος τοῖόν κ' ἐπακούσαις"· ὧν ἀντεκατηγόρησάν τινες, ἐμφρόνως εἰδότες "ἄνδρ' ἀπαμύνασθαι (Homerus Ω 369: ἐπαμύνασθαι) ὅτε τις πρότερον χαλεπήνῃ". πολλοὶ ⟨δὲ add. U. W. M.⟩ καὶ τὰ σποράδην τισὶν εἰρημένα ἐφ' ἓν συναγαγόντες οὐκ ἀκάρπου γραφῆς ἐπινοίας ηὐπόρησαν· οἱ δὲ (huc idem revocavit traditum post παραθέμενοι) καὶ τἀναποδείκτως ἱστορηθέντα μετὰ λόγου παραθέμενοι, καὶ τοῦ τἀσαφῶς (ita scripsit idem: τὸ ἀσαφῶς Charterius: τὸ σαφῶς codd.) λεγόμενον ἐξαπλῶσαι καὶ τοῦ τὸ ἄγαν (idem: τοῦτο ἂν) μακρῶς συντομώτερον ἀποστεῖλαι καὶ ⟨τοῦ add. idem⟩ τὰ ἀμφιβόλως εἰρημένα ἑρμηνεῦσαι εὔλογον δόξαν ἀπενεγκάμενοι (idem: ἀπενεγκαμένους)· τῶν δὲ εἰρημένων χαρακτήρων εἷς ἕκαστος εὐλόγου τετύχηκεν ἐπαίνου — πῶς οὐ μειζόνων (ita Turnebus: μεῖζον) δικαία τυγχάνει (ita Charterius: δίκα τυγχάνειν) τῆς παρούσης γραφῆς ἡ ὑπόσχεσις, διὰ πάντων τῶν εἰρημένων ἰδιωμάτων κεχωρηκυῖα.

Hic est textus ab U. W. M. recensitus et correctus. Videamus nunc quatenus Erotiani difficiles nugas intellegere aut valuerit aut voluerit et qualem recensionem constituerit: 'neque editorem' inquit 'adhuc invenit qui difficiles nugas intellegere aut vellet aut valeret. quod quam vere dicam aestimare non poterit nisi qui periodos hic adscriptas cum editione Kleiniana contulerit.' Fortunatus Erotianus qui suae Praefationis talem sospitatorem invenerit!

Mittimus nunc leviora quaedam, ut καὶ δή quod huic rei ineptissimum esse quis non videt, pro καὶ ἤδη quod aptissimum est; deinde monstrum inauditum τελωνοῦντες, in quo interpretando frustra desudavit, cum facile esset et monstri originem investigare et verum expiscari[1]). Tum signum interrogationis (lin. 33) quod

1) Sed ne videar ἐν ἀκινδύνῳ ἀνδραγαθίζεσθαι, quid in τελωνοῦντες delitescere putem breviter dicam. Latere

sententiam perturbat; contra idem signum in fine omisit. Denique id quod postquam recepit *τἀναποδείκτως* i. e. *τὰ ἀναπ.* et scripsit *τἀσαφῶς* i. e. *τὸ ἀσαφῶς*, idem eadem in linea *τὸ ἄγαν* toleravit et *τὰ ἀμφιβόλως*, ut alia omittam, intactum reliquit. Iis igitur missis, quippe quae, etsi ad hominis parum intellegentis atque arrogantis ingenium designandum peridonea sunt, paulo longiorem demonstrationem requirant, ad alia venio quae nihilo minus viri summi summam sermonis graeci imperitiam satis et statim ostendunt. Sunt autem haec: verbi *λελήθασι* (lin. 28) constructionem ab Erotiano admissam vir eruditissimus his verbis castigavit: 'Peccavit Erotianus. Graece dicendum erat *λέληθε — τοὺς φλυαροῦντας* aut *λελήθασιν ἑαυτοὺς — ἀποφαινόμενοι*.' Noli credere; potius U. W. M. minus Erotiano castigato Graece scire exempla vere Graeca docebunt haec: Plat Phaed. p. 64 a *κινδυνεύουσι γὰρ ὅσοι τυγχάνουσιν ὀρθῶς ἁπτόμενοι φιλοσοφίας λεληθέναι τοὺς ἄλλους, ὅτι οὐδὲν ἄλλο αὐτοὶ ἐπιτηδεύουσιν ἢ ἀποθνήσκειν τε καὶ τεθνάναι* i. e. *λελήθασιν ὅτι ἐπιτηδεύουσιν*. Nam *τοὺς ἄλλους* et dici et intellegi potest, velut Isocr. 4, 12 *οὗτοι μὲν οὖν οὐ λελήθασιν, ὅτι τούτους ἐπαινοῦσιν, ὧν ἐγγὺς αὐτοὶ τυγχάνουσιν ὄντες*. 9, 57 *ὅτι δὲ πρὸς Εὐαγόραν οὕτως ἔσχεν, οὐδ' αὐτὸς λαθεῖν*

mihi videtur verbum *γελῶντες*, quod et a praegresso *σπουδάζουσι* quodam modo requiritur et cum *χλεύης* optime coniungitur: *χλεύη καὶ γέλως* tritissima sunt. Neque ullo negotio intellegitur quomodo *γελῶντες* in *τελωνοῦντες* abierit; cum enim primo scriptum fuisset ΤΕΛΩΝΤΕΣ alter correxit syl-
ΟΥΝ
laba ΟΥΝ supra posita (i. e. ΤΕΛΩΝΤΕΣ ut *τελοῦντες* efficeret) alter *ἐκ τοῦ πλήρους* rescripsit *τελωνοῦντες*. Supplendum igitur ita fere (nam verba reliqua non definio): *τινὲς δὲ ψέγουσιν οὐκ ἄνευ τινὸς χλεύης γελῶντες*. Deinde verba *διὰ τὸ σαφῆ ποιῆσαι — φανεράν* cum ipse non intellexisset, et orationem tortuosam et sensum absurdum effecit. Scribenda videntur ita fere: *ἔδει τε σαφῆ ποιῆσαι* etc.

ἐζήτησεν. 5, 93 *καὶ μηδείς ὑπολάβῃ με βούλεσθαι λαθεῖν, ὅτι τούτων ἔνια πέφρακα τὸν αὐτὸν τρόπον ὅνπερ πρότερον.* Xenoph. Oec. I 19 *ὅτι πονηρότατοί γέ εἰσιν, οὐδὲ σὲ λανθάνουσι.* Comm. III 5. 24 *οὐ λανθάνεις με ὅτι οὐδ' οἰόμενος — λέγεις.* cf. Plat. Alc. I p. 109 d. *πότερον σαυτὸν λέληθας ὅτι οὐκ ἐπίστασαι τοῦτο ἢ ἐμὲ ἔλαθες μανθάνων καὶ φοιτῶν εἰς διδασκάλου;* Unde colligitur U. W. M. in eo quoque falsum esse, quod Graece dicendi cum multi modi Graecis usui fuissent professor Gottingensis duos solos statuerit.

Paulo post leguntur haec: *ἐπεὶ δ' αἱ παλαιαὶ συνήθειαι ταύτῃ κέχρηνται τῇ περὶ τὴν διάλεκτον φορᾷ κἑ.* Sive *πάλαι αἱ συνήθειαι* scribis sive *αἱ παλαιαὶ συνήθειαι* nemo est quin intellegat. At quid sibi verba *τῇ περὶ τὴν διάλεκτον φορᾷ* vellent bonus professor quamvis emunctissimus ne suspicatus quidem est. Verba sensu cassa sunt. Corrige *τῇ περὶ τὴν διάλεκτον φθορᾷ.* Cf. *παραφθορά, παρεφθορυῖα λέξις* sim.

Subsequuntur quae prof. Gottingensis parenthesios signis saepsit haec: *ἐξ ὧν οἵ τε περὶ τὴν ἀρχαίαν κωμῳδίαν καταγινόμενοι ὁμοφωνοῦσι καὶ τῶν μὲν φιλοσόφων Δημόκριτος τῶν δὲ ἱστορικῶν Θουκυδίδης* cett. Quae ne intellegantur U. W. Moellendorffi *ὁμοφωνοῦσι* pro *ἐμφαίνουσι* effecit. Sed si *οἱ περὶ τὴν ἀρχαίαν κωμῳδίαν καταγινόμενοι* inter se *ὁμοφωνοῦσι*, historicus Thucydides cuinam *ὁμοφωνεῖ* atque *σύμπας ὁ χορός*? Frustra quaesiveris. Hic enim *χορός* ut videtur in errorem virum perdoctum induxit, ut hic de concentu quodam agi cum putasset suo Marte *ὁμοφωνοῦσι* correxerit. Sed nihil est. Praeter bonum U. W. Moellendorffium omnes intellegimus locum persanum esse neque ulla emendatione indigere. Verba *ἐξ ὧν — ἐμφαίνουσι* idem valent atque *ἐκ τούτων ἃ — ἐμφαίνουσι* et explicatius *ἐκ τούτων ἃ ἰδεῖν ἔστιν ἐν τοῖς συγγράμμασι τῶν περὶ τὴν ἀρχ. κωμῳδίαν καταγινομένων.* Locus luce clarior

est. Nunc ne ipsum quidem U. W. Moellendorffium oblocuturum esse existimo.

Postea ex verbis *τί δήποτε τὸ πᾶσι τοῖς ἀρχαίοις εἰρημένον συμβεβηκὸς τοῦτο καθ' Ἱπποκράτους κεκομίκασι μόνον* cum priora (*τὸ πᾶσι — τοῦτο*) barbare exprimenda curasset, quid isto *κεκομίκασι* significaretur neque barbara neque ulla alia lingua expressit. Intellexit scilicet sed sibi.

Intermedia (inde a p. 30, 18 usque ad p. 32, 13 ed. Klein) omisit sed corrigendi pruritu incitatus facere non poterat quin occasionem ullius emendatiunculae proferendae arriperet, velut p. 32, 6 ubi correxit scilicet: *Λυσιμάχου — ἐκπονήσαντος πραγματείαν μετὰ τὸ τρία* (*μετὰ τοῦ τρία* AB. *μετὰ τοῦ τὰ τρία* omnes ceteri) *μὲν γράψαι.* Quam tamen correctiunculam ipse Erotianus eadem in Praefatione paulo post (p. 34, 6) refutat his verbis: *τοῦ σαφοῦς — πολὺν ἔχουσα λόγον μετὰ τοῦ τὰ σποράδην — εἰρημένα — συναγαγεῖν.* Quae vero ad rem suam pertinebant velut *ἐπεὶ* pro *ἐπὶ* (p. 36, 1 Kl.) praeterierunt.

Sed nunc ad longam periodum, 'in qua una particula *εἰ* per duodecim versus regnat' transeundum est: *Εἰ γάρ τινες ὅσα εὗρον ἐσπούδασαν φιλανθρώπως ἀναγράψαι· ἢ ὅσα — οὐκ ἔφθασαν —, ταῦτα — δείξαντες — ἀπηνέγκαντο· — ἢ — διορθοῦν ἐσπούδασαν — κἑ.* In quibus nihil ut solet intellexit sagacissimus editor; quamquam paululum si substitisset, invenisset verum. Quoniam Erotianus antea dixit *πολλαὶ τῶν ἐπὶ τὰς γραφὰς ὁρμώντων γεγόνασιν ὑπολήψεις*, certe periodo hypothetica tam longa ad suam sententiam explicandam usus non fuit, sed sicut omnes in tali re facimus, multorum, quos ante commemoraverat, diversas rationes per parataxin exposuit. Quarum agmen prima ducit haec: 1) *ἢ γάρ τινες ὅσα εὗρον ἐσπούδασαν φιλανθρώπως ἀναγράψαι.* Corrigendum igitur *ἢ* pro *εἰ*. Sub-

sequuntur 2) ἢ ὅσα — οὐκ ἔφθασαν —, ταῦτά τινες — δείξαντες — ἀπηνέγκαντο — 3) ἢ — διορθοῦν ἐσπούδασαν — 4) οἷς πάλιν ἀντειπόντες ἕτεροι — ἐξεπλήρωσαν — 5) ὧν ἀντικατηγόρησάν τινες — Sed quarta et quinta parenthesios signis includi possunt. 6) πολλοὶ (l. ἢ πολλοὶ) — ηὐπόρησαν — 7) οἱ δὲ (in voce corrupta verbum latet) καὶ τἀναποδείκτως — ἀπενεγκαμένους. Unde etiam intellegitur non πολλοὶ δέ cum U. W. M. scribi oportere sed ἢ πολλοὶ, ubi ἢ propter praegressum η verbi χαλεπήνῃ facile exciderit. Ceterum quae ratio inter hanc hypothesin per duodecim versus regnantem et apodosin sit ipsum U. W. M. dicere posse nego.

Verum tamen textum etiam interpolavit, nam quod dedit πεποιημένοι auctoritate codicum caret neque ipse quidquam adnotavit. Codices praebent πεποίηνται, quod ut bene habeat, corrigendum est καὶ κατηγορικὴν aut κατηγορικὴν δέ.

In transcursu delendum est comma post ἐσπούδασαν et corrigendum ἀντΙκατηγόρησαν pro ἀντΕκατηγόρησαν, quod cur non toleraverit sed praetulerit novissimus editor, cum haec omnia perlegeris, non miraberis.

Paulc post idem editor Graeci sermonis sane peritissimus nihil fraudis odoratus legit una cum librariis Ἐφ' ἓν συναγαγόντες. Sed Graece non dicitur Ἐφ' ἓν συνάγειν sed Ὑφ' ἓν συνάγειν. Si linguae usus, qui certo ei deest, non adiuvaret, ipse Erotianus eadem in Praefatione paulo post (p. 34, 6) docere poterat.

Post pauca idem scribendo ηὐπόρησαν· οἳ δὲ καὶ τἀναποδείκτως ἱστορηθέντα μετὰ λόγου παραθέμενοι· καὶ τοῦ κέ. cum traditum esset ηὐπόρησαν καὶ τἀναποδείκτως — παραθέμενοι· οἱ δὲ καὶ τοῦ orationem pessumdedit. Quam autem otiosa arbitrariaque esset haec transpositio et quam parum necessaria participii ἀπενεγκαμένους in ἀπενεγκάμενοι mutatio editor solus non

intellexit. Morbi sedes in voculis *οἱ δὲ* ut videtur est. Scribendum videtur ita fere: *ἴδοις δ' ἂν* vel *εἶδον δέ* ut ordo verborum hic sit: *ἴδοις δ' ἄν* (*τινας*) *ἀπενεγκαμένους δόξαν εὔλογον καὶ τοῦ ἐξαπλῶσαι τὸ ἀσαφῶς λεγόμενον* cett.

Subsequitur *τὸ ἄγαν μακρῶς συντομώτερον ἀποστεῖλαι*, ubi quid sit *ἀποστεῖλαι* ab U.W. M. frustra quaesiveris. Si *ἀποτεῖναι* cum de longo sermone dicatur minus placet, reponas *ὑποστεῖλαι.* Qua de re etiam *συστεῖλαι* et *περιστεῖλαι* dici possunt, solum *ἀποστεῖλαι* quod bonus professor neque suspicatus est neque suo Marte correxit non dicitur.

Denique in iis quae ultimis versibus continentur emendandum est aut *εἰ εἷς* pro *εἷς* aut *πῶς οὖν οὐ* pro *πῶς οὐ.* Eustachius quoque voluerat *εἰ* pro *εἷς*.

Nunc quis ei crediderit ita peroranti: 'hic deficio. qui enim halitus tanta periodo non defatigatur, in qua una particula *εἰ* per duodecim versus regnat, neque luculentiore exemplo Erotiani artem illustrare possum. quod si quis negat, operae pretium facere qui in his nugis explicandis tempus terat, non obloquor; quamquam in re gravi occupatus huc deveni. vereor enim ut sit (!) qui profiteri possit (!) notum sibi esse scribendi genus quod Graecis saec. I p. Chr. placuerit. longa via est ab Apollodoreis — et Dionysio ad Plutarchum et Dionem' cett. cett.? At nunc quidem cum e regno eiecta sit haec U. W. Moellendorffi gratia vel potius imperitia creata regina et dominae legitimae minus arroganti cesserit, omnes inde ortae professoris conclusiunculae atque inventa corruant aut immutentur quidem necesse est. Itaque litterarum historia scribitur *ὦ Μοῦσαι φίλαι*!

Haec sunt quae dicere coactus sum ab ipso professore, quem nunc puto errores in locis laudandis commissos melius distincturum a vitiis gravioribus,

quae cum sint librum recensione carere dicimus. Quorum mendorum Indicis Moellendorffiani magnum numerum (MAIOREM quidem quam qui hic est) omisi neque minus eiusdem in Plutarchi locis coniecturas ad unam omnes satis improbabiles; et satis enim lectoris indulgentia abusus sum et satis ut mihi videtur demonstratum est, Udalricum de Wilamowitz-Moellendorff, sit *καὶ ταῖς ἐννέα δὴ πεφιλάμενος ἔξοχα Μοίσαις*, parum Graece doctum esse.

Quae omnia dixi ut ostenderem professorem Gottingensem minime idoneum Graeci textus iudicem esse. Fortasse tamen neque operae pretium neque opus erat tot exemplis rem ad demonstrandum facillimam illustrare. In Indice Schol. Gott. MDCCCLXXXIV p. 12 scripsit haec: 'in eis quae de Omphala sunt (Cornuti p. 190 ed. Osann. p. 64, 13 Lang) usus linguae flagitat(!) optativum pro indicativo *καὶ τοὺς ἰσχυροτάτους ὑποτάττειν δεῖ ἑαυτοὺς τῷ λόγῳ . . . εἰ καὶ θηλύτερόν τι . . . προσπίπτειε* (*προσπίπτει* codd.)'. En optativus *ΠΡΟΣΠΙΠΤΕΙΕ* ab Ud. Wilamowitzio inventus. *Ὦ Ζεῦ καὶ θεοί!* Quis cum hoc sermonis Graeci peritiae testimonium, quod litterarum Graecarum professor publice omnibus coram dedit et quod certissime neque ulli librario debetur neque typothetae sed ipsi viro clarissimo, legerit, mihi non concesserit statim Udalricum de Wilamowitz-Moellendorff illotis manibus scriptores Graecos attrectare?

HOC VOLUMINE CONTINENTUR

Ἀποφθέγματα βασιλέων καὶ στρατηγῶν pag.
Regum et imperatorum apophthegmata 1
Ἀποφθέγματα Λακωνικά
Apophthegmata Laconica 100
Τὰ παλαιὰ τῶν Λακεδαιμονίων ἐπιτηδεύματα
Instituta Laconica 181
Λακαινῶν ἀποφθέγματα
Lacaenarum apophthegmata 191
Γυναικῶν ἀρεταί
Mulierum virtutes 198
Κεφαλαίων καταγραφή. Ῥωμαϊκά
Aetia Romana 250
Κεφαλαίων καταγραφή. Ἑλληνικά
Aetia Graeca 321
Συναγωγὴ ἱστοριῶν παραλλήλων Ἑλληνικῶν καὶ Ῥωμαϊκῶν
Parallela Graeca et Romana 354
Περὶ τῆς Ῥωμαίων τύχης
De fortuna Romanorum 383
Περὶ τῆς Ἀλεξάνδρου τύχης ἢ ἀρετῆς λόγος Α′
— λόγος Β′
De Alexandri magni fortuna aut virtute oratio I 409
— oratio II 426
Πότερον Ἀθηναῖοι κατὰ πόλεμον ἢ κατὰ σοφίαν ἐνδοξότεροι
Bellone an pace clariores fuerint Athenienses . . 455
Περὶ Ἴσιδος καὶ Ὀσίριδος
De Iside et Osiride 471

ΠΛΟΥΤΑΡΧΟΥ

ΤΟΥ ΧΑΙΡΩΝΕΩΣ

ΤΑ ΗΘΙΚΑ

* ΑΠΟΦΘΕΓΜΑΤΑ ΒΑΣΙΛΕΩΝ ΚΑΙ ΣΤΡΑΤΗΓΩΝ. 172

ΠΛΟΥΤΑΡΧΟΣ ΤΡΑΙΑΝΩΙ ΑΥΤΟΚΡΑΤΟΡΙ ΕΥ ΠΡΑΤΤΕΙΝ.

Ἀρτοξέρξης ὁ Περσῶν βασιλεύς, ὦ μέγιστε αὐτό- [B] κρατορ Καῖσαρ Τραϊανέ, οὐχ ἧττον οἰόμενος βασιλικὸν καὶ φιλάνθρωπον εἶναι τοῦ μεγάλα διδόναι τὸ μικρὰ λαμβάνειν εὐμενῶς καὶ προθύμως, ἐπεί, παρελαύνοντος αὐτοῦ καθ' ὁδόν, αὐτουργὸς ἄνθρωπος καὶ ἰδιώτης οὐδὲν ἔχων ἕτερον ἐκ τοῦ ποταμοῦ ταῖς χερσὶν ἀμφοτέραις ὕδωρ ὑπολαβὼν προσήνεγκεν, ἡδέως ἐδέξατο καὶ ἐμειδίασε, τῇ προθυμίᾳ τοῦ διδόντος οὐ τῇ χρείᾳ τοῦ διδομένου τὴν χάριν μετρήσας. ὁ δὲ Λυκοῦργος εὐτελεστάτας ἐποίησεν ἐν [C] Σπάρτῃ τὰς θυσίας, ἵνα ἀεὶ τοὺς θεοὺς τιμᾶν ἑτοίμως δύνωνται καὶ ῥᾳδίως ἀπὸ τῶν παρόντων. τοιαύτῃ δή τινι γνώμῃ κἀμοῦ λιτά σοι δῶρα καὶ ξένια καὶ κοινὰς ἀπαρχὰς προσφέροντος ἀπὸ φιλοσοφίας, ἅμα τῇ προθυμίᾳ καὶ τὴν χρείαν ἀπόδεξαι τῶν ἀπομνημονευμάτων, εἰ ὅρον ἔχει τινὰ πρὸς κατανόησιν ἠθῶν καὶ προαιρέσεωι ἡγεμονικῶν, ἐμφαινομένων τοῖς λόγοις μᾶλλον ἢ ταῖς πράξεσιν αὐτῶν. καίτοι

1 Ἀρτοξέρξης*: ἀρταξέρξης   αὐτόκρατορ*: αὐτοκράτορ

καὶ βίους ἔχει τὸ σύνταγμα τῶν ἐπιφανεστάτων παρά τε Ῥωμαίοις καὶ παρ' Ἕλλησιν ἡγεμόνων καὶ νομο-
D θετῶν καὶ αὐτοκρατόρων· ἀλλὰ τῶν μὲν πράξεων αἱ πολλαὶ τύχην ἀναμεμιγμένην ἔχουσιν, αἱ δὲ γινόμεναι παρὰ τὰ ἔργα καὶ τὰ πάθη καὶ τὰς τύχας ἀποφάσεις καὶ ἀναφωνήσεις, ὥσπερ ἐν κατόπτροις καθαρῶς παρέχουσι τὴν ἑκάστου διάνοιαν ἀποθεωρεῖν. ᾗ καὶ Σειράμνης ὁ Πέρσης πρὸς τοὺς θαυμάζοντας, ὅτι τῶν λόγων αὐτοῦ νοῦν ἐχόντων, αἱ πράξεις οὐ κατορθοῦνται, τῶν μὲν λόγων ἔφη κύριος αὐτὸς εἶναι, τῶν δὲ πράξεων τὴν τύχην μετὰ τοῦ βασιλέως. ἐκεῖ μὲν οὖν ἅμα αἱ ἀποφάσεις τῶν ἀν-
E δρῶν τὰς πράξεις παρακειμένας ἔχουσαι, σχολάζουσαν φιληκοΐαν περιμένουσιν· ἐνταῦθα δὲ καὶ τοὺς λόγους αὐτοὺς καθ' αὑτοὺς ὥσπερ δείγματα τῶν βίων καὶ σπέρματα συνειλεγμένους οὐδὲν οἴομαί σοι τὸν καιρὸν ἐνοχλήσειν, ἐν βραχέσι πολλῶν ἀναθεώρησιν ἀνδρῶν ἀξίων μνήμης γενομένων λαμβάνοντι.

ΑΠΟΦΘΕΓΜΑΤΑ ΚΥΡΟΥ.

1. *Πέρσαι τῶν γρυπῶν ἐρῶσι διὰ τὸ Κῦρον ἀγαπηθέντα μάλιστα τῶν βασιλέων γεγονέναι γρυπὸν τὸ εἶδος.*

2. *Ἔλεγε δὲ Κῦρος ἑτέροις ἀναγκάζεσθαι τἀγαθὰ πορίζειν τοὺς αὑτοῖς μὴ θέλοντας· ἄρχειν δὲ μηδενὶ προσήκειν, ὃς οὐ κρείττων ἐστὶ τῶν ἀρχομένων.*

1 *ἔχεις, τὸ σύνταγμα* Wilamowitzius 18 *ΑΠΟΦΘΕΓΜΑΤΑ ΚΥΡΟΥ*] deinde *ΚΥΡΟΥ. ΣΕΜΙΡΑΜΙΔΟΣ.* omniaque similia lemmata hic et infra omiserunt mei quidem codices

3. Βουλομένους δὲ τοὺς Πέρσας ἀντὶ τῆς ἑαυ- F
τῶν οὔσης ὀρεινῆς καὶ τραχείας πεδιάδα καὶ μαλα-
κὴν χώραν λαβεῖν οὐκ εἴασεν, εἰπὼν ὅτι καὶ τῶν
φυτῶν τὰ σπέρματα καὶ τῶν ἀνθρώπων οἱ βίοι ταῖς
χώραις συνεξομοιοῦνται.

ΔΑΡΕΙΟΥ.

1. Δαρεῖος ὁ Ξέρξου πατὴρ ἑαυτὸν ἐγκωμιάζων
ἔλεγεν ἐν ταῖς μάχαις καὶ παρὰ τὰ δεινὰ γίγνεσθαι
φρονιμώτερος.

2. Τοὺς δὲ φόρους τοῖς ὑπηκόοις τάξας μετε-
πέμψατο τοὺς πρώτους τῶν ἐπαρχιῶν καὶ περὶ τῶν
φόρων ἠρώτησε, μὴ βαρεῖς εἰσι· φησάντων δὲ με-
τρίως ἔχειν ἐκέλευσε τελεῖν τοὺς ἡμίσεις ἕκαστον. 173

3. Ῥοιὰν δὲ μεγάλην ἀνοίξας, πυθομένου τινὸς
τί ἂν ἔχειν βούλοιτο τοσοῦτον ὅσον ἐστὶ τῶν κόκ-
κων τὸ πλῆθος, εἶπε Ζωπύρους· ἦν δὲ ἀνὴρ ἀγαθὸς
καὶ φίλος ὁ Ζώπυρος.

4. Ἐπεὶ δὲ αὐτὸς ἑαυτὸν αἰκισάμενος ὁ Ζώπυ-
ρος καὶ τὴν ῥῖνα καὶ τὰ ὦτα περικόψας ἐξηπάτησε
Βαβυλωνίους καὶ πιστευθεὶς ὑπ᾽ αὐτῶν παρέδωκε
Δαρείῳ τὴν πόλιν, πολλάκις ὁ Δαρεῖος εἶπεν οὐκ
ἂν ἐθελῆσαι λαβεῖν ἑκατὸν Βαβυλῶνας ἐπὶ τῷ μὴ
Ζώπυρον ἔχειν ὁλόκληρον.

ΣΕΜΙΡΑΜΙΔΟΣ.

Σεμίραμις δὲ ἑαυτῇ κατασκευάσασα τάφον ἐπέ-
γραψεν 'ὅστις ἂν χρημάτων δεηθῇ βασιλεύς, διελόντα B
τὸ μνημεῖον ὅσα βούλεται λαβεῖν.' Δαρεῖος οὖν δι-

ελὼν χρήματα μὲν οὐχ εὗρε, γράμμασι δὲ ἑτέροις ἐνέτυχε τάδε φράζουσιν· ‘εἰ μὴ κακὸς ἦσθ’ ἀνὴρ καὶ χρημάτων ἄπληστος, οὐκ ἂν νεκρῶν θήκας ἐκίνεις.’

ΞΕΡΞΟΥ.

1. Ξέρξῃ τῷ Δαρείου περὶ τῆς βασιλείας ἀμφι-
σβητῶν ὁ ἀδελφὸς Ἀριαμένης κατέβαινεν ἐκ τῆς
Βακτριανῆς· ἔπεμψεν οὖν αὐτῷ δῶρα, φράσαι κελεύ-
σας τοὺς διδόντας ‘τούτοις σε τιμᾷ νῦν Ξέρξης ὁ
C ἀδελφός· ἐὰν δὲ βασιλεὺς ἀναγορευθῇ, πάντων ἔσῃ
παρ’ αὐτῷ μέγιστος.’ ἀποδειχθέντος δὲ τοῦ Ξέρξου
βασιλέως, ὁ μὲν Ἀριαμένης εὐθὺς προσεκύνησε καὶ
τὸ διάδημα περιέθηκεν, ὁ δὲ Ξέρξης ἐκείνῳ τὴν δευ-
τέραν μεθ’ ἑαυτὸν ἔδωκε τάξιν.

2. Ὀργισθεὶς δὲ Βαβυλωνίοις ἀποστᾶσι καὶ κρατήσας προσέταξεν ὅπλα μὴ φέρειν, ἀλλὰ ψάλλειν καὶ αὐλεῖν καὶ πορνοβοσκεῖν καὶ καπηλεύειν καὶ φορεῖν κολπωτοὺς χιτῶνας.

3. Ἀττικὰς δὲ ἰσχάδας οὐκ ἂν ἔφη φαγεῖν ὠνίους κομισθείσας, ἀλλ’ ὅταν τὴν φέρουσαν κτήσηται χώραν.

4. Ἕλληνας δὲ κατασκόπους ἐν τῷ στρατοπέδῳ
λαβὼν οὐδὲν ἠδίκησεν, ἀλλὰ τὴν στρατιὰν ἀδεῶς
D ἐπιδεῖν κελεύσας ἀφῆκεν.

ΑΡΤΟΞΕΡΞΟΥ.

1. Ἀρτοξέρξης ὁ Ξέρξου, ὁ μακρόχειρ προσαγορευθεὶς διὰ τὸ τὴν ἑτέραν χεῖρα μακροτέραν ἔχειν, ἔλεγεν ὅτι τὸ προσθεῖναι τοῦ ἀφελεῖν βασιλικώτερόν ἐστι.

2. *Πρῶτος δὲ πρωτοβολεῖν ἐκέλευσε τῶν συγκυνηγετούντων τοὺς δυναμένους καὶ βουλομένους.*

3. *Πρῶτος δὲ τοῖς ἁμαρτάνουσι τῶν ἡγεμονικῶν τιμωρίαν ἔταξεν, ἀντὶ τοῦ τὸ σῶμα μαστιγοῦσθαι καὶ τὴν κεφαλὴν ἀποτίλλεσθαι, μαστιγοῦσθαι μὲν ἀποδυσαμένων τὰ ἱμάτια τίλλεσθαι δὲ τὴν τιάραν ἀποθεμένων.*

4. *Σατιβαρζάνην δὲ τὸν κατακοιμιστὴν αἰτούμενόν* E *τι παρ᾽ αὐτοῦ τῶν μὴ δικαίων αἰσθόμενος ἐπὶ τρισμυρίοις δαρεικοῖς τοῦτο ποιοῦντα, προσέταξε τῷ ταμίᾳ τρισμυρίους δαρεικοὺς κομίσαι· καὶ διδοὺς αὐτῷ ‘λάβε’ εἶπεν ‘ὦ Σατιβαρζάνη· ταῦτα μὲν γὰρ δοὺς οὐκ ἔσομαι πενέστερος, ἐκεῖνα δὲ πράξας ἀδικώτερος.’*

ΚΥΡΟΥ ΤΟΥ ΝΕΩΤΕΡΟΥ.

Κῦρος ὁ νεώτερος τοὺς Λακεδαιμονίους συμμαχεῖν αὐτῷ παρακαλῶν ἔλεγε τοῦ ἀδελφοῦ καρδίαν ἔχειν βαρυτέραν καὶ πλείονα πίνειν ἄκρατον αὐτοῦ καὶ φέρειν βέλτιον· ἐκεῖνον δὲ μόλις ἐν ταῖς θήραις F *ἐπὶ τῶν ἵππων μένειν, ἐν δὲ τοῖς δεινοῖς μηδὲ ἐπὶ τοῦ θρόνου. παρεκάλει δὲ ἀποστέλλειν ἄνδρας πρὸς αὐτόν, ἐπαγγελλόμενος τοῖς μὲν πεζοῖς ἵππους δώσειν, τοῖς δὲ ἵππους ἔχουσιν ἅρματα, τοῖς δὲ χωρία κεκτημένοις κώμας, τοὺς δὲ κώμας ἔχοντας πόλεων κυρίους ποιήσειν· ἀργυρίου δὲ καὶ χρυσίου οὐκ ἀριθμὸν ἀλλὰ σταθμὸν ἔσεσθαι.*

5 *μαστιγοῦσθαι μὲν* *: *μὲν* 21 *αὐτόν* *: *αὐτόν*

ΑΡΤΟΞΕΡΞΟΥ ΤΟΥ ΜΝΗΜΟΝΟΣ.

1. *Ἀρτοξέρξης ὁ τούτου μὲν ἀδελφὸς Μνήμων δὲ καλούμενος, οὐ μόνον τοῖς ἐντυγχάνουσιν ἑαυτὸν ἀνέδην παρεῖχεν, ἀλλὰ καὶ τὴν γυναῖκα τὴν γνησίαν ἐκέλευσε τῆς ἁρμαμάξης τὰς αὐλαίας περιελεῖν, ὅπως οἱ δεόμενοι κατὰ τὴν ὁδὸν ἐντυγχάνωσι.*

174 2. *Πένητος δὲ ἀνθρώπου μῆλον ὑπερφυὲς μεγέθει προσενέγκαντος αὐτῷ δεξάμενος ἡδέως ʻνὴ τὸν Μίθραν' εἶπεν ʻοὗτός μοι δοκεῖ καὶ πόλιν ἂν ἐκ μικρᾶς μεγάλην πιστευθεὶς ἀπεργάσασθαι.' ἐν δὲ φυγῇ τινι τῆς ἀποσκευῆς αὐτοῦ διαρπαγείσης, ξηρὰ σῦκα φαγὼν καὶ κρίθινον ἄρτον ʻοἵας' εἶπεν ʻἡδονῆς ἄπειρος ἤμην.'*

ΠΑΡΥΣΑΤΙΔΟΣ.

Παρύσατις ἡ Κύρου καὶ Ἀρτοξέρξου μήτηρ ἐκέλευε τὸν βασιλεῖ μέλλοντα μετὰ παρρησίας διαλέγεσθαι βυσσίνοις χρῆσθαι ῥήμασι.

B

ΟΡΟΝΤΟΥ.

Ὀρόντης, ὁ βασιλέως Ἀρτοξέρξου γαμβρός, ἀτιμίᾳ περιπεσὼν δι' ὀργὴν καὶ καταγνωσθεὶς ἔφη ʻκαθάπερ οἱ τῶν ἀριθμητικῶν δάκτυλοι νῦν μὲν μυριάδας νῦν δὲ μονάδας τιθέναι δύνανται, τὸ αὐτὸ καὶ τοὺς τῶν βασιλέων φίλους, νῦν μὲν τὸ πᾶν δύνασθαι νῦν δὲ τοὐλάχιστον.'

13. 16 *Ἀρτοξέρξου* *: *ἀρταξέρξου* 19 *μονάδας* Turnebus: *μονάδα* *τιθέναι* del. Cobetus

ΜΕΜΝΟΝΟΣ.

Μέμνων, ὁ Ἀλεξάνδρῳ πολεμῶν ὑπὲρ Δαρείου τοῦ βασιλέως, μισθοφόρον τινὰ πολλὰ βλάσφημα καὶ ἀσελγῆ περὶ Ἀλεξάνδρου λέγοντα τῇ λόγχῃ πατάξας 'ἐγώ σε' εἶπε 'τρέφω μαχούμενον, ἀλλ' οὐ C λοιδορησόμενον Ἀλεξάνδρῳ.'

ΑΙΓΥΠΤΙΩΝ ΒΑΣΙΛΕΩΝ ΕΘΟΣ.

Οἱ Αἰγυπτίων βασιλεῖς κατὰ νόμον ἑαυτῶν τοὺς δικαστὰς ἐξώρκιζον ὅτι 'κἂν βασιλεύς τι προστάξῃ κρῖναι τῶν μὴ δικαίων, οὐ κρινοῦσι.'

ΠΟΛΤΥΟΣ.

Πόλτυς ὁ Θρᾳκῶν βασιλεὺς ἐν τῷ Τρωϊκῷ πολέμῳ πρεσβευσαμένων πρὸς αὐτὸν ἅμα τῶν Τρώων καὶ τῶν Ἀχαιῶν, ἐκέλευσε τὸν Ἀλέξανδρον ἀποδόντα τὴν Ἑλένην δύο παρ' αὐτοῦ λαβεῖν καλὰς γυναῖκας.

ΤΗΡΟΥ. D

Τήρης ὁ Σιτάλκου πατὴρ ἔλεγεν 'ὁπότε σχολάζοι καὶ μὴ στρατεύοιτο, τῶν ἱπποκόμων οἴεσθαι μηδὲν διαφέρειν.'

ΚΟΤΥΟΣ.

Κότυς τῷ δωρησαμένῳ πάρδαλιν ἀντεδωρήσατο λέοντα. φύσει δὲ ὢν ὀξὺς εἰς ὀργὴν καὶ πικρὸς τῶν ἁμαρτανόντων ἐν ταῖς διακονίαις κολαστής, σκεύη ποτὲ κεραμεᾶ ξένου κομίσαντος εὔθραυστα καὶ λεπτά, πιθανῶς δὲ καὶ περιττῶς εἰργασμένα γλυφαῖς

τισι καὶ τορείαις, τῷ μὲν ξένῳ ἔδωκε δῶρα, τὰ δὲ
E σκεύη πάντα συνέτριψεν, 'ὅπως' εἶπε 'μὴ δι' ὀργὴν πικρότερον κολάζω τοὺς συντρίβοντας.'

ΙΔΑΝΘΥΡΣΟΥ.

Ἰδάνθυρσος ὁ Σκυθῶν βασιλεύς, ἐφ' ὃν διέβη Δαρεῖος, ἔπειθε τοὺς Ἰώνων τυράννους τὸ τοῦ Ἴστρου ζεῦγμα λύσαντας ἀπαλλάττεσθαι· μὴ βουληθέντας δὲ διὰ τὴν πρὸς τὸν Δαρεῖον πίστιν, ἀνδράποδα χρηστὰ καὶ ἄδραστα ἐκάλει.

ΑΤΕΟΥ.

Ἀτέας ἔγραφε πρὸς τὸν Φίλιππον 'σὺ μὲν ἄρχεις Μακεδόνων ἀνθρώποις μεμαθηκότων πολεμεῖν·
F ἐγὼ δὲ Σκυθῶν, οἳ καὶ λιμῷ καὶ δίψει μάχεσθαι δύνανται.' τοὺς δὲ πρέσβεις τοῦ Φιλίππου ψήχων τὸν ἵππον ἠρώτησεν 'εἰ τοῦτο ποιεῖ Φίλιππος.' Ἰσμηνίαν δὲ τὸν ἄριστον αὐλητὴν λαβὼν αἰχμάλωτον ἐκέλευσεν αὐλῆσαι· θαυμαζόντων δὲ τῶν ἄλλων, αὐτὸς ὤμοσεν ἥδιον ἀκούειν τοῦ ἵππου χρεμετίζοντος.

ΣΚΙΛΟΥΡΟΥ.

Σκίλουρος ὀγδοήκοντα παῖδας ἄρρενας ἀπολιπών, ἐπεὶ τελευτᾶν ἔμελλε, δέσμην ἀκοντίων ἑκάστῳ προτείνων ἐκέλευε καταθραῦσαι· πάντων δὲ ἀπαγορευσάντων, καθ' ἓν αὐτὸς ἐξελὼν ἀκόντιον ἅπαντα ῥᾳδίως συνέκλασε· διδάσκων ἐκείνους, ὅτι συνεστῶ-

4 Ἰδάνθυρσος *: ἰδάθυρσος

τες ἰσχυροὶ διαμενοῦσιν, ἀσθενεῖς δ' ἔσονται διαλυθέντες καὶ στασιάσαντες.

ΓΕΛΩΝΟΣ.

1. Γέλων ὁ τύραννος, ὅτε Καρχηδονίους πρὸς 175 Ἱμέρᾳ κατεπολέμησεν, εἰρήνην ποιούμενος πρὸς αὐτοὺς ἠνάγκασεν ἐγγράψαι ταῖς ὁμολογίαις ὅτι 'καὶ τὰ τέκνα παύσονται τῷ Κρόνῳ καταθύοντες.'

2. Ἐξῆγε δὲ τοὺς Συρακουσίους πολλάκις ὡς ἐπὶ στρατείαν εἰς φυτείαν, ὅπως ἥ τε χώρα βελτίων γένηται γεωργουμένη καὶ μὴ χείρονες αὐτοὶ σχολάζοντες.

3. Αἰτῶν δὲ χρήματα τοὺς πολίτας, ἐπεὶ ἐθορύβησαν, αἰτεῖν εἶπεν ὡς ἀποδώσων, καὶ ἀπέδωκε μετὰ τὸν πόλεμον.

4. Ἐν δὲ συμποσίῳ λύρας περιφερομένης, ἁρμοζομένων B τῶν ἄλλων ἐφεξῆς καὶ ᾀδόντων, αὐτὸς τὸν ἵππον εἰσαγαγεῖν κελεύσας ἐλαφρῶς καὶ ῥᾳδίως ἀνεπήδησεν ἐπ' αὐτόν.

ΙΕΡΩΝΟΣ.

1. Ἱέρων ὁ μετὰ Γέλωνα τύραννος ἔλεγε 'μηδένα τῶν παρρησιαζομένων πρὸς αὐτὸν ἄκαιρον εἶναι.'

2. Τοὺς δὲ ἀπόρρητον λόγον ἐκφέροντας ἀδικεῖν ᾤετο καὶ τοὺς πρὸς οὓς ἐκφέρουσι· μισοῦμεν γὰρ οὐ μόνον τοὺς ἐκφέροντας ἀλλὰ καὶ τοὺς ἀκούσαντας ἃ μὴ βουλόμεθα.

8 εἰς *: καὶ

3. *Λοιδορηθεὶς δὲ ὑπό τινος εἰς τὴν δυσωδίαν τοῦ στόματος, ᾐτιᾶτο τὴν αὑτοῦ γυναῖκα μηδέποτε* C *περὶ τούτου φράσασαν· ἡ δὲ εἶπεν ‘ᾤμην γὰρ τοιοῦτον ἅπαντας τοὺς ἄνδρας ὄζειν.’*

4. *Πρὸς δὲ Ξενοφάνην τὸν Κολοφώνιον εἰπόντα μόλις οἰκέτας δύο τρέφειν ‘ἀλλ’ Ὅμηρος’ εἶπεν, ‘ὃν σὺ διασύρεις, πλείονας ἢ μυρίους τρέφει τεθνηκώς.’*

5. *Ἐπίχαρμον δὲ τὸν κωμῳδιοποιόν, ὅτι τῆς γυναικὸς αὐτοῦ παρούσης εἶπέ τι τῶν ἀπρεπῶν, ἐζημίωσε.*

ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ.

1. *Διονύσιος ὁ πρεσβύτερος, κληρουμένων κατὰ* D *γράμμα τῶν δημηγορούντων, ὡς ἔλαχε τὸ Μ, πρὸς τὸν εἰπόντα ‘μωρολογεῖς Διονύσιε’· ‘μοναρχήσω μὲν οὖν’ εἶπε, καὶ δημηγορήσας εὐθὺς ᾑρέθη στρατηγὸς ὑπὸ τῶν Συρακουσίων.*

2. *Ἐπεὶ δ’ ἐν ἀρχῇ τῆς τυραννίδος ἐπολιορκεῖτο, συστάντων ἐπ’ αὐτὸν τῶν πολιτῶν, οἱ μὲν φίλοι συνεβούλευον ἀπαλλαγῆναι τῆς ἀρχῆς, εἰ μὴ βούλεται κρατηθεὶς ἀποθανεῖν· ὁ δὲ βοῦν ἰδὼν σφαττόμενον ὑπὸ μαγείρου καὶ πίπτοντα ταχέως ‘εἶτα οὐκ ἀηδές ἐστιν’ εἶπεν ‘οὕτω βραχὺν ὄντα τὸν θάνατον φοβηθέντας ἡμᾶς ἀρχὴν ἐγκαταλιπεῖν τηλικαύτην;’*

3. *Τὸν δὲ υἱὸν αἰσθόμενος, ᾧ τὴν ἀρχὴν ἀπο-* E *λιπεῖν ἔμελλεν, ἀνδρὸς ἐλευθέρου διαφθείραντα γύναιον, ἠρώτησε μετ’ ὀργῆς ‘τί τοιοῦτον αὐτῷ σύν-*

8 *κωμῳδιοποιόν* *: *κωμῳδιποιόν*   21 *ἀηδές*] *ὄνειδος*?

οιδεν.’ εἰπόντος δὲ τοῦ νεανίσκου ‘σὺ γὰρ οὐκ εἶχες πατέρα τύραννον’, ‘οὐδὲ σύ’ εἶπεν ‘υἱὸν ἕξεις, ἐὰν μὴ παύσῃ ταῦτα ποιῶν.’

4. Πάλιν δὲ πρὸς αὐτὸν εἰσελθὼν καὶ θεασάμενος ἐκπωμάτων χρυσῶν καὶ ἀργυρῶν πλῆθος ἀνεβόησεν ‘οὐκ ἔστιν ἐν σοὶ τύραννος, ὃς ἀφ’ ὧν λαμβάνεις ἀπ’ ἐμοῦ ποτηρίων τοσούτων φίλον οὐδένα σεαυτῷ πεποίηκας.’

5. Χρήματα δὲ εἰσπράσσων τοὺς Συρακουσίους, εἶτα ὁρῶν ὀδυρομένους καὶ δεομένους καὶ λέγοντας ὡς οὐκ ἔχουσιν, ἐκέλευσεν ἕτερα πράττειν, καὶ δὶς F ἢ τρὶς τοῦτο ἐποίησεν· ἐπεὶ δὲ προστάξας πλείονα γελᾶν ἤκουσεν αὐτοὺς καὶ σκώπτειν ἐν ἀγορᾷ περιιόντας, ἐκέλευσε παύσασθαι ‘νῦν γὰρ οὐδὲν ἔχουσιν’ εἶπεν ‘ὅτε καταφρονοῦσιν ἡμῶν.’

6. Τῆς δὲ μητρὸς αὐτοῦ παρήλικος μὲν οὔσης δοθῆναι δὲ ἀνδρὶ βουλομένης, ἔφη ‘τοὺς μὲν τῆς πόλεως βιάσασθαι νόμους δύνασθαι, τοὺς δὲ τῆς φύσεως μὴ δύνασθαι.’

7. Πικρῶς δὲ τοὺς ἄλλους κακούργους κολάζων ἐφείδετο τῶν λωποδυτῶν, ὅπως παύσωνται οἱ Συρακούσιοι τοῦ δειπνεῖν καὶ μεθύσκεσθαι μετ’ ἀλλήλων.

8. Ξένου δέ τινος ἰδίᾳ φράσειν φάσκοντος αὐτῷ καὶ διδάξειν ὅπως προειδήσει τοὺς ἐπιβουλεύοντας, ἐκέλευσεν εἰπεῖν· ἐπεὶ δὲ προσελθὼν ‘δός’ εἶπε ‘μοι 176 τάλαντον, ἵνα δόξῃς ἀκηκοέναι τὰ σημεῖα τῶν ἐπιβουλευόντων’, ἔδωκε προσποιούμενος ἀκηκοέναι καὶ θαυμάζειν τὴν μέθοδον τοῦ ἀνθρώπου.

9. *Πρὸς δὲ τὸν πυθόμενον ‘εἰ σχολάζοι’ ‘μηδέποτε’ εἶπεν ‘ἐμοὶ τοῦτο συμβαίη.’*

10. *Δύο δὲ ἀκούσας νεανίσκους πολλὰ βλάσφημα περὶ αὐτοῦ καὶ τῆς τυραννίδος εἰρηκέναι παρὰ πότον, ἀμφοτέρους ἐκάλεσεν ἐπὶ δεῖπνον· ὁρῶν δὲ τὸν μὲν παροινοῦντα καὶ ληροῦντα πολλά, τὸν δὲ σπανίως καὶ μετ' εὐλαβείας ταῖς κόσεσι χρώμενον,*
B *ἐκεῖνον μὲν ἀπέλυσεν ὡς φύσει παροινήσαντα καὶ διὰ μέθην κακολογήσαντα, τοῦτον δὲ ἀνεῖλεν ὡς δύσνουν καὶ πολέμιον ἐκ προαιρέσεως.*

11. *Αἰτιωμένων δέ τινων, ὅτι τιμᾷ καὶ προάγεται πονηρὸν ἄνθρωπον καὶ δυσχεραινόμενον ὑπὸ τῶν πολιτῶν, ‘ἀλλὰ καὶ βούλομαι’ εἶπεν ‘εἶναι τὸν ἐμοῦ μᾶλλον μισούμενον.’*

12. *Ἐπεὶ δὲ Κορινθίων πρέσβεις δῶρα διδόντος αὐτοῦ παρῃτοῦντο διὰ τὸν νόμον, ὃς οὐκ εἴα δῶρα λαμβάνειν παρὰ δυνάστου πρεσβεύοντας, ‘δεινόν’ ἔφη ‘πρᾶγμα ποιεῖν αὐτούς, ὃ μόνον αἱ τυραννίδες ἀγαθὸν ἔχουσιν ἀναιροῦντας καὶ διδάσκοντας ὅτι καὶ τὸ εὖ παθεῖν ὑπὸ τυράννου φοβερόν ἐστιν.’*

13. *Ἀκούσας δέ τινα τῶν πολιτῶν χρυσίον ἔχειν*
C *οἴκοι κατορωρυγμένον ἐκέλευσεν ἐνεγκεῖν πρὸς αὐτόν· ἐπεὶ δὲ παρακλέψας ὀλίγον ὁ ἄνθρωπος καὶ μεταστὰς εἰς ἑτέραν πόλιν ἐωνήσατο χωρίον, μεταπεμψάμενος αὐτὸν ἐκέλευσε πᾶν ἀπολαβεῖν, ἠργμένον χρῆσθαι τῷ πλούτῳ καὶ μηκέτι ποιοῦντα τὸ χρήσιμον ἄχρηστον.*

ΔΙΟΝΥΣΙΟΥ ΤΟΥ ΝΕΩΤΕΡΟΥ.

1. Ὁ δὲ νεώτερος Διονύσιος ἔλεγε πολλοὺς τρέφειν σοφιστάς, οὐ θαυμάζων ἐκείνους ἀλλὰ δι᾽ ἐκείνων θαυμάζεσθαι βουλόμενος.

2. Πολυξένου δὲ τοῦ διαλεκτικοῦ φήσαντος αὐτὸν ἐξελέγχειν, ‘ἀμέλει τοῖς λόγοις’ εἶπεν ‘ἐγὼ δέ D σε τοῖς ἔργοις ἐλέγχω· τὰ γὰρ σεαυτοῦ καταλιπὼν ἐμὲ καὶ τὰ ἐμὰ θεραπεύεις.’

3. Ἐκπεσὼν δὲ τῆς ἀρχῆς, πρὸς μὲν τὸν εἰπόντα ‘τί σε Πλάτων καὶ φιλοσοφία ὠφέλησε;’ ‘τὸ τηλικαύτην’ ἔφη ‘τύχης μεταβολὴν ῥᾳδίως ὑπομένειν.’

4. Ἐρωτηθεὶς δὲ πῶς ὁ μὲν πατὴρ αὐτοῦ πένης ὢν καὶ ἰδιώτης ἐκτήσατο τὴν Συρακουσίων ἀρχήν, αὐτὸς δὲ ἔχων καὶ τυράννου παῖς ὢν πῶς ἀπέβαλεν· ‘ὁ μὲν πατήρ’ ἔφη ‘μισουμένης δημοκρατίας ἐνέπεσε τοῖς πράγμασιν, ἐγὼ δὲ φθονουμένης τυραννίδος.’

5. Ὑπὸ ἄλλου δὲ τὸ αὐτὸ τοῦτο ἐρωτηθείς ‘ὁ E πατήρ’ ἔφη ‘μοι τὴν τυραννίδα τὴν ἑαυτοῦ κατέλιπεν, οὐ τὴν τύχην.’

ΑΓΑΘΟΚΛΕΟΥΣ.

1. Ἀγαθοκλῆς υἱὸς ἦν κεραμέως· γενόμενος δὲ κύριος Σικελίας καὶ βασιλεὺς ἀναγορευθεὶς εἰώθει κεραμεᾶ ποτήρια τιθέναι παρὰ τὰ χρυσᾶ, καὶ τοῖς νέοις ἐπιδεικνύμενος λέγειν ὅτι ‘τοιαῦτα ποιῶν πρότερον νῦν τοιαῦτα ποιεῖ διὰ τὴν ἐπιμέλειαν καὶ τὴν ἀνδρείαν.’

2. *Πολιορκοῦντος δὲ πόλιν αὐτοῦ, τῶν ἀπὸ τοῦ τείχους τινὲς ἐλοιδοροῦντο λέγοντες ὅτι ‘ὦ κεραμεῦ,*
F *τὸν μισθὸν πῶς ἀποδώσεις τοῖς στρατιώταις;’ ὁ δὲ πρᾶος καὶ μειδιῶν εἶπεν ‘αἴκα ταύταν ἕλω.’ λαβὼν δὲ κατὰ κράτος ἐπίπρασκε τοὺς αἰχμαλώτους καὶ ἔλεγεν ‘ἐάν με πάλιν λοιδορῆτε, πρὸς τοὺς κυρίους ὑμῶν ἔσται μοι ὁ λόγος.’*

3. *Ἐγκαλούντων δὲ τοῖς ναύταις αὐτοῦ τῶν Ἰθακησίων, ὅτι τῇ νήσῳ προσβαλόντες τῶν θρεμμάτων τινὰ ἀπέσπασαν, ‘ὁ δὲ ὑμέτερος’ ἔφη ‘βασιλεὺς ἐλθὼν πρὸς ἡμᾶς, οὐ μόνον τὰ πρόβατα λαβὼν ἀλλὰ καὶ τὸν ποιμένα προσεκτυφλώσας ἀπῆλθε.’*

ΔΙΩΝΟΣ.

Δίων ὁ Διονύσιον ἐκβαλὼν ἐκ τῆς τυραννίδος, ἀκούσας ἐπιβουλεύειν αὐτῷ Κάλλιππον, ᾧ μάλιστα τῶν φίλων καὶ ξένων ἐπίστευεν, οὐχ ὑπέμεινεν
177 *ἐλέγξαι ‘βέλτιον εἶναι’ φήσας ‘ἀποθανεῖν ἢ ζῆν μὴ μόνον τοὺς πολεμίους ἀλλὰ καὶ τοὺς φίλους φυλαττόμενον.’*

ΑΡΧΕΛΑΟΥ.

1. *Ἀρχέλαος αἰτηθεὶς παρὰ πότον ποτήριον χρυσοῦν ὑπό τινος τῶν συνήθων οὐ μὴν ἐπιεικῶν, ἐκέλευσεν Εὐριπίδῃ τὸν παῖδα δοῦναι· θαυμάσαντος δὲ τοῦ ἀνθρώπου, ‘σὺ μὲν γάρ’ εἶπεν ‘αἰτεῖν, οὗτος δὲ λαμβάνειν ἄξιός ἐστι καὶ μὴ αἰτῶν.’*

2. *Ἀδολέσχου δὲ κουρέως ἐρωτήσαντος αὐτὸν ‘πῶς σε κείρω;’ ‘σιωπῶν’ ἔφη.*

3. *Τοῦ δὲ Εὐριπίδου τὸν καλὸν Ἀγάθωνα περι-*

λαμβάνοντος ἐν τῷ συμποσίῳ καὶ καταφιλοῦντος ἤδη γενειῶντα, πρὸς τοὺς φίλους εἶπε 'μὴ θαυμά- B σητε· τῶν γὰρ καλῶν καὶ τὸ μετόπωρον καλόν ἐστιν.'

4. Ἐπεὶ δὲ Τιμόθεος ὁ κιθαρῳδὸς ἐλπίσας πλείονα, λαβὼν δὲ ἐλάττονα, δῆλος ἦν ἐγκαλῶν αὐτῷ, καί ποτε ᾄδων τουτὶ τὸ κομμάτιον 'σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰνεῖς' ἀπεσήμαινεν εἰς ἐκεῖνον· ὑπέκρουσεν ὁ Ἀρχέλαος αὐτῷ 'σὺ δέ γε αἰτεῖς.'

5. Ὕδωρ δέ τινος αὐτοῦ κατασκεδάσαντος, ὑπὸ τῶν φίλων παροξυνόμενος ἐπὶ τὸν ἄνθρωπον 'ἀλλ' οὐκ ἐμοῦ' φησίν 'ἀλλ' ἐκείνου κατεσκέδασεν ὃν ἔδοξεν ἐμὲ εἶναι.'

ΦΙΛΙΠΠΟΥ ΤΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΠΑΤΡΟΣ. C

1. Φίλιππον τὸν Ἀλεξάνδρου πατέρα Θεόφραστος ἱστόρηκεν οὐ μόνον μεταξὺ τῶν βασιλέων, ἀλλὰ καὶ τῇ τύχῃ καὶ τῷ τρόπῳ μείζονα γενέσθαι καὶ μετριώτερον.

2. Ἀθηναίους μὲν οὖν μακαρίζειν ἔλεγεν, εἰ καθ' ἕκαστον ἐνιαυτὸν αἱρεῖσθαι δέκα στρατηγοὺς εὑρίσκουσιν· αὐτὸς γὰρ ἐν πολλοῖς ἔτεσιν ἕνα μόνον στρατηγὸν εὑρηκέναι, Παρμενίωνα.

3. Πολλῶν δὲ κατορθωμάτων αὐτῷ καὶ καλῶν ἐν μιᾷ ἡμέρᾳ προσαγγελθέντων, 'ὦ τύχη' εἶπε 'μικρόν τι μοι κακὸν ἀντὶ τῶν τοσούτων καὶ τηλικούτων ἀγαθῶν ποίησον.'

4. Ἐπεὶ δὲ νικήσαντι τοὺς Ἕλληνας αὐτῷ συν-

14 ἱστόρηκε τῶν μεταξὺ βασιλέων οὐ μόνον τῇ τύχῃ μείζονα, ἀλλὰ καὶ τῷ τρόπῳ γενέσθαι μετριώτερον W

D εβούλευον ἔνιοι φρουραῖς τὰς πόλεις κατέχειν, ἔφη ‘μᾶλλον πολὺν χρόνον ἐθέλειν χρηστὸς ἢ δεσπότης ὀλίγον καλεῖσθαι.’

5. Τὸν δὲ λοίδορον ἐξελάσαι τῶν φίλων κελευόντων, οὐκ ἔφη ποιήσειν, ἵνα μὴ περιιὼν ἐν πλείοσι κακῶς λέγῃ.

6. Σμικύθου δὲ Νικάνορα διαβάλλοντος ὡς ἀεὶ κακῶς λέγοντα τὸν Φίλιππον καὶ τῶν ἑταίρων οἰομένων δεῖν μεταπέμπεσθαι καὶ κολάζειν, ‘ἀλλὰ μήν’ ἔφη ‘Νικάνωρ οὐ φαυλότατός ἐστι Μακεδόνων· ἐπισκεπτέον οὖν, μή τι γίνεται παρ’ ἡμᾶς.’ ὡς οὖν ἔγνω τὸν Νικάνορα θλιβόμενον ἰσχυρῶς ὑπὸ πενίας ἠμελημένον δὲ ὑπ’ αὐτοῦ, προσέταξε δωρεάν τινα αὐτῷ δοθῆναι. πάλιν οὖν τοῦ Σμικύθου λέγοντος,
E ὅτι θαυμαστὰ περὶ αὐτοῦ πρὸς ἅπαντας ἐγκώμια λέγων ὁ Νικάνωρ διατελεῖ, ‘ὁρᾶτε οὖν’ εἶπεν ‘ὅτι παρ’ ἡμᾶς αὐτούς ἐστι καὶ τὸ καλῶς καὶ τὸ κακῶς ἀκούειν.’

7. Τοῖς δὲ τῶν Ἀθηναίων δημαγωγοῖς ἔφη χάριν ἔχειν, ὅτι λοιδοροῦντες αὐτὸν βελτίονα ποιοῦσι καὶ τῷ λόγῳ καὶ τῷ ἤθει· ‘πειρῶμαι γὰρ αὐτοὺς ἅμα καὶ τοῖς λόγοις καὶ τοῖς ἔργοις ψευδομένους ἐλέγχειν.’

8. Τῶν δὲ Ἀθηναίων, ὅσοι περὶ Χαιρώνειαν ἑάλωσαν, ἀφεθέντων ὑπ’ αὐτοῦ δίχα λύτρων, τὰ δὲ ἱμάτια καὶ στρώματα προσαπαιτούντων καὶ τοῖς Μα-
F κεδόσιν ἐγκαλούντων, γελάσας ὁ Φίλιππος εἶπεν ‘οὐ δοκοῦσιν ὑμῖν Ἀθηναῖοι νομίζειν ἐν ἀστραγάλοις ὑφ’ ἡμῶν νενικῆσθαι;’

9. Τῆς δὲ κλειδὸς αὐτῷ κατεαγείσης ἐν πολέμῳ

καὶ τοῦ θεραπεύοντος ἰατροῦ πάντως τι καθ' ἡμέραν αἰτοῦντος, 'λάμβανε' ἔφη 'ὅσα βούλει· τὴν γὰρ κλεῖν ἔχεις.'

10. Δυεῖν δὲ ἀδελφῶν Ἀμφοτεροῦ καὶ Ἑκατεροῦ, τὸν μὲν Ἑκατερὸν ἔμφρονα καὶ πρακτικὸν ὁρῶν, τὸν δὲ Ἀμφοτερὸν εὐήθη καὶ ἀβέλτερον ἔφη 'τὸν μὲν Ἑκατερὸν ἀμφότερον εἶναι, τὸν δὲ Ἀμφοτερὸν οὐδέτερον.'

11. Τοὺς δὲ συμβουλεύοντας αὐτῷ πικρῶς χρῆσθαι 178 τοῖς Ἀθηναίοις ἀτόπους ἔλεγεν εἶναι, κελεύοντας ἄνθρωπον ὑπὲρ δόξης πάντα ποιοῦντα καὶ πάσχοντα ἀποβαλεῖν τὸ τῆς δόξης θέατρον.

12. Γενόμενος δὲ κριτὴς δυεῖν πονηρῶν ἐκέλευσε τὸν μὲν φεύγειν ἐκ Μακεδονίας τὸν δὲ ἕτερον διώκειν.

13. Μέλλων δὲ καταστρατοπεδεύειν ἐν χωρίῳ καλῷ καὶ πυθόμενος ὅτι χόρτος οὐκ ἔστι τοῖς ὑποζυγίοις, 'οἷος' εἶπεν 'ὁ βίος ἡμῶν ἐστιν, εἰ καὶ πρὸς τὸν τῶν ὄνων καιρὸν ὀφείλομεν ζῆν;'

14. Φρούριον δέ τι βουλόμενος λαβεῖν ὀχυρόν, ὡς ἀπήγγειλαν οἱ κατάσκοποι χαλεπὸν εἶναι παντάπασι B καὶ ἀνάλωτον, ἠρώτησεν 'εἰ χαλεπὸν οὕτως ἐστίν, ὥστε μηδὲ ὄνον προσελθεῖν χρυσίον κομίζοντα.'

15. Τῶν δὲ περὶ Λασθένην τὸν Ὀλύνθιον ἐγκαλούντων καὶ ἀγανακτούντων, ὅτι προδότας αὐτοὺς ἔνιοι τῶν περὶ τὸν Φίλιππον ἀποκαλοῦσι, 'σκαιούς' ἔφη 'φύσει καὶ ἀγροίκους εἶναι Μακεδόνας καὶ τὴν σκάφην σκάφην λέγοντας.'

16. *Τῷ δὲ υἱῷ παρῄνει πρὸς χάριν ὁμιλεῖν τοῖς Μακεδόσι, κτώμενον ἑαυτῷ τὴν παρὰ τῶν πολλῶν δύναμιν, ἕως ἔξεστι βασιλεύοντος ἄλλου φιλάνθρωπον εἶναι.*

C 17. *Συνεβούλευε δὲ τῶν ἐν ταῖς πόλεσι δυνατῶν καὶ τοὺς ἀγαθοὺς φίλους κτᾶσθαι καὶ τοὺς πονηρούς, εἶτα οἷς μὲν χρῆσθαι οἷς δ' ἀποχρῆσθαι.*

18. *Πρὸς δὲ Φίλωνα τὸν Θηβαῖον εὐεργέτην αὐτοῦ γενόμενον καὶ ξένον, ὁπηνίκα διῆγεν ἐν Θήβαις ὁμηρεύων, ὕστερον δὲ μηδεμίαν παρ' αὐτοῦ δωρεὰν προσδεχόμενον ‘μή με’ εἶπεν ‘ἀφαιροῦ τὸ ἀνίκητον εὐεργεσίας καὶ χάριτος ἡττώμενον.’*

19. *Ληφθέντων δὲ πολλῶν αἰχμαλώτων, ἐπίπρασκεν αὐτοὺς ἀνεσταλμένῳ τῷ χιτῶνι καθήμενος οὐκ εὐπρεπῶς· εἷς οὖν τῶν πωλουμένων ἀνεβόησε ‘φεῖσαί μου, Φίλιππε, πατρικὸς γάρ εἰμί σου φίλος·’ ἐρωτήσαντος δὲ τοῦ Φιλίππου ‘πόθεν, ὦ ἄνθρωπε,* D *γενόμενος καὶ πῶς;’ ‘ἐγγύς’ ἔφη ‘φράσαι σοι βούλομαι προσελθών·’ ὡς οὖν προσήχθη ‘μικρόν’ ἔφη ‘κατωτέρω τὴν χλαμύδα ποίησον, ἀσχημονεῖς γὰρ οὕτω καθήμενος·’ καὶ ὁ Φίλιππος ‘ἄφετε αὐτόν’ εἶπεν ‘ἀληθῶς γὰρ εὔνους ὢν καὶ φίλος ἐλάνθανεν.’*

20. *Ἐπεὶ δὲ ὑπό τινος ξένου κληθεὶς ἐπὶ δεῖπνον ἐν ὁδῷ πολλοὺς ἐπήγετο καὶ τὸν ξένον ἑώρα θορυβούμενον, ἦν γὰρ οὐχ ἱκανὰ τὰ παρεσκευασμένα, προπέμπων τῶν φίλων ἑκάστῳ, πλακοῦντι χώραν* E *ἐκέλευεν ἀπολείπειν· οἱ δὲ πειθόμενοι καὶ προσδοκῶντες οὐκ ἤσθιον πολλά, καὶ πᾶσιν οὕτως ἤρκεσεν.*

3 *δύναμιν*] *εὐμένειαν* W

21. Ἱππάρχου τοῦ Εὐβοέως ἀποθανόντος, δῆλος ἦν βαρέως φέρων· εἰπόντος δέ τινος 'ἀλλὰ μὴν ὡραῖος ὢν ἐκεῖνος ἀποτέθνηκεν', 'ἑαυτῷ γε' εἶπεν, 'ἐμοὶ δὲ ταχέως· ἔφθη γὰρ τελευτῆσαι πρὶν ἢ παρ' ἐμοῦ χάριν ἀξίαν τῆς φιλίας ἀπολαβεῖν.'

22. Πυθόμενος δ' ἐγκαλεῖν αὐτῷ τὸν Ἀλέξανδρον, ὅτι παῖδας ἐκ πλειόνων ποιεῖται γυναικῶν, 'οὐκοῦν' ἔφη 'πολλοὺς ἔχων περὶ τῆς βασιλείας ἀνταγωνιστὰς γενοῦ καλὸς κἀγαθός, ἵνα μὴ δι' F ἐμὲ τῆς βασιλείας τύχῃς ἀλλὰ διὰ σεαυτόν.' ἐκέλευε δ' αὐτὸν Ἀριστοτέλει προσέχειν καὶ φιλοσοφεῖν, 'ὅπως' ἔφη 'μὴ πολλὰ τοιαῦτα πράξῃς, ἐφ' οἷς ἐγὼ πεπραγμένοις μεταμέλομαι.'

23. Τῶν δὲ Ἀντιπάτρου φίλων τινὰ κατατάξας εἰς τοὺς δικαστάς, εἶτα τὸν πώγωνα βαπτόμενον αἰσθανόμενος καὶ τὴν κεφαλήν, ἀνέστησεν εἰπὼν 'τὸν ἄπιστον ἐν θριξὶ μὴ νομίζειν ἀξιόπιστον ἐν πράγμασι.'

24. Μαχαίτᾳ δέ τινα κρίνων δίκην καὶ ὑπονυστάζων οὐ πάνυ προσεῖχε τοῖς δικαίοις ἀλλὰ κατέκρινεν· ἐκείνου δὲ ἀναβοήσαντος ἐκκαλεῖσθαι τὴν κρίσιν, διοργισθείς 'ἐπὶ τίνα;' εἶπε· καὶ ὁ Μαχαίτας 'ἐπὶ σὲ βασιλεῦ αὐτόν, ἂν ἐγρηγορὼς καὶ προσέχων 179 ἀκούῃς.' τότε μὲν οὖν ἀνέστη· γενόμενος δὲ μᾶλλον ἐφ' ἑαυτῷ καὶ γνοὺς ἀδικούμενον τὸν Μαχαίταν τὴν μὲν κρίσιν οὐκ ἔλυσε, τὸ δὲ τίμημα τῆς δίκης αὐτὸς ἐξέτισεν.

25. Ἐπεὶ δὲ Ἅρπαλος ὑπὲρ συγγενοῦς καὶ οἰκείου Κράτητος ἀδικημάτων δίκην ἔχοντος ἠξίου τὴν ζημίαν

εἰσενεγκεῖν ἀφεθῆναι δὲ τῆς κρίσεως, ἵνα μὴ λοιδο-
ρηθῇ, ‘βέλτιόν ἐστιν’ εἶπε ‘τοῦτον αὐτὸν ἢ ἡμᾶς
διὰ τοῦτον κακῶς ἀκούειν.’

26. Ἀγανακτούντων δὲ τῶν φίλων, ὅτι συρίτ-
τουσιν αὐτὸν ἐν Ὀλυμπίοις εὖ πεπονθότες οἱ Πελο-
B ποννήσιοι, ‘τί οὖν’ εἶπεν ‘ἐὰν κακῶς πάθωσι;’

27. Κοιμηθεὶς δὲ πλείονα χρόνον ἐπὶ στρατείας
εἶτα διαναστάς ‘ἀσφαλῶς’ εἶπεν ‘ἐκάθευδον· Ἀντί-
πατρος γὰρ ἐγρηγόρει.’

28. Πάλιν δὲ ἡμέρας καθεύδοντος αὐτοῦ καὶ τῶν
ἠθροισμένων ἐπὶ θύραις Ἑλλήνων ἀγανακτούντων
καὶ ἐγκαλούντων, ὁ Παρμενίων ‘μὴ θαυμάσητε’
εἶπεν ‘εἰ καθεύδει νῦν Φίλιππος· ὅτε γὰρ ἐκαθεύδετε
ὑμεῖς, οὗτος ἐγρηγόρει.’

29. Ψάλτην δέ τινα βουλομένου παρὰ δεῖπνον
ἐπανορθοῦν αὐτοῦ καὶ λαλεῖν περὶ κρουμάτων, ὁ
ψάλτης ‘μὴ γένοιτό σοι’ εἶπεν ‘ὦ βασιλεῦ κακῶς
οὕτως, ἵνα ταῦτα ἐμοῦ βέλτιον εἰδῇς.’

C 30. Ἐπεὶ δὲ διενεχθέντος αὐτοῦ πρὸς Ὀλυμπιάδα
τὴν γυναῖκα καὶ τὸν υἱὸν ἧκε Δημάρατος ὁ Κορίν-
θιος, ἐπυνθάνετο, πῶς πρὸς ἀλλήλους ἔχουσιν οἱ
Ἕλληνες· καὶ ὁ Δημάρατος ‘πάνυ γοῦν’ ἔφη ‘σοὶ
περὶ τῆς τῶν Ἑλλήνων ὁμονοίας ὁ λόγος ἐστίν,
οὕτω πρὸς σὲ τῶν οἰκειοτάτων ἐχόντων.’ ὁ δὲ συμ-
φρονήσας ἐπαύσατο τῆς ὀργῆς καὶ διηλλάγη πρὸς
αὐτούς.

31. Πρεσβύτιδος δὲ πενιχρᾶς ἀξιούσης ἐπ’ αὐτοῦ
κριθῆναι καὶ πολλάκις ἐνοχλούσης, ἔφη ‘μὴ σχολά-
ζειν·’ ἡ δὲ πρεσβῦτις ἐκκραγοῦσα ‘καὶ μὴ βασίλευε’

εἶπεν. ὁ δὲ θαυμάσας τὸ ῥηθὲν οὐ μόνον ἐκείνης D ἀλλὰ καὶ τῶν ἄλλων εὐθὺς διήκουσεν.

ΑΛΕΞΑΝΔΡΟΥ.

1. Ἀλέξανδρος ἔτι παῖς ὤν, πολλὰ τοῦ Φιλίππου κατορθοῦντος, οὐκ ἔχαιρεν, ἀλλὰ πρὸς τοὺς συντρεφομένους ἔλεγε παῖδας 'ἐμοὶ δὲ ὁ πατὴρ οὐδὲν ἀπολείψει.' τῶν δὲ παίδων λεγόντων ὅτι 'σοὶ ταῦτα κτᾶται'· 'τί δὲ ὄφελος' εἶπεν 'ἐὰν ἔχω μὲν πολλὰ πράξω δὲ μηδέν;'

2. Ἐλαφρὸς δὲ ὢν καὶ ποδώκης καὶ παρακαλούμενος ὑπὸ τοῦ πατρὸς Ὀλύμπια δραμεῖν στάδιον, 'εἴγε' ἔφη 'βασιλεῖς ἕξειν ἔμελλον ἀνταγωνιστάς.'

3. Ἀχθείσης δὲ παιδίσκης πρὸς αὐτὸν ὡς συν- E αναπαυσομένης περὶ ἑσπέραν βαθεῖαν, ἠρώτησεν 'ὅ τι τηνικαῦτα;' τῆς δὲ εἰπούσης 'περιέμενον γὰρ τὸν ἄνδρα κατακλῖναι,' πικρῶς ἐπετίμησε τοῖς παισὶν ὡς μικροῦ δι' αὐτοὺς μοιχὸς γενόμενος.

4. Ἐπιθυμιῶντι δὲ τοῖς θεοῖς ἀφειδῶς αὐτῷ καὶ πολλάκις ἐπιδραττομένῳ τοῦ λιβανωτοῦ, παρὼν Λεωνίδης ὁ παιδαγωγός 'οὕτως' εἶπεν 'ὦ παῖ, δαψιλῶς ἐπιθυμιάσεις, ὅταν τῆς λιβανωτοφόρου κρατήσῃς.' ὡς οὖν ἐκράτησεν, ἔπεμψεν ἐπιστολὴν πρὸς αὐτόν· 'ἀπέσταλκά σοι τάλαντα ἑκατὸν λιβανωτοῦ καὶ κασίας, F ἵνα μηκέτι μικρολογῇ περὶ τοὺς θεούς, εἰδὼς ὅτι καὶ τῆς ἀρωματοφόρου κρατοῦμεν.'

5. Μέλλων δὲ τὴν ἐπὶ Γρανίκῳ μάχην μάχεσθαι

15 κατακλῖναι] κατακλινῆναι Herwerdenus 22 ἑκατὸν S

παρεκάλει τοὺς Μακεδόνας ἀφθόνως δειπνεῖν καὶ πάντα φέρειν εἰς μέσον, ὡς αὔριον δειπνήσοντας ἐκ τῶν πολεμίων.

6. Περίλλου δέ τινος τῶν φίλων αἰτήσαντος προῖκα τοῖς θυγατρίοις, ἐκέλευσε πεντήκοντα τάλαντα λαβεῖν· αὐτοῦ δὲ φήσαντος ἱκανὰ εἶναι δέκα, 'σοί γε' ἔφη 'λαβεῖν, ἐμοὶ δ' οὐχ ἱκανὰ δοῦναι.'

7. Ἀναξάρχῳ δὲ τῷ φιλοσόφῳ δοῦναι τὸν διοικητὴν ἐκέλευσεν ὅσον ἂν αἰτήσῃ· τοῦ δὲ διοικητοῦ φήσαντος ὡς ἑκατὸν αἰτεῖ τάλαντα, 'καλῶς' ἔφη 'ποιεῖ
180 γινώσκων ὅτι φίλον ἔχει καὶ δυνάμενον τηλικαῦτα δωρεῖσθαι καὶ βουλόμενον.'

8. Ἐν δὲ τῇ Μιλήτῳ πολλοὺς ἀνδριάντας ἀθλητῶν θεασάμενος Ὀλύμπια καὶ Πύθια νενικηκότων 'καὶ ποῦ τὰ τηλικαῦτα' ἔφη 'ἦν σώματα, ὅτε οἱ βάρβαροι ὑμῶν τὴν πόλιν ἐπολιόρκουν;'

9. Τῆς δὲ τῶν Καρῶν βασιλίσσης Ἄδας ὄψα καὶ πέμματα παρεσκευασμένα περιττῶς διὰ δημιουργῶν καὶ μαγείρων φιλοτιμουμένης ἀεὶ πέμπειν πρὸς αὐτόν, ἔφη 'κρείττονας ἔχειν αὐτὸς ὀψοποιούς, πρὸς μὲν ἄριστον τὴν νυκτοπορίαν πρὸς δὲ δεῖπνον τὴν ὀλιγαριστίαν.'

10. Ἐπεὶ δὲ παρεσκευασμένων πάντων πρὸς
B μάχην, ἠρώτησαν οἱ στρατηγοί 'μή τι πρὸς τούτοις ἕτερον;' 'οὐδέν' εἶπεν 'ἢ ξυρᾶν τὰ γένεια τῶν Μακεδόνων·' θαυμάσαντος δὲ τοῦ Παρμενίωνος 'οὐκ οἶδας' εἶπεν 'ὅτι βελτίων οὐκ ἔστιν ἐν μάχαις λαβὴ πώγωνος;'

11. Δαρείου δὲ διδόντος αὐτῷ μύρια τάλαντα

28 δὲ διδόντος *: διδόντος vel δὲ δόντος

καὶ τὴν Ἀσίαν νείμασθαι πρὸς αὐτὸν ἐπίσης, καὶ Παρμενίωνος εἰπόντος ‘ἔλαβον ἂν εἰ Ἀλέξανδρος ἤμην’, ‘κἀγὼ νὴ Δία’ εἶπεν ‘εἰ Παρμενίων ἤμην.’ ἀπεκρίνατο δὲ Δαρείῳ μήτε τὴν γῆν ἡλίους δύο μήτε τὴν Ἀσίαν δύο βασιλεῖς ὑπομένειν.

12. Μέλλοντι δὲ αὐτῷ περὶ τῶν ὅλων ἐν Ἀρβήλοις C κινδυνεύειν πρὸς ἑκατὸν μυριάδας ἀντιτεταγμένας προσῆεσαν οἱ φίλοι, τῶν στρατιωτῶν κατηγοροῦντες ὡς ἐν ταῖς σκηναῖς διαλαλούντων καὶ συντιθεμένων, ὅπως μηδὲν τῶν λαφύρων εἰς τὸ βασιλικὸν ἀνοίσουσιν ἀλλ’ αὐτοὶ κερδανοῦσιν. ὁ δὲ μειδιάσας ‘ἀγαθά’ φησίν ‘ἀγγέλλετε· νικᾶν γὰρ ἀνδρῶν οὐ φεύγειν παρεσκευασμένων ἀκούω διαλογισμούς.’ καὶ προσιόντες αὐτῷ πολλοὶ τῶν στρατιωτῶν ἔλεγον ‘ὦ βασιλεῦ, θάρρει καὶ μὴ φοβοῦ τὸ πλῆθος τῶν πολεμίων, αὐτὸν γὰρ ἡμῶν τὸν γράσον οὐχ ὑπομενοῦσι.’

13. Παρατασσομένου δὲ τοῦ στρατεύματος ἰδών τινα τῶν στρατιωτῶν τὸ ἀκόντιον ἐναγκυλούμενον D ἐξέωσε τῆς φάλαγγος ὡς ἄχρηστον, ὃς ‘παρασκευάζεται δὴ νῦν, ὅτε χρῆσθαι δεῖ τοῖς ὅπλοις.’

14. Ἐπιστολὴν δὲ παρὰ τῆς μητρὸς ἀναγινώσκων ἀπορρήτους κατ’ Ἀντιπάτρου διαβολὰς ἔχουσαν, ἅμα τοῦ Ἡφαιστίωνος ὥσπερ εἰώθει συναναγινώσκοντος, οὐκ ἐκώλυσεν· ὡς δὲ ἀνέγνω, τὸν δακτύλιον ἀφελόμενος τὸν ἑαυτοῦ τῷ στόματι τῷ ἐκείνου τὴν σφραγῖδα ἐπέθηκεν.

15. Ἐν δὲ Ἄμμωνος ὑπὸ τοῦ προφήτου παῖς Διὸς προσαγορευθείς ‘οὐδέν γε’ ἔφη ‘θαυμαστόν,

πάντων μὲν γὰρ ὁ Ζεὺς φύσει πατήρ ἐστιν, ἑαυτοῦ δὲ ποιεῖται τοὺς ἀρίστους.’

E 16. Τοξεύματι δὲ πληγεὶς εἰς τὸ σκέλος, ὡς πολλοὶ συνέδραμον τῶν πολλάκις εἰωθότων αὐτὸν θεὸν προσαγορεύειν, διαχυθεὶς τῷ προσώπῳ ‘τουτὶ μὲν αἷμα’ εἶπεν ‘ὡς ὁρᾶτε καὶ οὐκ

ἰχώρ, οἷόσπέρ τε ῥέει μακάρεσσι θεοῖσιν.’

17. Ἐπαινούντων δὲ ἐνίων τοῦ Ἀντιπάτρου τὴν εὐτέλειαν ὡς ἀθρύπτως διαιτωμένου καὶ αὐστηρῶς, ‘ἔξωθεν’ εἶπεν ‘Ἀντίπατρος λευκοπάρυφός ἐστι, τὰ δὲ ἔνδον ὁλοπόρφυρος.’

18. Ἐν δὲ χειμῶνι καὶ ψύχει τῶν φίλων τινὸς ἑστιῶντος αὐτόν, ἐσχάραν δὲ μικρὰν καὶ πῦρ ὀλίγον εἰσενέγκαντος, ἢ ξύλα ἢ λιβανωτὸν εἰσενεγκεῖν ἐκέλευσεν.

F 19. Ἀντιπατρίδου δὲ καλὴν ψάλτριαν ἐπὶ τὸ δεῖπνον ἀγαγόντος, κινηθεὶς τῇ ὄψει πρὸς αὐτὴν ὁ Ἀλέξανδρος ἠρώτησε τὸν Ἀντιπατρίδην, μή τι τυγχάνοι τῆς γυναικὸς ἐρῶν· ἐκείνου δὲ ὁμολογήσαντος, ‘ὦ μιαρέ’ εἶπεν ‘οὐκ ἀπάξεις εὐθὺς ἐκ τοῦ συμποσίου τὴν γυναῖκα;’

20. Πάλιν δὲ Πύθωνα τὸν Εὐίου τοῦ αὐλητοῦ ἐρώμενον Κάσανδρος ἐβιάζετο φιλῆσαι· τὸν οὖν Εὔιον ὁρῶν ἀχθόμενον ἀνεπήδησε μετ’ ὀργῆς ἐπὶ τὸν Κάσανδρον, κεκραγώς ‘ἀλλ’ οὐδ’ ἐρασθῆναί τινος ἔξεστι δι’ ὑμᾶς;’

21. Ἀποστέλλοντος δὲ αὐτοῦ τῶν Μακεδόνων
181 τοὺς νοσώδεις καὶ ἀναπήρους ἐπὶ θάλασσαν, ἐνεδείχθη

3 εἰς deleverim 7 Hom. E 340

τις εἰς τοὺς νοσοῦντας ἀπογεγραμμένος ἑαυτὸν οὐ νοσῶν. ἐπεὶ οὖν εἰς ὄψιν ἀχθεὶς καὶ ἀνακρινόμενος ὡμολόγησε προφασίζεσθαι δι' ἔρωτα Τελεσίππας ἀπιούσης ἐπὶ θάλασσαν, ἠρώτησεν ὁ Ἀλέξανδρος 'πρὸς τίνα δεῖ περὶ τῆς Τελεσίππας διαλέγεσθαι·' πυθόμενος δὲ ἐλευθέραν οὖσαν 'οὐκοῦν' ἔφη 'ὦ Ἀντιγένη, πείθωμεν τὴν Τελεσίππαν, ἵνα μείνῃ μεθ' ἡμῶν· βιάζεσθαι γὰρ ἐλευθέραν οὖσαν οὐχ ἡμέτερον.'

22. Τῶν δὲ μισθοφορούντων Ἑλλήνων παρὰ τοῖς πολεμίοις ὑποχειρίων γενομένων, τοὺς μὲν Ἀθηναίους ἐκέλευσεν ἐν πέδαις φυλάττειν ὅτι τροφὴν ἔχοντες B ἐκ δημοσίου μισθοφοροῦσι καὶ τοὺς Θεσσαλοὺς ὅτι τὴν ἀρίστην κεκτημένοι οὐ γεωργοῦσι· τοὺς δὲ Θηβαίους ἀφῆκεν εἰπὼν ὅτι 'μόνοις τούτοις οὔτε πόλις οὔτε χώρα δι' ἡμᾶς ἀπολέλειπται.'

23. Τῶν δὲ Ἰνδῶν τὸν ἄριστα τοξεύειν δοκοῦντα καὶ λεγόμενον διὰ δακτυλίου τὸν οἰστὸν ἀφιέναι λαβὼν αἰχμάλωτον ἐκέλευσεν ἐπιδείξασθαι, καὶ μὴ βουλόμενον ὀργισθεὶς ἀνελεῖν προσέταξε· ἐπεὶ δὲ ἀγόμενος ὁ ἄνθρωπος ἔλεγε πρὸς τοὺς ἄγοντας, ὅτι πολλῶν ἡμερῶν οὐ μεμελέτηκε καὶ ἐφοβήθη διαπεσεῖν, ἀκούσας ὁ Ἀλέξανδρος ἐθαύμασε καὶ ἀπέλυσε μετὰ δώρων αὐτόν, ὅτι μᾶλλον ἀποθανεῖν ὑπέμεινεν ἢ τῆς δόξης ἀνάξιος φανῆναι.

24. Ἐπεὶ δὲ Ταξίλης, εἷς τῶν Ἰνδῶν βασιλεὺς C ὤν, ἀπαντήσας προυκαλεῖτο μὴ μάχεσθαι μηδὲ πολεμεῖν Ἀλέξανδρον, ἀλλ' εἰ μέν ἐστιν ἥττων, εὖ

20 ἀγόμενος] ἀπαγόμενος Sententiae Maxim. et Ant. p. 569.

πάσχειν, εἰ δὲ βελτίων, εὖ ποιεῖν· ἀπεκρίνατο περὶ αὐτοῦ τούτου μαχετέον εἶναι, πότερος εὖ ποιῶν περιγένηται.

25. Περὶ δὲ τῆς λεγομένης Ἀόρνου πέτρας ἐν Ἰνδοῖς ἀκούσας, ὅτι τὸ μὲν χωρίον δυσάλωτόν ἐστιν, ὁ δὲ ἔχων αὐτὸ δειλός ἐστι, 'νῦν' ἔφη 'τὸ χωρίον εὐάλωτόν ἐστιν.'

26. Ἐπεὶ δὲ ἄλλος ἔχων πέτραν ἄληπτον δοκοῦσαν εἶναι ἐνεχείρισεν ἑαυτὸν μετὰ τῆς πέτρας τῷ Ἀλεξάν-
D δρῳ, καὶ τῆς δυνάμεως ἐκέλευσεν ἄρχειν καὶ προσέθηκε χώραν, εἰπὼν ὅτι 'φρονεῖν μοι δοκεῖ ὁ ἄνθρωπος, ἀνδρὶ μᾶλλον ἀγαθῷ πιστεύσας ἑαυτὸν ἢ ὀχυρῷ τόπῳ.'

27. Μετὰ δὲ τὴν τῆς πέτρας ἅλωσιν τῶν φίλων λεγόντων ὑπερβεβληκέναι τὸν Ἡρακλέα ταῖς πράξεσιν, 'ἀλλ' ἐγώ' εἶπε 'τὰς ἐμὰς πράξεις μετὰ τῆς ἡγεμονίας ἑνὸς οὐ νομίζω ῥήματος ἀνταξίας εἶναι τοῦ Ἡρακλέους.'

28. Τῶν δὲ φίλων τινὰς αἰσθόμενος ἐν τῷ κυβεύειν οὐ παίζοντας ἐζημίωσε.

29. Τῶν δὲ πρώτων φίλων καὶ κρατίστων τιμᾶν μὲν ἐδόκει Κρατερὸν μάλιστα πάντων, φιλεῖν δὲ Ἡφαιστίωνα. 'Κρατερὸς μὲν γάρ' ἔφη 'φιλοβασιλεύς ἐστιν, Ἡφαιστίων δὲ φιλαλέξανδρος.'

E 30. Ξενοκράτει δὲ τῷ φιλοσόφῳ πεντήκοντα τάλαντα πέμψας, ὡς οὐκ ἐδέξατο μὴ δεῖσθαι φήσας, ἠρώτησεν 'εἰ μηδὲ φίλον ἔχει Ξενοκράτης· ἐμοὶ μὲν γάρ' ἔφη 'μόλις ὁ Δαρείου πλοῦτος εἰς τοὺς φίλους ἤρκεσεν.'

31. Ἐπεὶ δὲ Πῶρος ἐρωτηθεὶς ὑπ' αὐτοῦ μετὰ

τὴν μάχην ʽπῶς σοι χρήσωμαι;’ ʽβασιλικῶς’ εἶπε, καὶ προσερωτηθείς ʽκαὶ μή τι ἄλλο;’ ʽπάντα’ εἶπεν ʽἐν τῷ ʽβασιλικῶς’ ἔνεστι·’ θαυμάσας καὶ τὴν σύνεσιν αὐτοῦ καὶ τὴν ἀνδραγαθίαν πλείονα χώραν ἧς πρότερον εἶχε προσέθηκε.

32. Πυθόμενος δὲ ὑπό τινος λοιδορεῖσθαι ʽβασι- F
λικὸν’ ἔφη ʽἐστὶν εὖ ποιοῦντα κακῶς ἀκούειν.’

33. Ἀποθνήσκων δὲ πρὸς τοὺς ἑταίρους ἀπιδὼν ἔφη ʽμέγαν ὁρῶ μου τὸν ἐπιτάφιον ἐσόμενον.’

34. Τελευτήσαντος δὲ αὐτοῦ Δημάδης ὁ ῥήτωρ ʽὅμοιον’ ἔφη ʽδιὰ τὴν ἀναρχίαν ὁρᾶσθαι τὸ στρατόπεδον τῶν Μακεδόνων ἐκτετυφλωμένῳ τῷ Κύκλωπι.’

ΠΤΟΛΕΜΑΙΟΥ ΤΟΥ ΛΑΓΟΥ.

Πτολεμαῖος ὁ Λάγου τὰ πολλὰ παρὰ τοῖς φίλοις ἐδείπνει καὶ ἐκάθευδεν· εἰ δέ ποτε δειπνίζοι, τοῖς ἐκείνων ἐχρῆτο μεταπεμπόμενος ἐκπώματα καὶ στρώματα καὶ τραπέζας· αὐτὸς δὲ οὐκ ἐκέκτητο πλείω τῶν ἀναγκαίων, ἀλλὰ τοῦ πλουτεῖν ἔλεγε τὸ πλουτίζειν εἶναι βασιλικώτερον.

ΑΝΤΙΓΟΝΟΥ.

1. Ἀντίγονος εἰσέπραττε χρήματα συντόνως· εἰ- 182
πόντος δέ τινος ʽἀλλ’ οὐκ Ἀλέξανδρος ἦν τοιοῦτος’ ʽεἰκότως’ εἶπεν, ʽἐκεῖνος μὲν γὰρ ἐθέριζε τὴν Ἀσίαν, ἐγὼ δὲ καλαμῶμαι.’

2. Τῶν δὲ στρατιωτῶν ἰδών τινας ἐν τοῖς θώραξι καὶ τοῖς κράνεσι σφαιρίζοντας ἥσθη, καὶ τοὺς ἡγεμόνας αὐτῶν μετεπέμπετο ἐπαινέσαι βουλόμενος·

ὡς δὲ ἤκουσεν ὅτι πίνουσιν, τὰς ἐκείνων ἡγεμονίας τοῖς στρατιώταις ἔδωκε.

3. Θαυμαζόντων δὲ πάντων, ὅτι γέρων γενόμενος
B ἠπίως ἐχρῆτο καὶ πράως τοῖς πράγμασι, ‘πρότερον μὲν γάρ’ εἶπε ‘δυνάμεως ἐδεόμην, νῦν δὲ δόξης καὶ εὐνοίας.’

4. Πρὸς δὲ τὸν υἱὸν Φίλιππον πυθόμενον πλειόνων παρόντων ‘πότε μέλλομεν ἀναζευγνύναι;’ ‘τί δέδοικας;’ εἶπε ‘μὴ μόνος τῆς σάλπιγγος οὐκ ἀκούσῃς;’

5. Σπουδάσαντος δὲ τοῦ νεανίσκου λαβεῖν κατάλυσιν παρὰ γυναικὶ χήρᾳ τρεῖς ἐχούσῃ θυγατέρας εὐπρεπεῖς, καλέσας τὸν ἐπὶ τῶν ξενίων εἶπεν ‘οὐκ ἐξάξεις μου τὸν υἱὸν ἀπὸ τῆς στενοχωρίας;’

6. Νοσήσας δὲ μακρὰν νόσον ὡς ἀνέρρωσεν ‘οὐδέν’ ἔφη ‘χεῖρον· ὑπέμνησε γὰρ ἡμᾶς ἡ νόσος μὴ μέγα φρονεῖν ὡς ὄντας θνητούς.’

C 7. ‘Ερμοδότου δὲ αὐτὸν ἐν τοῖς ποιήμασιν ‘Ηλίου παῖδα γράψαντος ‘οὐ ταῦτά μοι’ ἔφη ‘σύνοιδεν ὁ λασανοφόρος.’

8. Εἰπόντος δέ τινος ὅτι ‘πάντα καλὰ καὶ δίκαια τοῖς βασιλεῦσι’, ‘ναὶ μὰ Δία’ εἶπε ‘τοῖς τῶν βαρβάρων· ἡμῖν δὲ μόνα καλὰ τὰ καλὰ καὶ μόνα δίκαια τὰ δίκαια.’

9. Μαρσύου τοῦ ἀδελφοῦ δίκην ἔχοντος, ἀξιοῦντος δὲ τὴν κρίσιν αὐτῷ γενέσθαι κατ’ οἰκίαν, ‘ἔσται μὲν οὖν’ εἶπεν ‘ἐν τῇ ἀγορᾷ καὶ πάντων ἀκουόντων, εἰ μηδὲν ἀδικοῦμεν.’

10. Ἐπεὶ δέ ποτε χειμῶνος ἐν τόποις σπανίζουσι

9 ἀκούσῃς p. 506d: ἀκούσῃ.

τῶν ἐπιτηδείων ἠνάγκασε καταζεῦξαι καὶ τῶν στρατιωτῶν τινες ἐλοιδόρουν αὐτὸν ἀγνοοῦντες ὅτι πλησίον ἐστίν, τῇ βακτηρίᾳ τὴν σκηνὴν διαστείλας D ‛οἰμώξετε’ εἶπεν ‛εἰ μὴ μακρότερον ἀποστάντες λοιδορήσετε ἡμᾶς.’

11. Ἀριστοδήμου δὲ τῶν φίλων τινὸς ἐκ μαγείρου γεγονέναι δοκοῦντος, συμβουλεύοντος δὲ αὐτῷ τῶν ἀναλωμάτων καὶ τῶν δωρεῶν ἀφαιρεῖν, ‛οἱ λόγοι σου’ εἶπεν ‛ὦ Ἀριστόδημε, περιζώματος ὄζουσιν.’

12. Ἀθηναίων δὲ δοῦλον αὐτοῦ τιμώμενον εἰς τὴν πολιτείαν ὡς ἐλεύθερον ἐγγραψάντων, ‛οὐκ ἂν’ εἶπεν ‛ἐβουλόμην ἕνα Ἀθηναῖον ὑπ’ ἐμοῦ μαστιγοῦσθαι.’

13. Νεανίσκου δέ τινος τῶν Ἀναξιμένους τοῦ ῥήτορος μαθητῶν λόγον ἐσκεμμένον ἐκ παρασκευῆς εἰπόντος ἐπ’ αὐτοῦ, βουλόμενός τι μαθεῖν ἠρώτησεν· E ἀποσιωπήσαντος δὲ τοῦ νεανίσκου ‛τί λέγεις;’ εἶπεν ‛ἢ

‛ταῦτ’ ἐστὶ τἀν δέλτοισιν ἐγγεγραμμένα;’

14. Ἑτέρου δὲ ῥήτορος ἀκούων λέγοντος, ὅτι χιονοβόλος ἡ ὥρα γενομένη λιποβοτανεῖν ἐποίησε τὴν χώραν, ‛οὐ παύσῃ μοι’ εἶπεν ‛ὡς ὄχλῳ χρώμενος;’

15. Θρασύλλου δὲ τοῦ κυνικοῦ δραχμὴν αἰτήσαντος αὐτόν, ‛ἀλλ’ οὐ βασιλικόν’ ἔφη ‛τὸ δόμα·’ τοῦ δὲ εἰπόντος ‛οὐκοῦν τάλαντον δός μοι’, ‛ἀλλ’ οὐ κυνικόν’ ἔφη ‛τὸ λῆμμα.’

16. Πέμπων δὲ Δημήτριον τὸν υἱὸν μετὰ νεῶν πολλῶν καὶ δυνάμεων ἐλευθερώσοντα τοὺς Ἕλληνας

10 τιμώμενον] γενόμενον Cobetus 18 ταῦτ’] Eur. Iph. Taur. v. 787 20 λιποβοτανεῖν *: λειποβοτανεῖν

F ἔλεγε 'τὴν δόξαν ὥσπερ ἀπὸ σκοπῆς τῆς Ἑλλάδος εἰς τὴν οἰκουμένην πυρσεύεσθαι.'

17. Ἀνταγόρου δὲ τοῦ ποιητοῦ γόγγρον ἕψοντος καὶ αὐτοῦ τὴν λοπάδα σείοντος, ἐπιστὰς ἐξόπισθεν 'οἴει' φησί 'τὸν Ὅμηρον, ὦ Ἀνταγόρα, γόγγρον ἕψειν τὰς τοῦ Ἀγαμέμνονος γράφοντα πράξεις;' καὶ ὁ Ἀνταγόρας 'σὺ δέ' εἶπεν 'ὦ βασιλεῦ, τὸν Ἀγαμέμνονα νομίζεις πράττοντα τὰς πράξεις ἐκείνας πολυπραγμονεῖν, εἴ τις ἐν τῷ στρατοπέδῳ γόγγρον ἕψει;'

183 18. Ὄναρ δ' ἰδὼν χρυσοῦν θέρος ἐξαμῶντα Μιθριδάτην ἐβουλεύσατο κτεῖναι, καὶ Δημητρίῳ τῷ υἱῷ φράσας ὥρκωσε σιωπῆσαι· ὁ δὲ παραλαβὼν τὸν Μιθριδάτην καὶ συμπεριπατῶν παρὰ θάλασσαν ἐν τῷ αἰγιαλῷ κατέγραψε τῷ σαυρωτῆρι τοῦ δόρατος 'φεῦγε, Μιθριδᾶτα.' ἐκεῖνος δὲ νοήσας ἔφυγεν εἰς Πόντον κἀκεῖ βασιλεύων διετέλεσε.

ΔΗΜΗΤΡΙΟΥ.

1. Ῥοδίους δὲ πολιορκῶν ὁ Δημήτριος ἔλαβεν ἔν τινι προαστείῳ πίνακα Πρωτογένους τοῦ ζωγράφου B τὸν Ἰάλυσον γράφοντος· ἐπικηρυκευσαμένων δὲ τῶν Ῥοδίων καὶ φείσασθαι τοῦ πίνακος παρακαλούντων, ἔφη 'μᾶλλον ἂν τὰς τοῦ πατρὸς εἰκόνας ἢ τὴν γραφὴν ἐκείνην διαφθεῖραι.' σπεισάμενος δὲ τοῖς Ῥοδίοις τὴν ἑλέπολιν ἀπέλιπε παρ' αὐτοῖς, ὑπόδειγμα τῆς αὐτοῦ μεγαλουργίας ἐκείνων δὲ ἀνδρείας ἐσομένην.

10 ὄναρ δ' *: Ἀντίγονος ὄναρ   13 Μιθριδάτην *: μιθριδάτην ὁ δημήτριος   21 ἂν *

2. Ἀποστάντων δὲ τῶν Ἀθηναίων, ἑλὼν τὴν πόλιν ἤδη κακῶς ὑπὸ σιτοδείας ἔχουσαν, εὐθὺς ἐκκλησίας αὐτῷ συναχθείσης, ἐπέδωκε δωρεὰν σῖτον αὐτοῖς· δημηγορῶν δὲ περὶ τούτων ἐβαρβάρισε· τῶν δὲ καθημένων τινὸς ὡς ἔδει τὸ ῥῆμα λεχθῆναι παρα- C φωνήσαντος, 'οὐκοῦν' ἔφη 'καὶ τῆς ἐπανορθώσεως ταύτης ἄλλους ὑμῖν πεντακισχιλίους ἐπιδίδωμι μεδίμνους.'

ΑΝΤΙΓΟΝΟΥ ΤΟΥ ΔΕΥΤΕΡΟΥ.

1. Ἀντίγονος ὁ δεύτερος, Δημητρίου τοῦ πατρὸς ἁλόντος καὶ πέμψαντός τινα τῶν φίλων καὶ κελεύοντος μὴ προσέχειν, ἄν τι γράφῃ βιασθεὶς ὑπὸ Σελεύκου, μηδὲ παραχωρεῖν τῶν πόλεων, αὐτὸς ἔγραψε πρὸς Σέλευκον ἐξιστάμενος αὐτῷ τῆς ἀρχῆς ἁπάσης καὶ παραδιδοὺς ὅμηρον ἑαυτὸν ἐπὶ τῷ τὸν πατέρα Δημήτριον ἀπολυθῆναι.

2. Μέλλων δὲ ναυμαχεῖν πρὸς τοὺς Πτολεμαίου στρατηγούς, εἰπόντος τοῦ κυβερνήτου πολὺ πλείονας D εἶναι τὰς τῶν πολεμίων ναῦς, 'ἐμὲ δέ' ἔφη 'αὐτὸν παρόντα πρὸς πόσας ἀντιτάττεις;'

3. Ὑποχωρῶν δέ ποτε τοῖς πολεμίοις ἐπερχομένοις οὐκ ἔφη φεύγειν, ἀλλὰ διώκειν τὸ συμφέρον ὀπίσω κείμενον.

4. Ἐπεὶ δὲ νεανίσκος ἀνδρείου πατρός, αὐτὸς δὲ μὴ πάνυ δοκῶν ἀγαθὸς εἶναι στρατιώτης ἠξίου τὰς τοῦ πατρὸς λαμβάνειν ἀποφοράς, 'ἀλλ' ἐγώ' εἶπεν 'ὦ μειράκιον, ἀνδραγαθίας οὐ πατραγαθίας μισθοὺς καὶ δωρεὰς δίδωμι.'

5. *Ζήνωνος δὲ τοῦ Κιτιέως ἀποθανόντος, ὃν μάλιστα τῶν φιλοσόφων ἐθαύμασεν, ἔλεγε ‘τὸ θέατρον αὐτοῦ τῶν πράξεων ἀνηρῆσθαι.’*

E ## ΛΥΣΙΜΑΧΟΥ.

1. *Λυσίμαχος ἐν Θρᾴκῃ κρατηθεὶς ὑπὸ Δρομιχαίτου καὶ διὰ δίψαν ἑαυτὸν καὶ τὸ στράτευμα παραδούς, ὡς ἔπιεν αἰχμάλωτος γενόμενος, ‘ὦ θεοί’ εἶπεν ‘ὡς μικρᾶς ἡδονῆς ἕνεκα δοῦλον ἐμαυτὸν ἐκ βασιλέως πεποίηκα.’*

2. *Πρὸς δὲ Φιλιππίδην τὸν κωμῳδιοποιὸν φίλον ὄντα καὶ συνήθη ‘τίνος σοι’ εἶπε ‘τῶν ἐμῶν μεταδῶ;’ κἀκεῖνος ‘οὗ βούλει πλὴν τῶν ἀπορρήτων.’*

ΑΝΤΙΠΑΤΡΟΥ.

F 1. *Ἀντίπατρος ἀκούσας τὴν Παρμενίωνος ὑπὸ Ἀλεξάνδρου τελευτὴν ‘εἰ μὲν ἐπεβούλευσεν Ἀλεξάνδρῳ Παρμενίων’ εἶπε ‘τίνι πιστευτέον; εἰ δὲ μή, τί πρακτέον;’*

2. *Δημάδου δὲ τοῦ ῥήτορος ἤδη πρεσβύτου γεγονότος, ἔφη ‘καθάπερ ἱερείου διαπεπραγμένου καταλείπεσθαι μόνην τὴν γαστέρα καὶ τὴν γλῶτταν.’*

ΑΝΤΙΟΧΟΥ ΤΟΥ ΤΡΙΤΟΥ.

1. *Ἀντίοχος ὁ τρίτος ἔγραψε ταῖς πόλεσιν ‘ἄν τι γράψῃ παρὰ τοὺς νόμους κελεύων γενέσθαι, μὴ προσέχειν ὡς ἠγνοηκότι.’*

2. *Τὴν δὲ τῆς Ἀρτέμιδος ἱέρειαν ἰδὼν ὑπερβολῇ*

9 *κωμῳδιοποιὸν* *: *κωμῳδοποιὸν*

καλὴν φανεῖσαν εὐθὺς ἀνέζευξεν ἐξ Ἐφέσου, φοβούμενος μὴ παρὰ γνώμην ἐκβιασθῇ πρᾶξαί τι τῶν οὐχ ὁσίων.

ΑΝΤΙΟΧΟΥ ΤΟΥ ΙΕΡΑΚΟΣ.

Ἀντίοχος ὁ ἐπικληθεὶς Ἱέραξ ἐπολέμει περὶ 184 τῆς βασιλείας πρὸς τὸν ἀδελφὸν Σέλευκον· ἐπεὶ δὲ ὁ Σέλευκος ἡττηθεὶς ὑπὸ Γαλατῶν οὐδαμοῦ φανερὸς ἦν ἀλλ' ἐδόκει κατακεκόφθαι, θεὶς τὴν πορφύραν ὁ Ἀντίοχος φαιὸν ἱμάτιον ἀνέλαβε. μετ' ὀλίγον δὲ πυθόμενος τὸν ἀδελφὸν σῴζεσθαι, εὐαγγέλια τοῖς θεοῖς ἔθυσε καὶ τὰς πόλεις τὰς ὑφ' ἑαυτοῦ στεφανηφορεῖν ἐποίησεν.

ΕΥΜΕΝΟΥΣ.

Εὐμένης ἐπιβουλευθεὶς ὑπὸ Περσέως ἔδοξε τεθνάναι· τῆς δὲ φήμης εἰς Πέργαμον κομισθείσης, Ἄτταλος ὁ ἀδελφὸς αὐτοῦ περιθέμενος τὸ διάδημα καὶ B τὴν γυναῖκα γήμας ἐβασίλευσε· πυθόμενος δὲ προσιόντα ζῶντα τὸν ἀδελφὸν ἀπήντησεν ὥσπερ εἰώθει μετὰ τῶν σωματοφυλάκων δοράτιον ἔχων· ὁ δὲ Εὐμένης φιλοφρόνως ἀσπασάμενος αὐτὸν καὶ πρὸς τὸ οὖς εἰπών

'μὴ σπεῦδε γῆμαι πρὶν τελευτήσαντ' ἴδῃς,'

οὐδὲν ἄλλο παρὰ πάντα τὸν βίον οὔτ' εἶπεν ὕποπτον οὔτε ἐποίησεν, ἀλλὰ καὶ τελευτῶν ἐκείνῳ τὴν γυναῖκα καὶ τὴν βασιλείαν ἀπέλιπεν. ἀνθ' ὧν ἐκεῖνος οὐδὲν ἐξ ἑαυτοῦ τέκνον ἔθρεψε, πολλῶν γενομένων,

20 μὴ σπεῦδε] Nauck p. 220

ἀλλὰ τῷ Εὐμένους υἱῷ τὴν βασιλείαν ἔτι ζῶν ἐνηλίκῳ γενομένῳ παρέδωκε.

C ΠΥΡΡΟΥ ΤΟΥ ΗΠΕΙΡΩΤΟΥ.

1. *Πύρρον οἱ υἱοὶ παῖδες ὄντες ἠρώτων, τίνι καταλείψει τὴν βασιλείαν· καὶ ὁ Πύρρος εἶπεν ‘ὃς ἂν ὑμῶν ὀξυτέραν ἔχῃ τὴν μάχαιραν.’*

2. *Ἐρωτηθεὶς δὲ πότερον Πύθων ἢ Καφισίας αὐλητὴς ἀμείνων ‘Πολυσπέρχων’ ἔφη ‘στρατηγός.’*

3. *Ἐπεὶ δὲ συμβαλὼν Ῥωμαίοις δὶς ἐνίκησε πολλοὺς τῶν φίλων καὶ τῶν ἡγεμόνων ἀπολέσας, ‘ἂν ἔτι’ ἔφη ‘μίαν μάχην Ῥωμαίους νικήσωμεν, ἀπολώλαμεν.’*

4. *Ἐπεὶ δὲ Σικελίας ἀποτυχὼν ἐξέπλει, μεταστραφεὶς ὀπίσω πρὸς τοὺς φίλους ‘οἵαν’ ἔφη ‘Ῥω-*
D *μαίοις καὶ Καρχηδονίοις ἀπολείπομεν παλαίστραν.’*

5. *Τῶν δὲ στρατιωτῶν Ἀετὸν αὐτὸν προσαγορευόντων ‘τί γάρ’ εἶπεν ‘οὐ μέλλω, τοῖς ὑμετέροις ὅπλοις ὥσπερ ὠκυπτέροις αἰρόμενος;’*

6. *Ἀκούσας δὲ ὅτι νεανίσκοι πολλὰ βλάσφημα περὶ αὐτοῦ πίνοντες εἰρήκασιν, ἐκέλευσεν ἀχθῆναι μεθ’ ἡμέραν πρὸς αὐτὸν ἅπαντας· ἀχθέντων δὲ τὸν πρῶτον ἠρώτησεν, εἰ ταῦτα εἰρήκασι περὶ αὐτοῦ· καὶ ὁ νεανίσκος ‘ταῦτα’ εἶπεν ‘ὦ βασιλεῦ· πλείονα δ’ ἂν τούτων εἰρήκειμεν, εἰ πλείονα οἶνον εἴχομεν.’*

ΑΝΤΙΟΧΟΥ.

1. *Ἀντίοχος ὁ στρατεύσας δεύτερον ἐπὶ Πάρθους, ἔν τινι κυνηγεσίῳ καὶ διωγμῷ τῶν φίλων καὶ*

6 *Καφισίας* *: καφίσιος   7 *Πολυσπέρχων* X: πολυπέρχων

θεραπόντων ἀποπλανηθείς, εἰς ἔπαυλιν πενήτων ἀνθρώπων E ἀγνοούμενος εἰσῆλθε· καὶ παρὰ τὸ δεῖπνον ἐμβαλὼν λόγον περὶ τοῦ βασιλέως ἤκουσεν, ὅτι τἄλλα χρηστός ἐστιν, φίλοις δὲ μοχθηροῖς ἐπιτρέπων τὰ πλεῖστα παρορᾷ καὶ πολλάκις ἀμελεῖ τῶν ἀναγκαίων διὰ τὸ λίαν φιλόθηρος εἶναι. τότε μὲν οὖν ἐσιώπησεν· ἅμα δὲ ἡμέρᾳ τῶν δορυφόρων παραγενομένων ἐπὶ τὴν ἔπαυλιν φανερὸς γενόμενος, προσφερομένης τῆς πορφύρας αὐτῷ καὶ τοῦ διαδήματος, 'ἀλλὰ ἀφ' ἧς' εἶπεν 'ἡμέρας ὑμᾶς ἀνείληφα, πρῶτον ἐχθὲς ἀληθινῶν λόγων ἤκουσα περὶ ἐμαυτοῦ.'

2. Τῶν δὲ Ἰουδαίων, πολιορκοῦντος αὐτοῦ τὰ F Ἱεροσόλυμα, πρὸς τὴν μεγίστην ἑορτὴν αἰτησαμένων ἑπτὰ ἡμερῶν ἀνοχάς, οὐ μόνον ἔδωκε ταύτας, ἀλλὰ καὶ ταύρους χρυσόκερως παρασκευασάμενος καὶ θυμιαμάτων καὶ ἀρωμάτων πλῆθος ἄχρι τῶν πυλῶν ἐπόμπευσε· καὶ παραδοὺς τοῖς ἐκείνων ἱερεῦσι τὴν θυσίαν αὐτὸς ἐπανῆλθεν εἰς τὸ στρατόπεδον. οἱ δὲ Ἰουδαῖοι θαυμάσαντες εὐθὺς ἑαυτοὺς μετὰ τὴν ἑορτὴν ἐνεχείρισαν.

ΘΕΜΙΣΤΟΚΛΕΟΥΣ.

1. Θεμιστοκλῆς ἔτι μειράκιον ὢν ἐν πότοις ἐκυλινδεῖτο καὶ γυναιξίν· ἐπεὶ δὲ Μιλτιάδης στρατηγῶν ἐνίκησεν ἐν Μαραθῶνι τοὺς βαρβάρους, οὐκέτι ἦν ἐντυχεῖν ἀτακτοῦντι Θεμιστοκλεῖ· πρὸς δὲ τοὺς θαυμάζοντας 185 τὴν μεταβολὴν ἔλεγεν ὡς 'οὐκ ἐᾷ με καθεύδειν οὐδὲ ῥᾳθυμεῖν τὸ Μιλτιάδου τρόπαιον.'

2. Ἐρωτηθεὶς δὲ πότερον Ἀχιλλεὺς ἐβούλετ' ἂν

ἢ Ὅμηρος εἶναι, ‘σὺ δ’ αὐτός’ ἔφη ‘πότερον ἤθελες ὁ νικῶν Ὀλυμπίασιν ἢ ὁ κηρύσσων τοὺς νικῶντας εἶναι;’

3. Ξέρξου δὲ καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα τῷ μεγάλῳ στόλῳ, φοβηθεὶς Ἐπικύδην τὸν δημαγωγὸν αἰσχροκερδῆ καὶ δειλὸν ὄντα μὴ στρατηγὸς γενόμενος ἀπολέσῃ τὴν πόλιν, ἔπεισεν ἀργυρίῳ τῆς στρατηγίας ἀποστῆναι.

4. Ἀδειμάντου δὲ ναυμαχεῖν μὴ τολμῶντος, B εἰπόντος πρὸς τὸν Θεμιστοκλέα τοὺς Ἕλληνας παρακαλοῦντα καὶ προτρέποντα ‘ὦ Θεμιστόκλεις, τοὺς ἐν τοῖς ἀγῶσι προεξανισταμένους μαστιγοῦσιν’, ‘ναί’ εἶπεν ‘ὦ Ἀδείμαντε, τοὺς δὲ λειπομένους οὐ στεφανοῦσιν.’

5. Ἐπαραμένου δὲ τοῦ Εὐρυβιάδου τὴν βακτηρίαν ὡς πατάξοντος ‘πάταξον μὲν οὖν’ εἶπεν ‘ἄκουσον δέ.’

6. Μὴ πείθων δὲ τὸν Εὐρυβιάδην ἐν τοῖς στενοῖς ναυμαχῆσαι, κρύφα πρὸς τὸν βάρβαρον ἔπεμψε παραινῶν μὴ δεδιέναι τοὺς Ἕλληνας ἀποδιδράσκοντας· ἐπεὶ δὲ πεισθεὶς ἐκεῖνος ἡττήθη ναυμαχήσας ὅπου συνέφερε τοῖς Ἕλλησι, πάλιν ἔπεμψε πρὸς C αὐτὸν κελεύων φεύγειν ἐπὶ τὸν Ἑλλήσποντον τὴν ταχίστην ὡς τῶν Ἑλλήνων διανοουμένων λύειν τὴν γέφυραν, ἵνα σῴζων τοὺς Ἕλληνας ἐκεῖνον δοκῇ σῴζειν.

7. Τοῦ δὲ Σεριφίου πρὸς αὐτὸν εἰπόντος, ὡς οὐ δι’ αὑτὸν ἀλλὰ διὰ τὴν πόλιν ἔνδοξός ἐστιν,

2 Ὀλυμπίασιν *: ἐν ὀλυμπιάσιν   12 ναί W: ἀεὶ ναί
27 αὑτὸν *: αὐτὸν

‘ἀληθῆ λέγεις’ εἶπεν ‘ἀλλ’ οὔτ’ ἂν ἐγὼ Σερίφιος ὢν ἐγενόμην ἔνδοξος οὔτε σὺ Ἀθηναῖος.’

8. Ἀντιφάτου δὲ τοῦ καλοῦ πρότερον μὲν ἐρῶντα τὸν Θεμιστοκλέα φεύγοντος καὶ καταφρονοῦντος, ἐπεὶ δὲ δόξαν ἔσχε μεγάλην καὶ δύναμιν, προσερχομένου καὶ κολακεύοντος, ‘ὦ μειράκιον’ εἶπεν ‘ὀψὲ μὲν ἀμφότεροι ἀλλὰ νοῦν ἐσχήκαμεν.’

9. Πρὸς δὲ Σιμωνίδην ἐξαιτούμενόν τινα κρί- D
σιν οὐ δικαίαν ἔφη ‘μήτ’ ἂν ἐκεῖνον γενέσθαι ποιητὴν ἀγαθὸν ᾄδοντα παρὰ μέλος μήτ’ αὐτὸν ἄρχοντα χρηστὸν δικάζοντα παρὰ τὸν νόμον.’

10. Τὸν δὲ υἱὸν ἐντρυφῶντα τῇ μητρὶ πλεῖστον Ἑλλήνων ἔλεγε δύνασθαι· ‘τῶν γὰρ Ἑλλήνων ἄρχειν Ἀθηναίους, Ἀθηναίων δ’ ἑαυτόν, αὐτοῦ δὲ τὴν ἐκείνου μητέρα, τῆς δὲ μητρὸς ἐκεῖνον.’

11. Τῶν δὲ τὴν θυγατέρα μνωμένων αὐτοῦ τὸν E
ἐπιεικῆ τοῦ πλουσίου προτιμήσας ‘ἄνδρα ἔφη ζητεῖν χρημάτων δεόμενον μᾶλλον ἢ χρήματα ἀνδρός.’

12. Χωρίον δὲ πωλῶν ἐκέλευσε κηρύττειν ὅτι καὶ γείτονα χρηστὸν ἔχει.

13. Τῶν δὲ Ἀθηναίων αὐτὸν προπηλακιζόντων ‘τί κοπιᾶτε’ εἶπεν ‘ὑπὸ τῶν αὐτῶν πολλάκις εὐχρηστούμενοι;’ καὶ ταῖς πλατάνοις ἀπείκαζεν αὑτόν, αἷς ὑποτρέχουσι χειμαζόμενοι, γενομένης δὲ εὐδίας τίλλουσι παρερχόμενοι καὶ κολούουσι.

14. Τοὺς δὲ Ἐρετριεῖς ἐπισκώπτων ἔλεγεν ‘ὥσπερ τευθίδας μάχαιραν μὲν ἔχειν καρδίαν δὲ μὴ ἔχειν.’

14 αὐτοῦ *: ἑαυτοῦ. cf. Vit. Them. c. 18

15. Ἐπεὶ δὲ ἐξέπεσε τῶν Ἀθηνῶν τὸ πρῶτον,
εἶτα καὶ τῆς Ἑλλάδος, ἀναβὰς πρὸς βασιλέα καὶ κε-
λευόμενος λέγειν ἔφη ‘τὸν λόγον ἐοικέναι τοῖς ποι-
F κίλοις στρώμασιν· ὡς γὰρ ἐκεῖνα, καὶ τοῦτον ἐκτει-
νόμενον μὲν ἐπιδεικνύναι τὰ εἴδη συστελλόμενον
δὲ κρύπτειν καὶ διαφθείρειν.’

16. Ἠιτήσατο δὲ καὶ χρόνον, ὅπως τὴν Περσικὴν διάλεκτον καταμαθὼν δι’ ἑαυτοῦ καὶ μὴ δι’ ἑτέρου ποιήσαιτο τὴν πρὸς αὐτὸν ἔντευξιν.

17. Πολλῶν δὲ δωρεῶν ἀξιωθεὶς καὶ ταχὺ πλούσιος γενόμενος πρὸς τοὺς παῖδας εἶπεν ‘ὦ παῖδες, ἀπωλόμεθ’ ἄν, εἰ μὴ ἀπωλώλειμεν.’

ΜΥΡΩΝΙΔΟΥ.

Μυρωνίδης παρήγγειλεν ἔξοδον Ἀθηναίοις ἐπὶ
Βοιωτοὺς στρατεύων· ἐνστάσης δὲ τῆς ὥρας καὶ τῶν
186 λοχαγῶν λεγόντων μηδέπω πάντας παρεῖναι, ‘πάρει-
σιν’ εἶπεν ‘οἱ μέλλοντες μάχεσθαι·’ καὶ χρησάμενος
αὐτοῖς προθύμοις ἐνίκησε τοὺς πολεμίους.

ΑΡΙΣΤΕΙΔΟΥ.

1. Ἀριστείδης δὲ ὁ δίκαιος ἀεὶ καθ’ αὑτὸν ἐπολιτεύετο καὶ τὰς ἑταιρείας ἔφευγεν, ὡς τῆς ἀπὸ τῶν φίλων δυνάμεως ἀδικεῖν ἐπαιρούσης.

2. Ἐπεὶ δὲ τῶν Ἀθηναίων ὁρμωμένων ἐπὶ τὸν ἐξοστρακισμὸν ἄνθρωπος ἀγράμματος καὶ ἄγροικος ὄστρακον ἔχων προσῆλθεν αὐτῷ κελεύων ἐγγράψαι τὸ ὄνομα τοῦ Ἀριστείδου, ‘γινώσκεις γάρ’ ἔφη ‘τὸν

1 Ἀθηνῶν Cobetus: ἀθηναίων 12 ἀπωλώλειμεν *: ἀπολώλειμεν

Ἀριστείδην;’ τοῦ δὲ ἀνθρώπου γινώσκειν μὲν οὐ φή- B σαντος, ἄχθεσθαι δὲ τῇ τοῦ δικαίου προσηγορίᾳ, σιωπήσας ἐνέγραψε τὸ ὄνομα τῷ ὀστράκῳ καὶ ἀπέδωκεν.

3. Ἐχθρὸς δὲ ὢν τοῦ Θεμιστοκλέους καὶ πρεσβευτὴς ἐκπεμφθεὶς σὺν αὐτῷ ‘βούλει’ φησίν ‘ὦ Θεμιστόκλεις ἐπὶ τῶν ὅρων τὴν ἔχθραν ἀπολίπωμεν; ἂν γὰρ δοκῇ, πάλιν αὐτὴν ἐπανιόντες ληψόμεθα.’

4. Τάξας δὲ τοὺς φόρους τοῖς Ἕλλησι τοσούτῳ πτωχότερος ἐπανῆλθεν, ὅσον εἰς τὴν ἀποδημίαν ἀνήλωσεν.

5. Αἰσχύλου δὲ ποιήσαντος εἰς Ἀμφιάραον

‘οὐ γὰρ δοκεῖν ἄριστος ἀλλ’ εἶναι θέλει,
βαθεῖαν ἄλοκα διὰ φρενὸς καρπούμενος,
ἐξ ἧς τὰ κεδνὰ βλαστάνει βουλεύματα·’ C

καὶ λεγομένων τούτων, πάντες εἰς Ἀριστείδην ἀπέβλεψαν.

ΠΕΡΙΚΛΕΟΥΣ.

1. Περικλῆς, ὁπότε μέλλοι στρατηγεῖν, ἀναλαμβάνων τὴν χλαμύδα πρὸς ἑαυτὸν ἔλεγε ‘πρόσεχε, Περίκλεις, ἐλευθέρων μέλλεις ἄρχειν, καὶ Ἑλλήνων καὶ Ἀθηναίων.’

2. Ἐκέλευσε δὲ τοὺς Ἀθηναίους τὴν Αἴγιναν ὥσπερ λήμην ἀφαιρεῖν τοῦ Πειραιῶς.

3. Πρὸς δὲ φίλον τινὰ μαρτυρίας ψευδοῦς δεόμενον, ᾗ προσῆν καὶ ὅρκος, ἔφησε μέχρι τοῦ βωμοῦ φίλος εἶναι.

4. Μέλλων δὲ ἀποθνήσκειν αὐτὸς ἑαυτὸν ἐμακά- D

11 *Αἰσχύλου*] Sept. adv. Th. 576

ριξεν, ὅτι μηδεὶς Ἀθηναίων μέλαν ἱμάτιον δι' αὐτὸν ἐνεδύσατο.

ΑΛΚΙΒΙΑΔΟΥ.

1. Ἀλκιβιάδης ἔτι παῖς ὢν ἐλήφθη λαβὴν ἐν παλαίστρᾳ· καὶ μὴ δυνάμενος διαφυγεῖν ἔδακε τὴν χεῖρα τοῦ καταπαλαίοντος· εἰπόντος δὲ ἐκείνου 'δάκνεις ὡς αἱ γυναῖκες', 'οὐ μὲν οὖν' εἶπεν 'ἀλλ' ὡς οἱ λέοντες.'

2. Ἔχων δὲ κύνα πάγκαλον ἐωνημένον ἑπτακισχιλίων δραχμῶν, ἀπέκοψεν αὐτοῦ τὴν οὐράν 'ὅπως' ἔφη 'τοῦτο λέγωσιν Ἀθηναῖοι περὶ ἐμοῦ καὶ μηδὲν ἄλλο πολυπραγμονῶσι.'

E 3. Προσελθὼν δὲ διδασκαλείῳ ῥαψῳδίαν Ἰλιάδος ᾔτει· τοῦ δὲ διδασκάλου μηδὲν ἔχειν Ὁμήρου φήσαντος, ἐντρίψας αὐτῷ κόνδυλον παρῆλθεν.

4. Ἐλθὼν δὲ ἐπὶ θύρας τοῦ Περικλέους καὶ πυθόμενος αὐτὸν μὴ σχολάζειν ἀλλὰ σκοπεῖν, ὅπως ἀποδώσει λόγους Ἀθηναίοις, 'οὐ βέλτιον' ἔφη 'σκοπεῖν ἦν, ὅπως οὐκ ἀποδώσει;'

5. Καλούμενος δὲ ἐπὶ κρίσιν θανατικὴν ὑπὸ τῶν Ἀθηναίων ἀπὸ Σικελίας ἔκρυψεν ἑαυτόν, εἰπών 'εὔηθες εἶναι τὸ δίκην ἔχοντα ζητεῖν ἀποφυγεῖν, ἐξὸν φυγεῖν.'

6. Εἰπόντος δέ τινος 'οὐ πιστεύεις τῇ πατρίδι
F τὴν περὶ σεαυτοῦ κρίσιν;' 'ἐγὼ μέν' ἔφη 'οὐδὲ τῇ μητρί, μή πως ἀγνοήσασα τὴν μέλαιναν βάλῃ ψῆφον ἀντὶ τῆς λευκῆς.'

18 οὐκ Cobetus: μὴ οὐκ

7. Ἀκούσας δὲ ὅτι θάνατος αὐτοῦ κατέγνωσται καὶ τῶν σὺν αὐτῷ ‘δείξωμεν οὖν αὐτοῖς’ εἶπεν ‘ὅτι ζῶμεν·’ καὶ πρὸς Λακεδαιμονίους τρεψάμενος τὸν Δεκελεικὸν ἤγειρεν ἐπὶ τοὺς Ἀθηναίους πόλεμον.

ΛΑΜΑΧΟΥ.

Λάμαχος ἐπετίμα τινὶ τῶν λοχαγῶν ἁμαρτόντι· τοῦ δὲ φήσαντος μηκέτι τοῦτο ποιήσειν ‘οὐκ ἔστιν’ εἶπεν ‘ἐν πολέμῳ δὶς ἁμαρτεῖν.’

ΙΦΙΚΡΑΤΟΥΣ.

1. Ἰφικράτης, δοκῶν υἱὸς εἶναι σκυτοτόμου, κατε-
φρονεῖτο· δόξαν δὲ τότε πρῶτον ἔσχε, ὅτε τραυμα- 187
τίας πολέμιον ἄνδρα μετὰ τῶν ὅπλων ζῶντα συναρ-
πάσας εἰς τὴν ἑαυτοῦ τριήρη μετήνεγκεν.

2. Ἐν δὲ φιλίᾳ καὶ συμμάχῳ χώρᾳ στρατοπεδεύων καὶ χάρακα βαλλόμενος καὶ τάφρον ὀρύττων ἐπιμελῶς πρὸς τὸν εἰπόντα ‘τί γὰρ φοβούμεθα;’ ‘χειρίστην’ ἔφησε ‘στρατηγοῦ φωνὴν εἶναι τὴν ‘οὐκ ἂν προσεδόκησα’.’

3. Παραταττόμενος δὲ τοῖς βαρβάροις ἔφη δεδιέναι, μὴ τὸν Ἰφικράτην οὐκ ἴσασιν, ᾧ καταπλήττεται τοὺς ἄλλους πολεμίους.

4. Κρινόμενος δὲ θανάτου, πρὸς τὸν συκοφάν-
την ‘οἷα ποιεῖς, ὦ ἄνθρωπε’ εἶπε ‘πολέμου περιεστῶ- B
τος, τὴν πόλιν περὶ ἐμοῦ πείθων βουλεύεσθαι καὶ
μὴ μετ’ ἐμοῦ.’

9 ὅτε τραυματίας] fort. ὅτε ναυμαχίας οὔσης vel ὅτ’ ἐν ναυμαχίᾳ

5. *Πρὸς δὲ Ἁρμόδιον, τὸν τοῦ παλαιοῦ Ἁρμοδίου ἀπόγονον, εἰς δυσγένειαν αὐτῷ λοιδορούμενον ἔφη ‘τὸ μὲν ἐμὸν ἀπ’ ἐμοῦ γένος ἄρχεται, τὸ δὲ σὸν ἐν σοὶ παύεται.’*

6. *Ῥήτορος δέ τινος ἐπερωτῶντος αὐτὸν ἐν ἐκκλησίᾳ ‘τίς ὢν μέγα φρονεῖς; πότερον ἱππεὺς ἢ ὁπλίτης ἢ τοξότης ἢ πελταστής;’ ‘οὐδείς’ ἔφη ‘τούτων, ἀλλ’ ὁ πᾶσι τούτοις ἐπιστάμενος ἐπιτάττειν.’*

ΤΙΜΟΘΕΟΥ.

1. *Τιμόθεος εὐτυχὴς ἐνομίζετο στρατηγὸς εἶναι· καὶ φθονοῦντες αὐτῷ τινες ἐξωγράφουν τὰς πόλεις εἰς*
C *κύρτον αὐτομάτως ἐκείνου καθεύδοντος ἐνδυομένας· ἔλεγεν οὖν ὁ Τιμόθεος ‘εἰ τηλικαύτας πόλεις λαμβάνω καθεύδων, τί με οἴεσθε ποιήσειν ἐγρηγορότα;’*

2. *Τῶν δὲ τολμηρῶν στρατηγῶν τινος τραῦμα τοῖς Ἀθηναίοις δεικνύντος, ‘ἐγὼ δέ’ εἶπεν ‘ᾐσχύνθην ὅτι μου στρατηγοῦντος ὑμῶν ἐν Σάμῳ καταπελτικὸν βέλος ἐγγὺς ἔπεσε.’*

3. *Τῶν δὲ ῥητόρων τὸν Χάρητα προαγόντων καὶ τοιοῦτον ἀξιούντων εἶναι τὸν Ἀθηναίων στρατηγόν, ‘οὐ τὸν στρατηγόν’ εἶπεν ὁ Τιμόθεος ‘ἀλλὰ τὸν τῷ στρατηγῷ τὰ στρώματα κομίζοντα.’*

ΧΑΒΡΙΟΥ.

D 1. *Χαβρίας ἔλεγε κάλλιστα στρατηγεῖν τοὺς μάλιστα γινώσκοντας τὰ τῶν πολεμίων.*

6 ἱππεὺς ἢ ὁπλίτης Stob. Flor. 54, 52: ἱππεύς. cf. p. 440 b 7 ἢ πελταστής *: ἢ πελταστὴς ἢ πεζός vel ἢ πεζὸς ἢ πελταστής

2. *Δίκην δὲ φεύγων προδοσίας μετὰ Ἰφικράτους, ἐπιτιμῶντος αὐτῷ τοῦ Ἰφικράτους ὅτι κινδυνεύων εἰς τὸ γυμνάσιον βαδίζει καὶ τὴν εἰωθυῖαν ὥραν ἀριστᾷ, ‘τοιγαροῦν’ εἶπεν ‘ἂν ἄλλο τι γνῶσι περὶ ἡμῶν Ἀθηναῖοι, σὲ μὲν αὐχμῶντα καὶ ἄσιτον, ἐμὲ δὲ ἠριστηκότα καὶ ἀληλιμμένον ἀποκτενοῦσιν.’*

3. *Εἰώθει δὲ λέγειν ὅτι ‘φοβερώτερόν ἐστιν ἐλάφων στρατόπεδον ἡγουμένου λέοντος ἢ λεόντων ἐλάφου.’*

ΗΓΗΣΙΠΠΟΥ.

Ἡγησίππου τοῦ Κρωβύλου προσαγορευομένου E *παροξύνοντος τοὺς Ἀθηναίους ἐπὶ Φίλιππον, ὑπεφώνησέ τις ἐκ τῆς ἐκκλησίας ‘πόλεμον εἰσηγῇ;’ ‘ναὶ μὰ Δία’ εἶπε ‘καὶ μέλανα ἱμάτια καὶ δημοσίας ἐκφορὰς καὶ λόγους ἐπιταφίους, εἰ μέλλομεν ἐλεύθεροι βιώσεσθαι καὶ μὴ ποιήσειν τὸ προστεττόμενον Μακεδόσι.’*

ΠΥΘΕΟΥ.

Πυθέας ἔτι μειράκιον ὢν παρῆλθεν ἀντερῶν τοῖς περὶ Ἀλεξάνδρου γραφομένοις ψηφίσμασιν· εἰπόντος δέ τινος ‘σὺ νέος ὢν τολμᾷς λέγειν περὶ τηλικούτων;’ ‘καὶ μὴν Ἀλέξανδρος’ εἶπεν ‘ὃν ψηφίζεσθε θεόν, ἐμοῦ νεώτερός ἐστι.’

ΦΩΚΙΩΝΟΣ ΤΟΥ ΑΘΗΝΑΙΟΥ. F

1. *Φωκίων ὁ Ἀθηναῖος ὑπ’ οὐδενὸς οὔτε γελῶν ὤφθη οὔτε δακρύων.*

2. *Ἐκκλησίας δὲ γενομένης πρὸς τὸν εἰπόντα*

‘σκεπτομένῳ, Φωκίων, ἔοικας’, ‘ὀρθῶς’ ἔφη ‘τοπάζεις· σκέπτομαι γάρ, εἴ τι δύναμαι περιελεῖν ὧν μέλλω λέγειν πρὸς Ἀθηναίους.’

3. Μαντείας δὲ γενομένης Ἀθηναίοις, ὡς εἷς ἀνήρ ἐστιν ἐν τῇ πόλει ταῖς πάντων ἐναντιούμενος γνώμαις, καὶ τῶν Ἀθηναίων ζητεῖν κελευόντων ὅστις ἐστὶ καὶ βοώντων, Φωκίων ἑαυτὸν ἔφησε τοῦτον εἶναι· μόνῳ γὰρ αὐτῷ μηδὲν ἀρέσκειν ὧν οἱ πολλοὶ πράττουσι καὶ λέγουσιν.

188 4. Ἐπεὶ δὲ λέγων ποτὲ γνώμην πρὸς τὸν δῆμον εὐδοκίμει καὶ πάντας ὁμαλῶς ἑώρα τὸν λόγον ἀποδεχομένους, ἐπιστραφεὶς πρὸς τοὺς φίλους εἶπεν ‘οὐ δήπου κακόν τι λέγων ἐμαυτὸν λέληθα;’

5. Πρὸς δὲ θυσίαν τινὰ τῶν Ἀθηναίων αἰτούντων ἐπιδόσεις καὶ τῶν ἄλλων ἐπιδιδόντων, κληθεὶς πολλάκις ‘αἰσχυνοίμην ἄν’ εἶπεν ‘ὑμῖν ἐπιδιδούς, τούτῳ δὲ μὴ ἀποδιδούς’, ἅμα δεικνύων τὸν δανειστήν.

6. Δημοσθένους δὲ τοῦ ῥήτορος εἰπόντος ‘ἀποκτενοῦσί σε Ἀθηναῖοι, ἐὰν μανῶσι’, ‘ναί’ εἶπεν ‘ἐμὲ μὲν ἂν μανῶσι, σὲ δὲ ἂν σωφρονῶσι.’

B 7. Ἀριστογείτονος δὲ τοῦ συκοφάντου μέλλοντος ἀποθνήσκειν ἐν τῷ δεσμωτηρίῳ κατακρίτου γεγονότος καὶ δεομένου τὸν Φωκίωνα πρὸς αὐτὸν ἐλθεῖν, τῶν δὲ φίλων οὐκ ἐώντων πρὸς ἄνθρωπον πονηρὸν βαδίζειν, ‘καὶ ποῦ τις ἄν’ εἶπεν ‘ἥδιον Ἀριστογείτονι λαλήσειεν;’

8. Ὀργιζομένων δὲ τοῖς Βυζαντίοις τῶν Ἀθη-

1 Φωκίων *: ὦ φωκίων

ναίων, μὴ δεξαμένων τῇ πόλει Χάρητα πεμφθέντα μετὰ δυνάμεως βοηθὸν αὐτοῖς πρὸς Φίλιππον, εἰπὼν ὁ Φωκίων ὅτι ‘δεῖ μὴ τοῖς ἀπιστοῦσι τῶν συμμάχων, ἀλλὰ τοῖς ἀπιστουμένοις ὀργίζεσθαι τῶν στρατηγῶν’ αὐτὸς ᾑρέθη στρατηγός· καὶ πιστευθεὶς ὑπὸ τῶν Βυζαντίων ἐποίησε τὸν Φίλιππον ἀπελθεῖν C *ἄπρακτον.*

9. *Ἀλεξάνδρου δὲ τοῦ βασιλέως ἑκατὸν τάλαντα δωρεὰν αὐτῷ πέμψαντος, ἠρώτησε τοὺς κομίζοντας τί δήποτε, πολλῶν ὄντων Ἀθηναίων, αὐτῷ μόνῳ ταῦτα δίδωσιν Ἀλέξανδρος· εἰπόντων δὲ ἐκείνων ὡς μόνον αὐτὸν ἡγεῖται καλὸν κἀγαθὸν εἶναι, ‘οὐκοῦν’ ἔφη ‘ἐασάτω με καὶ δοκεῖν καὶ εἶναι τοιοῦτον.’*

10. *Αἰτοῦντος δὲ Ἀλεξάνδρου τριήρεις καὶ τοῦ δήμου κελεύοντος ὀνομαστὶ παριέναι τὸν Φωκίωνα καὶ συμβουλεύειν, ἀναστὰς ἔφη ‘συμβουλεύω τοίνυν ὑμῖν ἢ κρατεῖν τοῖς ὅπλοις αὐτοὺς ἢ φίλους εἶναι τῶν κρατούντων.’*

11. *Λόγου δὲ περὶ τῆς Ἀλεξάνδρου τελευτῆς* D *ἐμπεσόντος ἀδεσπότου καὶ τῶν ῥητόρων ἀναπηδώντων εὐθὺς ἐπὶ τὸ βῆμα καὶ μὴ μέλλειν ἀλλὰ πολεμεῖν ἤδη κελευόντων, ὁ Φωκίων ἠξίου περιμεῖναι καὶ γνῶναι βεβαίως. ‘εἰ γὰρ τήμερον’ ἔφη ‘τέθνηκε, καὶ αὔριον ἔσται καὶ εἰς τρίτην τεθνηκώς.’*

12. *Τοῦ δὲ Λεωσθένους εἰς τὸν πόλεμον ἐμβαλόντος τὴν πόλιν, ἐλπίσι λαμπραῖς πρὸς τὸ τῆς ἐλευθερίας ὄνομα καὶ τῆς ἡγεμονίας ἐπαιρομένην, τοὺς λόγους αὐτοῦ ταῖς κυπαρίττοις ἀπείκαξε· ‘κα-*

24 *εἰς τρίτην* W: *εἰσέτι*

λοὶ γὰρ ὄντες’ ἔφη ‘καὶ ὑψηλοὶ καρπὸν οὐκ ἔχουσι.’ κατωρθωμένων δὲ τῶν πρώτων καὶ τῆς πόλεως εὐαγγέλια θυούσης, ἐρωτηθεὶς εἰ ταῦτα ἤθελεν αὐτῷ
E πεπρᾶχθαι ‘πεπρᾶχθαι μὲν οὖν’ ἔφη ‘ταῦτα, βεβουλεῦσθαι δὲ ἐκεῖνα.’

13. Τῇ δὲ Ἀττικῇ τῶν Μακεδόνων προσβαλόντων καὶ πορθούντων τὴν παραλίαν, ἐξήγαγε τοὺς ἐν ἡλικίᾳ· πολλῶν δὲ συντρεχόντων πρὸς αὐτὸν καὶ παρεγκελευομένων ἐκεῖνον τὸν λόφον καταλαβεῖν ἐνταῦθα τάξαι τὴν δύναμιν, ‘ὦ Ἡράκλεις’ εἶπεν ‘ὡς πολλοὺς ὁρῶ στρατηγούς, στρατιώτας δὲ ὀλίγους.’ οὐ μὴν ἀλλὰ συμβαλὼν ἐκράτησε καὶ διέφθειρε Νικίωνα τὸν ἄρχοντα τῶν Μακεδόνων.

14. Μετ’ ὀλίγον δὲ χρόνον οἱ μὲν Ἀθηναῖοι
F τῷ πολέμῳ κρατηθέντες ἐδέξαντο φρουρὰν ὑπ’ Ἀντιπάτρου· Μενύλλου δὲ τοῦ τῆς φρουρᾶς ἄρχοντος χρήματα τῷ Φωκίωνι διδόντος, ἀγανακτήσας εἶπε ‘μήτε ἐκεῖνον Ἀλεξάνδρου βελτίονα εἶναι, καὶ χείρονα τὴν αἰτίαν, ἐφ’ ᾗ λήψεται νῦν τότε μὴ δεξάμενος.’

15. Ἀντίπατρος δὲ ἔφη, ὡς δυεῖν αὐτῷ φίλων Ἀθήνησιν ὄντων οὔτε Φωκίωνα λαβεῖν πέπεικεν οὔτε Δημάδην διδοὺς ἐμπέπληκεν.

16. Ἀξιοῦντος δὲ Ἀντιπάτρου ποιῆσαί τι τῶν μὴ δικαίων αὐτόν ‘οὐ δύνασαι’ εἶπεν ‘Ἀντίπατρε καὶ φίλῳ Φωκίωνι χρῆσθαι καὶ κόλακι.’

189 17. Μετὰ δὲ τὴν Ἀντιπάτρου τελευτὴν δημο-

3 αὐτῷ W: οὕτω 13 Νικίωνα] Μικίωνα Vit. Phoc. c. 25.

κρατίας Ἀθηναίοις γενομένης κατεγνώσθη θάνατος τοῦ Φωκίωνος ἐν ἐκκλησίᾳ καὶ τῶν φίλων· οἱ μὲν οὖν ἄλλοι κλαίοντες ἤγοντο· τῷ δὲ Φωκίωνι σιωπῇ βαδίζοντι τῶν ἐχθρῶν τις ἐνέπτυσεν ἀπαντήσας εἰς τὸ πρόσωπον. ὁ δὲ πρὸς τοὺς ἄρχοντας ἀποβλέψας ‘οὐ παύσει τις’ εἶπε ‘τοῦτον ἀσχημονοῦντα;’

18. Τῶν δὲ μελλόντων συναποθνήσκειν ἑνὸς ὀδυρομένου καὶ ἀγανακτοῦντος ‘οὐκ ἀγαπᾷς’ εἶπεν ‘ὦ Θούδιππε μετὰ Φωκίωνος ἀποθανούμενος;’

19. Ἤδη δὲ τῆς κύλικος αὐτῷ προσφερομένης, ἐρωτηθεὶς εἴ τι λέγει πρὸς τὸν υἱόν ‘ἐγώ σε’ εἶπεν ‘ἐντέλλομαι καὶ παρακαλῶ μηδὲν Ἀθηναίοις μνησι- B
κακεῖν.’

ΠΕΙΣΙΣΤΡΑΤΟΥ.

1. Πεισίστρατος ὁ Ἀθηναίων τύραννος, ἐπεὶ τῶν φίλων τινὲς ἀποστάντες αὐτοῦ Φυλὴν κατέλαβον, ἦλθε πρὸς αὐτοὺς στρωματόδεσμον αὐτὸς κομίζων. πυνθανομένων δὲ ἐκείνων τί βούλεται, ‘πείσας ὑμᾶς’ εἶπεν ‘ἀπαγαγεῖν ἢ μὴ πείσας μένειν μεθ’ ὑμῶν, διὰ τοῦτο ἀφῖγμαι συνεσκευασμένος.’

2. Διαβληθείσης δὲ τῆς μητρὸς πρὸς αὐτόν, ὡς ἐρᾷ τινος νεανίσκου καὶ κρύφα σύνεστι φοβουμένῳ καὶ παραιτουμένῳ τὰ πολλά, καλέσας ἐπὶ δεῖπνον τὸν νεανίσκον ἠρώτησε δειπνήσαντα ‘πῶς γέγονεν·’ ‘ἡδέως’ δὲ φήσαντος, ‘ταῦτά σοι’ ἔφη ‘καθ’ ἡμέραν C
ἔσται, ἐὰν τῇ μητρί μου ἀρέσκῃς.’

3. Ἐπεὶ δὲ Θρασύβουλος ἐρῶν αὐτοῦ τῆς θυγατρὸς ἐφίλησεν ἀπαντήσας, παροξυνόμενος ἐπ’ αὐτὸν

ὑπὸ τῆς γυναικὸς 'ἂν τοὺς φιλοῦντας' εἶπε 'μισῶμεν, τί ποιήσομεν τοὺς μισοῦντας;' καὶ ἔδωκε γυναῖκα τῷ Θρασυβούλῳ τὴν παρθένον.

4. Κωμαστῶν δέ τινων περιτυχόντων αὐτοῦ τῇ γυναικὶ καὶ πολλὰ πραξάντων ἀσελγῆ καὶ εἰπόντων, μεθ' ἡμέραν δὲ τοῦ Πεισιστράτου δεομένων καὶ δακρυόντων, 'ὑμεῖς μέν' ἔφη 'πειρᾶσθε σωφρονεῖν τὸ λοιπόν· ἡ δ' ἐμὴ γυνὴ τὸ παράπαν ἐχθὲς οὐδαμῇ προῆλθε.'

D 5. Τῶν δὲ παίδων, αὐτοῦ γαμεῖν ἑτέραν γυναῖκα μέλλοντος, διαπυνθανομένων μή τι μεμφόμενος αὐτοὺς εἴη, 'ἥκιστα' εἶπεν 'ἀλλ' ἐπαινῶν καὶ βουλόμενος ἑτέρους μοι παῖδας τοιούτους γενέσθαι.'

ΔΗΜΗΤΡΙΟΥ ΤΟΥ ΦΑΛΗΡΕΩΣ.

Δημήτριος ὁ Φαληρεὺς Πτολεμαίῳ τῷ βασιλεῖ παρῄνει τὰ περὶ βασιλείας καὶ ἡγεμονίας βιβλία κτᾶσθαι καὶ ἀναγινώσκειν· 'ἃ γὰρ οἱ φίλοι τοῖς βασιλεῦσιν οὐ θαρροῦσι παραινεῖν, ταῦτα ἐν τοῖς βιβλίοις γέγραπται.'

E ΛΥΚΟΥΡΓΟΥ.

1. Λυκοῦργος ὁ Λακεδαιμόνιος εἴθισε τοὺς πολίτας κομᾶν λέγων 'ὅτι τοὺς μὲν καλοὺς ἡ κόμη εὐπρεπεστέρους ποιεῖ, τοὺς δὲ αἰσχροὺς φοβερωτέρους.'

2. Πρὸς δὲ τὸν κελεύοντα ποιεῖν ἐν τῇ πόλει δημοκρατίαν 'σὺ πρῶτος' εἶπεν 'ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν.'

3. *Ἐκέλευε δὲ τὰς οἰκίας ποιεῖν ἀπὸ πρίονος καὶ πελέκεως μόνον· αἰσχύνεσθαι γὰρ εἰς οἰκίας λιτὰς ἐκπώματα καὶ στρώματα καὶ τραπέζας πολυτελεῖς εἰσφέροντας.*

4. *Πυγμὴν δὲ καὶ παγκράτιον ἀγωνίζεσθαι ἐκώλυσεν, ἵνα μηδὲ παίζοντες ἀπαυδᾶν ἐθίζωνται.*

5. *Στρατεύειν δὲ πολλάκις ἐπὶ τοὺς αὐτοὺς ἐκώ-* F
λυσεν, ὅπως μὴ ποιῶσι μαχιμωτέρους. ὕστερον γοῦν τοῦ Ἀγησιλάου τρωθέντος, ὁ Ἀνταλκίδας εἶπεν ‘καλὰ διδασκάλια παρὰ Θηβαίων λαμβάνειν αὐτὸν ἐθίσαντα καὶ διδάξαντα πολεμεῖν ἄκοντας.’

ΧΑΡΙΛΛΟΥ.

1. *Χάριλλος ὁ βασιλεὺς ἐρωτηθεὶς διὰ τί νόμους ὀλίγους οὕτω Λυκοῦργος ἔθηκεν, ἀπεκρίνατο ‘τοὺς χρωμένους ὀλίγοις λόγοις μὴ δεῖσθαι νόμων πολλῶν.’*

2. *Τῶν δὲ εἱλώτων τινὸς θρασύτερον αὐτῷ προσφερομένου, ‘ναὶ τὼ σιώ’ εἶπε ‘κατέκτανον ἄν τυ, αἰ μὴ ὠργιζόμαν.’*

3. *Πρὸς δὲ τὸν πυθόμενον διὰ τί κομῶσιν εἶπεν ὅτι ‘τῶν κόσμων ἀδαπανώτατος οὗτός ἐστι.’*

ΤΗΛΕΚΛΟΥ.

Τήλεκλος ὁ βασιλεὺς πρὸς τὸν ἀδελφὸν ἐγκα- 190
λοῦντα τοῖς πολίταις ὡς ἀγνωμονέστερον αὐτῷ προσφερομένοις ἢ ἐκείνῳ, ‘σὺ γάρ’ εἶπεν ‘οὐκ οἶδας ἀδικεῖσθαι.’

17 *ναὶ* Cobetus: *νὴ*   *ἄν τυ, αἰ* idem: *τεῦ εἰ*

ΘΕΟΠΟΜΠΟΥ.

Θεόπομπος ἔν τινι πόλει πρὸς τὸν ἐπιδεικνύμενον τὸ τεῖχος αὐτῷ καὶ πυνθανόμενον, εἰ δοκεῖ καλὸν καὶ ὑψηλὸν εἶναι ‘οὐδ’ εἰ γυναικῶν’ εἶπεν ‘ἦν.’

ΑΡΧΙΔΑΜΟΥ.

Ἀρχίδαμος, ἐν τῷ Πελοποννησιακῷ πολέμῳ τῶν συμμάχων ἀξιούντων ὁρίσαι τοὺς φόρους αὐτοῖς, εἶπεν ‘ὁ πόλεμος οὐ τεταγμένα σιτεῖται.’

B

ΒΡΑΣΙΔΟΥ.

1. *Βρασίδας ἐν ἰσχάσι συλλαβὼν μῦν καὶ δηχθεὶς ἀφῆκεν· εἶτα πρὸς τοὺς παρόντας ‘οὐδὲν οὕτως’ ἔφη ‘μικρόν ἐστιν, ὃ μὴ σῴζεται τολμῶν ἀμύνεσθαι τοὺς ἐπιχειροῦντας.’*

2. *Ἐν δὲ μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθεὶς καὶ τὸ δόρυ τοῦ τραύματος ἐξελκύσας αὐτῷ τούτῳ τὸν πολέμιον ἀπέκτεινεν· ἐπερωτηθεὶς δὲ πῶς ἐτρώθη, ‘προδούσης με τῆς ἀσπίδος’ εἶπεν.*

3. *Ἐπειδὴ συνέβη πεσεῖν αὐτὸν ἐλευθεροῦντα τοὺς ἐπὶ Θρᾴκης Ἕλληνας, οἱ δὲ πεμφθέντες εἰς Λακεδαίμονα πρέσβεις τῇ μητρὶ προσῆλθον αὐτοῦ,*
C *πρῶτον μὲν ἠρώτησεν εἰ καλῶς ὁ Βρασίδας ἀπέθανεν· ἐγκωμιαζόντων δὲ τῶν Θρᾳκῶν αὐτὸν καὶ λεγόντων ὡς οὐδεὶς ἄλλος ἔσται τοιοῦτος, ‘ἀγνοεῖτε’ εἶπεν ‘ὦ ξένοι· Βρασίδας μὲν γὰρ ἦν ἀνὴρ ἀγαθός, ἁ δὲ Λακεδαίμων πολλὼς ἔχει τήνω κάρρονας.’*

3 *ἦν* addidi ex p. 221 f. Auditur *οὕτως ἂν ἦν ὑψηλόν*
12 *ἐξελκύσας* p. 219 c: *ἑλκύσας*

ΑΓΙΔΟΣ.

1. Ἆγις ὁ βασιλεὺς οὐκ ἔφη τοὺς Λακεδαιμονίους ἐρωτᾶν πόσοι εἰσίν, ἀλλὰ ποῦ εἰσὶν οἱ πολέμιοι.

2. Ἐν δὲ Μαντινείᾳ κωλυόμενος διαμάχεσθαι τοῖς πολεμίοις πλείοσιν οὖσιν, εἶπεν 'ἀνάγκη πολλοῖς μάχεσθαι τὸν ἄρχειν πολλῶν βουλόμενον.'

3. Ἐπαινουμένων δὲ τῶν Ἠλείων ἐπὶ τῷ τὰ Ὀλύμπια καλῶς ἄγειν, 'τί δέ' εἶπε 'ποιοῦσι θαυμαστόν, εἰ δι' ἐτῶν τεσσάρων μιᾷ ἡμέρᾳ χρῶνται τῇ δικαιοσύνῃ;' ἐπιμενόντων δὲ τοῖς ἐπαίνοις, ἔφη D 'τί θαυμαστὸν εἰ πράγματι καλῷ καλῶς χρῶνται, τῇ δικαιοσύνῃ;'

4. Πρὸς δὲ ἄνθρωπον πονηρὸν ἐρωτῶντα πολλάκις τίς ἄριστος εἴη Σπαρτιατῶν, εἶπεν 'ὁ τὶν ἀνομοιότατος.'

5. Ἑτέρου δὲ πυνθανομένου πόσοι εἰσὶν οἱ Λακεδαιμόνιοι 'ὅσοι' εἶπεν 'ἱκανοὶ τοὺς κακοὺς ἀπείργειν.'

6. Καὶ τὸ αὐτὸ ἑτέρου πυνθανομένου, 'πολλοί σοι' ἔφη 'δόξουσιν εἶναι, ἐὰν αὐτοὺς ἴδῃς μαχομένους.'

ΛΥΣΑΝΔΡΟΥ.

1. Λύσανδρος, Διονυσίου τοῦ τυράννου πέμ- E ψαντος ἱμάτια ταῖς θυγατράσιν αὐτοῦ τῶν πολυτελῶν, οὐκ ἔλαβεν εἰπὼν 'δεδιέναι, μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσιν.'

2. Πρὸς δὲ τοὺς ψέγοντας αὐτὸν ἐπὶ τῷ δι'

13 τὶν Cobetus: τύνη 15 οἱ] om. mei codd.

ἀπάτης τὰ πολλὰ πράσσειν ὡς ἀνάξιον τοῦ Ἡρακλέους, ἔλεγεν ‘ὅπου μὴ ἐφικνεῖται ἡ λεοντῆ, προσραπτέον εἶναι τὴν ἀλωπεκῆν.’

3. Πρὸς δὲ Ἀργείους δικαιότερα τῶν Λακεδαιμονίων λέγειν περὶ τῆς ἀμφισβητουμένης χώρας δοκοῦντας, σπασάμενος τὴν μάχαιραν ‘ὁ ταύτης’ ἔφη ‘κρατῶν βέλτιστα περὶ γῆς ὅρων διαλέγεται.’

4. Τοὺς δὲ Λακεδαιμονίους ὁρῶν ὀκνοῦντας προσμάχεσθαι τοῖς τείχεσι τῶν Κορινθίων, ὡς εἶδε λαγὼν ἐξαλλόμενον ἐκ τῆς τάφρου, ‘τοιούτους’ ἔφη
F ‘φοβεῖσθε πολεμίους, ὧν οἱ λαγοὶ δι’ ἀργίαν ἐν τοῖς τείχεσιν ἐγκαθεύδουσιν;’

5. Μεγαρέως δὲ ἀνδρὸς ἐν κοινῷ συλλόγῳ παρρησίᾳ χρησαμένου πρὸς αὐτόν, ‘οἱ λόγοι σου’ εἶπε ‘πόλεως δέονται.’

ΑΓΗΣΙΛΑΟΥ.

1. Ἀγησίλαος ἔλεγε τοὺς τὴν Ἀσίαν κατοικοῦντας ἐλευθέρους μὲν κακοὺς εἶναι, δούλους δὲ ἀγαθούς.

2. Εἰθισμένων δὲ αὐτῶν τὸν Περσῶν βασιλέα μέγαν προσαγορεύειν, ‘τί δὲ ἐκεῖνος’ εἶπεν ‘ἐμοῦ μείζων, εἰ μὴ δικαιότερος καὶ σωφρονέστερος;’

3. Περὶ ἀνδρείας καὶ δικαιοσύνης ἐρωτηθεὶς ποτέρα βελτίων ‘οὐδὲν ἀνδρείας’ ἔφη ‘χρῄζομεν, ἐὰν πάντες ὦμεν δίκαιοι.’

191 4. Νυκτὸς δὲ μέλλων κατὰ τάχος ἀναζευγνύειν ἐκ τῆς πολεμίας καὶ τὸν ἐρώμενον ὁρῶν ἀπολειπόμενον δι’ ἀσθένειαν καὶ δακρύοντα, ‘χαλεπόν’ εἶπεν ‘ἅμα ἐλεεῖν καὶ φρονεῖν.’

5. Μενεκράτους δὲ τοῦ ἰατροῦ Διὸς προσαγορευομένου, γράψαντος ἐπιστολὴν πρὸς αὐτόν ‘Μενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαίρειν’ ἀντέγραψεν ‘βασιλεὺς Ἀγησίλαος Μενεκράτει ὑγιαίνειν.’

6. Λακεδαιμονίων δὲ νικησάντων Ἀθηναίους καὶ τοὺς συμμάχους ἐν Κορίνθῳ, πυθόμενος τὸ πλῆθος τῶν πολεμίων νεκρῶν ‘φεῦ τᾶς Ἑλλάδος’ εἶπεν ‘ἃ [B] τοσούτους ὑφ’ αὑτᾶς ἀπολώλεκεν, ὅσοις ἀρκεῖ τοὺς βαρβάρους νικῆν ἅπαντας.’

7. Χρησμὸν δὲ λαβὼν ἐν Ὀλυμπίᾳ παρὰ τοῦ Διὸς ὃν ἤθελεν, εἶτα τῶν ἐφόρων κελευόντων καὶ τὸν Πύθιον ἐρωτῆσαι περὶ τῶν αὐτῶν, εἰς Δελφοὺς παραγενόμενος ἠρώτησε τὸν θεόν ‘εἰ ἅπερ τῷ πατρὶ δοκεῖ καὶ αὐτῷ.’

8. Παραιτούμενος δέ τινα τῶν φίλων παρὰ τοῦ Καρὸς Ἱδριέως, ἔγραψε πρὸς αὐτόν ‘Νικίας εἰ μὲν οὐκ ἀδικεῖ, ἄφες· εἰ δὲ ἀδικεῖ, ἐμοὶ ἄφες, πάντως δὲ ἄφες.’

9. Τοῦ δὲ μιμουμένου τὴν τῆς ἀηδόνος φωνὴν ἀκοῦσαι παρακαλούμενος ‘αὐτᾶς’ εἶπεν ‘ἄκουκα πολλάκις.’

10. Μετὰ δὲ τὴν ἐν Λεύκτροις μάχην, πάντας [C] τοὺς τρέσαντας ἀτίμους εἶναι τοῦ νόμου κελεύοντος, ὁρῶντες οἱ ἔφοροι τὴν πόλιν ἀνδρῶν ἔρημον οὖσαν ἐβούλοντο τὴν ἀτιμίαν λῦσαι, καὶ νομοθέτην ἀπέδειξαν τὸν Ἀγησίλαον· ὁ δὲ προελθὼν εἰς τὸ μέσον ἐκέλευσε τοὺς νόμους ἀπὸ τῆς αὔριον κυρίους εἶναι.

11. Ἐπεὶ δὲ πεμφθεὶς τῷ βασιλεῖ τῶν Αἰγυ-

16 Ἱδριέως X: ἰκριέως

πτίων σύμμαχος ἐπολιορκεῖτο μετ᾽ αὐτοῦ, πολλαπλασιόνων ὄντων τῶν πολεμίων καὶ περιταφρευόντων D τὸ στρατόπεδον, κελεύσαντος ἐπεξιέναι καὶ διαμάχεσθαι τοῦ βασιλέως, ‘οὐκ’ ἔφη ‘διακωλύσειν τοὺς πολεμίους ἴσους αὐτοῖς γενέσθαι βουλομένους.’ ἔτι δὲ μικρὸν ἀπολιπούσης τῆς τάφρου συνάψαι, κατὰ τοῦτο παρατάξας τὸ διαλεῖπον καὶ πρὸς ἴσους ἴσοι ἀγωνισάμενοι ἐνίκησαν.

12. Ἀποθνήσκων δὲ τοὺς φίλους ἐκέλευσε ‘μηδεμίαν πλαθὰν μηδὲ μιμηλὰν ποιήσασθαι’ τὰς εἰκόνας οὕτω προσαγορεύων· ‘εἰ γάρ τι καλὸν ἔργον πεποίηκα, τοῦτό μου μνημεῖόν ἐστιν· εἰ δὲ μηδέν, οὐδ᾽ οἱ πάντες ἀνδριάντες.’

ΑΡΧΙΔΑΜΟΥ ΤΟΥ ΑΓΗΣΙΛΑΟΥ.

E Ἀρχίδαμος ὁ Ἀγησιλάου καταπελτικὸν ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθὲν ἀνεβόησεν ‘ὦ Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά.’

ΑΓΙΔΟΣ ΤΟΥ ΝΕΩΤΕΡΟΥ.

1. Ὁ δὲ νεώτερος Ἆγις, Δημάδου λέγοντος ὅτι τὰ Λακωνικὰ ξίφη διὰ μικρότητα καταπίνουσιν οἱ θαυματοποιοί, ‘καὶ μήν’ ἔφη ‘μάλιστα οἱ Λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνοῦνται.’

2. Τῷ δὲ προδότῃ παραδοῦναι στρατιώτας τῶν ἐφόρων κελευόντων, ‘οὐκ ἔφη πιστεύειν τοὺς ἀλλοτρίους τῷ προδόντι τοὺς ἰδίους.’

ΚΛΕΟΜΕΝΟΥΣ.

Κλεομένης πρὸς τὸν ὑπισχνούμενον αὐτῷ δώ- F σειν ἀλεκτρυόνας ἀποθνήσκοντας ἐν τῷ μάχεσθαι ‘μὴ σύ γε’ εἶπεν ‘ἀλλὰ δός μοι τοὺς κατακτέννοντας ἐν τῷ μάχεσθαι.’

ΠΑΙΔΑΡΗΤΟΥ.

Παιδάρητος οὐκ ἐγκριθεὶς εἰς τοὺς τριακοσίους, ἥτις ἦν ἐν τῇ πόλει πρωτεύουσα τιμὴ τῇ τάξει, ἱλαρὸς καὶ μειδιῶν ἀπήει, χαίρειν λέγων εἰ τριακοσίους ἡ πόλις ἔχει πολίτας ἑαυτοῦ βελτίονας.

ΔΑΜΩΝΙΔΟΥ.

Δαμωνίδας δὲ ταχθεὶς εἰς τὴν τελευταίαν τοῦ χοροῦ τάξιν ὑπὸ τοῦ τὸν χορὸν ἱστάντος ‘εὖγε’ εἶπεν ‘ἐξεῦρες, πῶς καὶ αὐτὸς ὁ τόπος ἔντιμος γένηται.’

ΝΙΚΟΣΤΡΑΤΟΥ.

Νικόστρατος ὁ τῶν Ἀργείων στρατηγὸς ὑπὸ Ἀρ- 192 χιδάμου χωρίον τι προδοῦναι παρακαλούμενος ἐπὶ χρήμασι πολλοῖς καὶ γάμῳ Λακαίνης, ἣν βούλεται, δίχα τῶν βασιλικῶν, ἀπεκρίνατο ‘μὴ εἶναι τὸν Ἀρχίδαμον ἀφ’ Ἡρακλέους· τὸν μὲν γὰρ Ἡρακλέα περιιόντα τοὺς κακοὺς κολάζειν, Ἀρχίδαμον δὲ τοὺς ἀγαθοὺς κακοὺς ποιεῖν.’

5 Παιδάρητος *: παιδάρετος 11 ὁ τόπος *

ΕΥΔΑΜΙΔΟΥ.

1. *Εὐδαμίδας ἰδὼν ἐν Ἀκαδημείᾳ Ξενοκράτην πρεσβύτερον ἤδη μετὰ τῶν μαθητῶν φιλοσοφοῦντα καὶ πυθόμενος ὅτι τὴν ἀρετὴν ζητεῖ, ʻπότε οὖνʼ εἶπεν ʻαὐτῇ χρήσεται;ʼ*

B 2. *Πάλιν ἀκούσας φιλοσόφου διαλεχθέντος, ὅτι μόνος ἀγαθὸς στρατηγὸς ὁ σοφός ἐστιν, ʻὁ μὲν λόγοςʼ ἔφη ʻθαυμαστός, ὁ δὲ λέγων οὐ περισεσάλπισται.ʼ*

ΑΝΤΙΟΧΟΥ.

Ἀντίοχος ἐφορεύων, ὡς ἤκουσεν ὅτι Μεσσηνίοις Φίλιππος τὴν χώραν ἔδωκεν, ἠρώτησεν εἰ καὶ τὸ κρατεῖν αὐτοῖς μαχομένοις περὶ τῆς χώρας ἔδωκεν.

ΑΝΤΑΛΚΙΔΟΥ.

1. *Ἀνταλκίδας πρὸς τὸν Ἀθηναῖον ἀμαθεῖς ἀποκαλοῦντα τοὺς Λακεδαιμονίους ʻμόνοι γοῦνʼ εἶπεν ʻἡμεῖς οὐδὲν μεμαθήκαμεν κακὸν παρʼ ὑμῶν.ʼ*

C 2. *Ἑτέρου δὲ Ἀθηναίου πρὸς αὐτὸν εἰπόντος ʻἀλλὰ μὴν ἡμεῖς ἀπὸ τοῦ Κηφισοῦ πολλάκις ὑμᾶς ἐδιώξαμενʼ, ʻἡμεῖς δὲ οὐδέποτεʼ εἶπεν ʻὑμᾶς ἀπὸ τοῦ Εὐρώτα.ʼ*

3. *Σοφιστοῦ δὲ μέλλοντος ἀναγινώσκειν ἐγκώμιον Ἡρακλέους, ἔφη ʻτίς γὰρ αὐτὸν ψέγει;ʼ*

ΕΠΑΜΕΙΝΩΝΔΟΥ.

1. *Ἐπαμεινώνδου τοῦ Θηβαίου στρατηγοῦντος,*

1 *Εὐδαμίδας* X: *εὐδαιμονίδας* *Ἀκαδημείᾳ* *: *ἀκαδημίᾳ* 7 *περισεσάλπιγκται* Stob. 54, 65 20 *Ἐπαμεινώνδου* hic et infra *: *ἐπαμινώνδου*

οὐδέποτε πανικὸς θόρυβος ἐνέπεσεν εἰς τὸ στρατόπεδον.

2. Ἔλεγε δὲ τὸν ἐν πολέμῳ θάνατον εἶναι κάλλιστον.

3. Τῶν δὲ ὁπλιτῶν δεῖν ἀπέφαινεν εἶναι τὸ σῶμα γεγυμνασμένον οὐκ ἀθλητικῶς μόνον ἀλλὰ καὶ στρατιωτικῶς· διὸ καὶ τοῖς πολυσάρκοις ἐπολέ- D
μει, καί τινα τοιοῦτον ἀπήλασε τῆς στρατιᾶς εἰπὼν ὅτι ‘μόλις αὐτοῦ σκέπουσι τὴν γαστέρα ἀσπίδες τρεῖς ἢ τέσσαρες, δι᾽ ἣν οὐχ ἑώρακεν αὑτοῦ τὸ αἰδοῖον.’

4. Οὕτω δὲ ἦν εὐτελὴς περὶ τὴν δίαιταν, ὥστε κληθεὶς ἐπὶ δεῖπνον ὑπὸ γείτονος εὑρὼν πεμμάτων καὶ ὄψων καὶ μύρων παρασκευὴν ἀπῆλθεν εὐθύς, εἰπών ‘ἐγώ σε θύειν ᾤόμην οὐχ ὑβρίζειν.’

5. Τοῦ δὲ μαγείρου τοῖς συνάρχουσιν ἡμερῶν τινων δαπάνην ἀπολογιζομένου, πρὸς μόνον ἠγανάκτησε τὸ πλῆθος τοῦ ἐλαίου· θαυμασάντων δὲ τῶν E
συναρχόντων, ‘οὐ τὸ τῆς δαπάνης’ ἔφη ‘λυπεῖν αὐτόν, ἀλλ᾽ εἰ τοσοῦτον ἔλαιον ἐντὸς παραδέδεκται τοῦ σώματος.’

6. Ἑορτὴν δὲ τῆς πόλεως ἀγούσης καὶ πάντων ἐν πότοις καὶ συνουσίαις ὄντων, ἀπήντησέ τινι τῶν συνήθων αὐχμηρὸς καὶ σύννους βαδίζων· θαυμάζοντος δὲ καὶ πυνθανομένου τί δὴ μόνος οὕτως ἔχων περίεισιν, ‘ὅπως’ εἶπεν ‘ἐξῇ πᾶσιν ὑμῖν μεθύειν καὶ ῥᾳθυμεῖν.’

7. Ἄνθρωπον δὲ φαῦλον ἐξημαρτηκότα τι τῶν μετρίων, τοῦ μὲν Πελοπίδα παρακαλοῦντος οὐκ ἀφῆκε, τῆς δ᾽ ἐρωμένης δεηθείσης ἀφῆκεν, εἰπὼν

F ὅτι ‘τοιαῦτα πρέπει λαμβάνειν ἑταιριδίοις, ἀλλὰ μὴ στρατηγοῖς.’

8. Ἐπεὶ δὲ Λακεδαιμονίων ἐπιστρατευομένων ἀνεφέροντο χρησμοὶ τοῖς Θηβαίοις, οἱ μὲν ἧτταν οἱ δὲ νίκην φράζοντες, ἐκέλευε τοὺς μὲν ἐπὶ δεξιᾷ τοῦ βήματος θεῖναι, τοὺς δὲ ἐπ᾽ ἀριστερᾷ. τεθέντων δὲ πάντων, ἀναστὰς εἶπεν ‘ἐὰν μὲν ἐθελήσητε τοῖς ἄρχουσι πείθεσθαι καὶ τοῖς πολεμίοις ὁμόσε χωρεῖν, οὗτοι ὑμῖν εἰσὶν οἱ χρησμοί’ δείξας τοὺς βελτίονας· ‘ἐὰν δὲ ἀποδειλιάσητε πρὸς τὸν κίνδυνον, ἐκεῖνοι’ πρὸς τοὺς χείρονας ἰδών.

9. Πάλιν δὲ προσάγων τοῖς πολεμίοις, βροντῆς γενομένης καὶ τῶν περὶ αὐτὸν πυνθανομένων τί
193 σημαίνειν οἴεται τὸν θεόν, ‘ἐμβεβροντῆσθαι τοὺς πολεμίους’ εἶπεν ‘ὅτι τοιούτων χωρίων ἐγγὺς ὄντων, ἐν τοιούτοις στρατοπεδεύουσιν.’

10. Ἥδιστον δὲ πάντων αὐτῷ τῶν γεγονότων καλῶν καὶ ἀγαθῶν ἔλεγε τὸ τοῦ πατρὸς ἔτι ζῶντος καὶ τῆς μητρὸς ἐν Λεύκτροις νικῆσαι Λακεδαιμονίους.

11. Εἰωθὼς δὲ φαίνεσθαι τὸν ἄλλον χρόνον ἀληλιμμένος τὸ σῶμα καὶ φαιδρὸς τῷ προσώπῳ, μετὰ τὴν μάχην ἐκείνην τῇ ὑστεραίᾳ προῆλθεν αὐχμηρὸς καὶ ταπεινός· τῶν δὲ φίλων ἐρωτώντων μή τι λυπηρὸν αὐτῷ συμπέπτωκεν, ‘οὐδέν’ εἶπεν ‘ἀλλ’ ἐχθὲς ᾐσθόμην ἐμαυτοῦ μεῖζον ἢ καλῶς ἔχει φρονή-
B σαντος· διὸ σήμερον κολάζω τὴν ἀμετρίαν τῆς χαρᾶς.’

12. Εἰδὼς δὲ τοὺς Σπαρτιάτας ἐπικρυπτομένους τὰ τοιαῦτα συμπτώματα, καὶ βουλόμενος ἐξελέγξαι

18 τὸ τοῦ *: τὸ τῶν γειναμένων αὐτὸν τοῦ

τὸ μέγεθος τῆς συμφορᾶς αὐτῶν, οὐχ ὁμοῦ πᾶσι νεκρῶν ἀναίρεσιν ἀλλ' ἑκάστοις κατὰ πόλιν ἔδωκεν, ὥστε πλείονας ἢ χιλίους ὄντας ὀφθῆναι τοὺς Λακεδαιμονίων.

13. Ἰάσονος δὲ τοῦ Θεσσαλῶν μονάρχου συμμάχου μὲν εἰς Θήβας παραγενομένου, δισχιλίους δὲ χρυσοῦς τῷ Ἐπαμεινώνδᾳ πέμψαντος ἰσχυρῶς πενομένῳ, τὸ μὲν χρυσίον οὐκ ἔλαβε, τὸν δὲ Ἰάσονα θεασάμενος 'ἀδίκων' ἔφη 'χειρῶν ἄρχεις·' αὐτὸς δὲ πεντήκοντα δραχμὰς δανεισάμενος παρά τινος C τῶν πολιτῶν, ἐφόδιον τῆς στρατιᾶς, ἐνέβαλεν εἰς Πελοπόννησον.

14. Αὖθις δὲ τοῦ Περσῶν βασιλέως τρισμυρίους δαρεικοὺς ἀποστείλαντος αὐτῷ, καθήψατο πικρῶς Διομέδοντος, εἰ τοσοῦτον πλοῦν πέπλευκε διαφθερῶν Ἐπαμεινώνδαν· πρὸς δὲ τὸν βασιλέα λέγειν ἐκέλευσεν ὅτι 'τὰ συμφέροντα Θηβαίοις φρονῶν ἕξει προῖκα φίλον Ἐπαμεινώνδαν· τὰ δὲ μὴ συμφέροντα πολέμιον.'

15. Ἐπεὶ δὲ Ἀργεῖοι μὲν ἐγένοντο σύμμαχοι Θηβαίων, Ἀθηναίων δὲ πρέσβεις εἰς Ἀρκαδίαν παραγενόμενοι κατηγόρουν ἀμφοτέρων, καὶ Καλλίστρατος ὁ ῥήτωρ ὠνείδισε τὸν Ὀρέστην καὶ τὸν Οἰδίποδα D ταῖς πόλεσιν, ἐπαναστὰς ὁ Ἐπαμεινώνδας 'ὁμολογοῦμεν' ἔφη 'καὶ παρ' ἡμῖν πατροκτόνον γενέσθαι καὶ παρ' Ἀργείοις μητροκτόνον· ἀλλὰ τοὺς ταῦτα δράσαντας ἡμεῖς μὲν ἐξεβάλομεν, Ἀθηναῖοι δὲ ὑπεδέξαντο.'

16. Πρὸς δὲ τοὺς Σπαρτιάτας πολλὰ καὶ με-

γάλα τῶν Θηβαίων κατηγορήσαντας ‘οὗτοι μέντοι’
εἶπεν ‘ὑμᾶς βραχυλογοῦντας ἔπαυσαν.’

17. Ἐπεὶ δὲ Ἀλέξανδρον τὸν Φεραίων τύραν-
E νον πολέμιον ὄντα Θηβαίων Ἀθηναῖοι φίλον ἐποι-
ήσαντο καὶ σύμμαχον ὑποσχόμενον αὐτοῖς ἡμιωβο-
λίου τὴν μνᾶν κρεῶν ὤνιον παρέξειν, ‘ἡμεῖς δέ’
ἔφη ὁ Ἐπαμεινώνδας ‘ξύλα προῖκα παρέξομεν Ἀθη-
ναίοις ἐπὶ τὰ κρέα ταῦτα· τὴν γὰρ χώραν αὐτῶν
τεμοῦμεν, ἂν πολυπραγμονῶσι.’

18. Τοὺς δὲ Βοιωτοὺς ὑπὸ σχολῆς ἐκλυομένους
ἀεὶ βουλόμενος ἐν τοῖς ὅπλοις συνέχειν, ὁπότε Βοιω-
τάρχης αἱρεθείη, παραινῶν ἔλεγεν ‘ἔτι βουλεύσασθε,
ἄνδρες· ἐὰν γὰρ ἐγὼ στρατηγῶ, στρατευτέον ἐστὶν
ὑμῖν·’ καὶ τὴν χώραν ὑπτίαν οὖσαν καὶ ἀναπεπτα-
μένην ‘πολέμου ὀρχήστραν’ προσηγόρευεν, ὡς μὴ
δυναμένους κρατεῖν αὐτῆς, ἂν μὴ τὴν χεῖρα διὰ
πόρπακος ἔχωσι.

F 19. Τοῦ δὲ Χαβρίου περὶ Κόρινθον ὀλίγους
τινὰς τῶν Θηβαίων ὑπὸ τὰ τείχη φιλομαχοῦντας
καταβαλόντος καὶ στήσαντος τρόπαιον, ὁ Ἐπαμει-
νώνδας καταγελῶν ἔφη ‘ἐνταῦθα δεῖ οὐ τρόπαιον
ἀλλὰ Ἑκατήσιον ἑστάναι·’ τὴν γὰρ Ἑκάτην ἐπιεικῶς
ἐν ταῖς πρὸ τῶν πυλῶν ἱδρύοντο τριόδοις.

20. Ἀπαγγείλαντος δέ τινος ὡς Ἀθηναῖοι στρά-
τευμα καινοῖς κεκοσμημένον ὅπλοις εἰς Πελοπόννη-
σον ἀπεστάλκασι, ‘τί οὖν’ εἶπεν ‘Ἀντιγενίδας στένει
καινοὺς Τέλληνος αὐλοὺς ἔχοντος;’ ἦν δὲ αὐλητὴς ὁ
μὲν Τέλλης κάκιστος, ὁ δὲ Ἀντιγενίδας κάλλιστος.

194 21. Τὸν δὲ ὑπασπιστὴν αἰσθόμενος εἰληφότα

χρήματα πολλὰ παρ᾽ ἀνδρὸς αἰχμαλώτου γεγονότος ‘ἐμοὶ μέν’ εἶπεν ‘ἀπόδος τὴν ἀσπίδα, σεαυτῷ δὲ πρίω καπηλεῖον, ἐν ᾧ καταζήσεις· οὐκέτι γὰρ ἐθελήσεις κινδυνεύειν ὁμοίως εἷς τῶν πλουσίων γεγονὼς καὶ μακαρίων.’

22. Ἐρωτηθεὶς δὲ πότερον ἑαυτὸν ἡγεῖται βελτίονα στρατηγὸν ἢ Χαβρίαν ἢ Ἰφικράτην ‘δύσκριτον’ εἶπεν ‘ἕως ζῶμεν.’

23. Ἐπεὶ δὲ ἐκ τῆς Λακωνικῆς ὑποστρέψας ἔφευγε θανάτου δίκην μετὰ τῶν συστρατήγων, ὡς ἐπιβαλὼν τῇ Βοιωταρχίᾳ παρὰ τὸν νόμον τέσσαρας μῆνας, τοὺς μὲν συνάρχοντας ἐκέλευεν εἰς ἑαυτὸν ἀναφέρειν B τὴν αἰτίαν ὡς ἐκβιασθέντας, αὐτὸς δὲ οὐκ ἔφη βελτίονας ἔχειν τῶν ἔργων λόγους· εἰ δὲ δεῖ τι πάντως εἰπεῖν πρὸς τοὺς δικαστάς, ἀξιοῦν, ἂν ἀποκτείνωσιν αὐτόν, ἐπιγράψαι τῇ στήλῃ τὴν καταδίκην, ὅπως οἱ Ἕλληνες εἰδῶσιν ὅτι μὴ βουλομένους Θηβαίους Ἐπαμεινώνδας ἠνάγκασε τὴν Λακωνικὴν πυρπολῆσαι, πεντακοσίοις ἐνιαυτοῖς ἀδῄωτον οὖσαν· οἰκίσαι δὲ Μεσσήνην δι᾽ ἐτῶν τριάκοντα καὶ διακοσίων· συντάξαι δὲ καὶ συναγαγεῖν εἰς ταὐτὸν Ἀρκάδας· ἀποδοῦναι δὲ τοῖς Ἕλλησι τὴν αὐτονομίαν. ταῦτα γὰρ ἐπράχθη κατ᾽ ἐκείνην τὴν στρατείαν. ἐξῆλθον οὖν οἱ δικασταὶ σὺν πολλῷ γέλωτι μηδὲ τὰς C ψήφους ἐπ᾽ αὐτὸν ἀναλαβόντες.

24. Ἐν δὲ τῇ τελευταίᾳ μάχῃ τρωθεὶς καὶ κομισθεὶς ἐπὶ σκηνὴν ἐκάλει Δαΐφαντον, εἶτα μετ᾽ ἐκεῖνον Ἰολαΐδαν· τεθνάναι δὲ τοὺς ἄνδρας πυθόμενος

28 Ἰολαΐδαν Ael. V. H. 12, 3: ἰολλίδαν

ἐκέλευε διαλύεσθαι πρὸς τοὺς πολεμίους, ὡς οὐκ ὄντος αὐτοῖς στρατηγοῦ. καὶ τῷ λόγῳ τὸ ἔργον ἐμαρτύρησεν, ὡς εἰδότος ἄριστα τοὺς πολίτας.

ΠΕΛΟΠΙΔΟΥ.

1. *Πελοπίδας ὁ συστράτηγος Ἐπαμεινώνδᾳ, τῶν φίλων αὐτὸν ἀμελεῖν λεγόντων πράγματος ἀναγκαίου,* D *χρημάτων συναγωγῆς, ‘ἀναγκαῖα τὰ χρήματα νὴ Δία’ εἶπε ‘τούτῳ Νικοδήμῳ’ δείξας χωλὸν καὶ ἀνάπηρον ἄνθρωπον.*

2. *Τῆς δὲ γυναικός, ἐπὶ μάχην ἐξιόντος αὐτοῦ, δεομένης σῴζειν ἑαυτόν, ‘ἄλλοις’ ἔφη ‘δεῖν τοῦτο παραινεῖν, ἄρχοντι δὲ καὶ στρατηγῷ σῴζειν τοὺς πολίτας.’*

3. *Εἰπόντος δέ τινος τῶν στρατιωτῶν ‘ἐμπεπτώκαμεν εἰς τοὺς πολεμίους, ‘τί μᾶλλον’ εἶπεν ‘ἢ εἰς ἡμᾶς ἐκεῖνοι;’*

4. *Ἐπεὶ δὲ παρασπονδηθεὶς ὑπὸ Ἀλεξάνδρου τοῦ Φεραίων τυράννου καὶ δεθεὶς κακῶς αὐτὸν ἔλεγεν, εἰπόντος ἐκείνου ‘σπεύδεις ἀποθανεῖν;’ ‘πάνυ μὲν οὖν’ εἶπεν ‘ἵνα μᾶλλον παροξυνθῶσι Θηβαῖοι, καὶ σὺ δίκην δῷς τάχιον.’*

5. *Θήβης δὲ τῆς τοῦ τυράννου γυναικὸς ἐλθούσης πρὸς Πελοπίδαν καὶ λεγούσης θαυμάζειν, ὅτι οὕτως ἱλαρός ἐστι δεδεμένος, ‘αὐτὸς ἔφη μᾶλλον θαυμάζειν ἐκείνην, ὅτι μὴ δεδεμένη ὑπομένει Ἀλέξανδρον.’*

E 6. *Κομισαμένου δ’ αὐτὸν τοῦ Ἐπαμεινώνδου,*

4 Ἐπαμεινώνδᾳ *: ἐπαμινώνδα 7 Νικοδήμῳ Vit. Pel. c. 3: νικομήδει

‘χάριν’ εἶπεν ‘ἔχειν Ἀλεξάνδρῳ· πεπείραται γὰρ ἑαυτοῦ νῦν μάλιστα οὐ μόνον πρὸς πόλεμον, ἀλλὰ καὶ πρὸς θάνατον εὐθαρσῶς ἔχοντος.’

ΡΩΜΑΙΩΝ ΑΠΟΦΘΕΓΜΑΤΑ.

ΜΑΝΙΟΥ ΚΟΥΡΙΟΥ.

1. *Μάνιος Κούριος, ἐγκαλούντων αὐτῷ τινων ὅτι τῆς αἰχμαλώτου χώρας ὀλίγον ἑκάστῳ μέρος διένειμε τὴν δὲ πολλὴν ἐποίησε δημοσίαν, ἐπηύξατο ‘μηδένα γενέσθαι Ῥωμαίων, ὃς ὀλίγην ἡγήσεται γῆν τὴν τρέφουσαν.’*

2. *Σαυνιτῶν δὲ μετὰ τὴν ἧτταν ἀφικομένων πρὸς* F *αὐτὸν καὶ χρυσίον διδόντων, ἔτυχεν ἐν χύτραις ἕψων γογγυλίδας· ἀπεκρίνατο δὲ τοῖς Σαυνίταις μηδὲν χρυσίου δεῖσθαι τοιοῦτον δεῖπνον δειπνῶν· αὐτῷ δὲ βέλτιον εἶναι τοῦ χρυσίον ἔχειν τὸ κρατεῖν τῶν ἐχόντων.*

ΓΑΙΟΥ ΦΑΒΡΙΚΙΟΥ.

1. *Γάιος Φαβρίκιος τὴν ὑπὸ Πύρρου Ῥωμαίων ἧτταν πυθόμενος ‘Λαιβῖνον’ εἶπε ‘Πύρρος, οὐκ Ἠπειρῶται Ῥωμαίους νενικήκασιν.’*

2. *Ἐλθὼν δὲ πρὸς Πύρρον περὶ λύσεως αἰχμαλώτων χρυσίον μὲν πολὺ διδόντος οὐκ ἔλαβε· τῇ δ’* 195
ὑστεραίᾳ τὸν μέγιστον ἐλέφαντα τοῦ Πύρρου παρασκευάσαντος ἐξόπισθεν ἀγνοοῦντι τῷ Φαβρικίῳ ῥή-

4 *ΡΩΜΑΙΩΝ ΑΠΟΦΘΕΓΜΑΤΑ. ΜΑΝΙΟΥ ΚΟΥΡΙΟΥ*] vid. adnot. ad p. 172e 10 *χύτραις*] *χύτρᾳ*? 16 *Λαιβῖνον* *: *λαβιήνῳ*

ξαντα φωνὴν ἐπιφανῆναι· καὶ τούτου γενομένου, ἐπιστραφεὶς ὁ Φαβρίκιος καὶ μειδιάσας ‛ἐμέ’ εἶπεν ‛οὔτε τὸ χρυσίον ἐχθὲς οὔτε σήμερον τὸ θηρίον ἐξέπληξε.’

3. Τοῦ δὲ Πύρρου παρακαλοῦντος αὐτὸν εἶναι σὺν αὐτῷ καὶ τὴν μετ’ αὐτὸν ἔχειν ἡγεμονίαν ‛οὐδὲ σοί’ ἔφη ‛τοῦτο λυσιτελές ἐστιν· Ἠπειρῶται γὰρ ἐὰν ἀμφοτέρους γνῶσιν ἡμᾶς, ὑπ’ ἐμοῦ βασιλεύεσθαι μᾶλλον ἢ σοῦ ἐθελήσουσιν.’

4. Ὑπατεύοντι δὲ τῷ Φαβρικίῳ προσέπεμψεν B ἐπιστολὴν ὁ τοῦ Πύρρου ἰατρός, ἐπαγγελόμενος, ἐὰν κελεύῃ, φαρμάκοις τὸν Πύρρον ἀποκτενεῖν· ὁ δὲ Φαβρίκιος τὴν ἐπιστολὴν πρὸς Πύρρον ἔπεμψεν, αἰσθέσθαι κελεύσας διότι καὶ φίλων κάκιστός ἐστι κριτὴς καὶ πολεμίων.

5. Ἐπεὶ δὲ φωράσας τὴν ἐπιβουλὴν ὁ Πύρρος τὸν μὲν ἰατρὸν ἐκρέμασε, τῷ δὲ Φαβρικίῳ τοὺς αἰχμαλώτους ἄνευ λύτρων ἀπέδωκεν, οὐκ ἐδέξατο δωρεὰν ἀλλ’ ἴσους ἀντέδωκε, μὴ δόξῃ λαμβάνειν μισθόν· ‛οὐδὲ γὰρ χάριτι Πύρρου μεμηνυκέναι τὴν ἐπιβουλήν, ἀλλ’ ὅπως μὴ δοκῶσι Ῥωμαῖοι δόλῳ κτείνειν, ὡς φανερῶς νικᾶν οὐ δυνάμενοι.’

C

ΦΑΒΙΟΥ ΜΑΞΙΜΟΥ.

1. Φάβιος Μάξιμος Ἀννίβᾳ μάχεσθαι μὴ βουλόμενος ἀλλὰ τρίβειν χρόνῳ τὴν δύναμιν αὐτοῦ, καὶ χρημάτων ἐνδεᾶ καὶ σιτίων οὖσαν, ἐπηκολούθει διὰ τῶν τραχέων καὶ ὀρεινῶν ἀντιπαρεξιών· καταγελώντων δὲ τῶν πολλῶν καὶ παιδαγωγὸν Ἀννίβα καλούντων, μικρὰ φροντίζων ἐχρῆτο τοῖς αὐτοῦ λογισμοῖς·

καὶ πρὸς τοὺς φίλους ἔλεγεν ὅτι ‘τὸν σκώμματα φοβούμενον καὶ λοιδορίας δειλότερον ἡγεῖται τοῦ φεύγοντος τοὺς πολεμίους.’

2. Ἐπεὶ δὲ τοῦ συνάρχοντος Μινουκίου καταβαλόντος τινὰς τῶν πολεμίων πολὺς ἦν λόγος ὡς ἀνδρὸς ἀξίου τῆς Ῥώμης, ‘μᾶλλον ἔφη τὴν εὐτυχίαν D ἢ τὴν ἀτυχίαν τοῦ Μινουκίου φοβεῖσθαι.’ καὶ μετὰ μικρὸν ἐνέδρᾳ περιπεσόντος καὶ κινδυνεύοντος ἀπολέσθαι μετὰ τῆς ἑαυτοῦ δυνάμεως, ἐπιβοηθήσας τῶν τε πολεμίων πολλοὺς διέφθειρε κἀκεῖνον ἔσωσεν. ὁ μὲν οὖν Ἀννίβας εἶπε πρὸς τοὺς φίλους ‘οὐ πολλάκις ὑμῖν προύλεγον ἐγὼ τὴν ἀπὸ τῶν ὀρῶν νεφέλην ὅτι χειμάσει ποτὲ ἐφ’ ἡμᾶς;’

3. Μετὰ δὲ τὴν ἐν Κάνναις ἀτυχίαν τῆς πόλεως ἄρχων κατασταθεὶς μετὰ Κλαυδίου Μαρκέλλου, τόλμαν ἔχοντος ἀνδρὸς καὶ φιλομαχοῦντος ἀεὶ πρὸς τὸν Ἀννίβαν, αὐτὸς ἤλπιζεν, εἰ μηδεὶς μάχοιτο, ταχὺ τὴν δύναμιν τοῦ Ἀννίβα παρατεινομένην ἀπαγορεύσειν· ἔλεγεν οὖν ὁ Ἀννίβας ὅτι ‘μᾶλλον φοβεῖται E Μαρκέλλου μαχομένου Φάβιον μὴ μαχόμενον.’

4. Στρατιώτου δέ τινος Λευκανοῦ κατηγορηθέντος πρὸς αὐτόν, ὡς νύκτωρ ἀπὸ τοῦ στρατοπέδου πλανῷτο πολλάκις ἐρῶν γυναικός, τὰ δὲ ἄλλα θαυμαστὸν ἐν τοῖς ὅπλοις πυνθανόμενος εἶναι τὸν ἄνδρα, συλλαβεῖν ἐκέλευσε τὴν ἐρωμένην αὐτοῦ κρύφα καὶ πρὸς αὐτὸν ἀγαγεῖν· ὡς δὲ ἤχθη, μεταπεμψάμενος τὸν ἄνθρωπον ‘οὐ λέληθας’ ἔφη ‘παρὰ τὸν νόμον F ἀπονυκτερεύων· ἀλλ’ οὐδὲ χρηστὸς ὢν πρότερον

12 ἀπὸ] ἐπὶ Vit. F. Max. c. 12

ἐλελήθεις· τὰ μὲν οὖν ἡμαρτημένα λελύσθω τοῖς ἠνδραγαθημένοις, τὸ δὲ λοιπὸν ἔσῃ μεθ' ἡμῶν· ἔχω γὰρ ἐγγυητήν· καὶ προαγαγὼν συνέστησεν αὐτῷ τὸ γύναιον.'

5. *Ταραντίνους δὲ κατέχοντα φρουρᾷ τὸν Ἀννίβαν πλὴν τῆς ἀκροπόλεως ἀπαγαγὼν πορρωτάτω δι' ἀπάτης καὶ τὴν πόλιν ἑλὼν καὶ διαρπάσας, τοῦ γραμματέως ἐπερωτήσαντος τί περὶ τῶν ἱερῶν ἔγνωκεν ἀγαλμάτων, 'ἀπολίπωμεν' ἔφη 'Ταραντίνοις τοὺς θεοὺς κεχολωμένους.'*

6. *Μάρκου δὲ Λιβίου τοῦ τὴν ἀκρόπολιν φρουροῦντος δι' ἑαυτὸν ἑαλωκέναι τὴν πόλιν λέγοντος,*
196 *οἱ μὲν ἄλλοι κατεγέλων, ὁ δὲ Φάβιος εἶπεν 'ἀληθῆ λέγεις· εἰ γὰρ μὴ σὺ τὴν πόλιν ἀπέβαλες, οὐκ ἂν ἐγὼ ἀνέλαβον.'*

7. *Ἤδη δὲ πρεσβύτερος ὤν, ὑπατεύοντος τοῦ υἱοῦ καὶ χρηματίζοντος ἐν δημοσίῳ πολλῶν παρόντων, ἀναβὰς ἐφ' ἵππον προσήει· πέμψαντος δὲ τοῦ νεανίσκου ῥαβδοῦχον καὶ καταβῆναι κελεύσαντος, οἱ μὲν ἄλλοι διετράπησαν, αὐτὸς δὲ ὁ Φάβιος ἀποπηδήσας τοῦ ἵππου προσέδραμε παρ' ἡλικίαν καὶ περιβαλὼν τὸν υἱόν 'εὖγε' εἶπεν 'ὦ παῖ' φρονεῖς, αἰσθόμενος τίνων ἄρχεις καὶ πηλίκης ἀρχῆς μέγεθος παρείληφας.'*

B ΣΚΙΠΙΩΝΟΣ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ.

1. *Σκιπίων δὲ ὁ πρεσβύτερος τὴν σχολὴν τὴν*

18 *ἵππον* *: *ἵππου* *προσήει* W: *προήει* 25 *τὴν σχολὴν τὴν* *: *τὴν*

ἀπὸ τῶν στρατειῶν καὶ τῆς πολιτείας ἐν γράμμασι διατριβὴν ποιούμενος, ἔλεγεν ‘ὁπότε σχολάζοι, πλείονα πράττειν.’

2. Ἐπεὶ δὲ Καρχηδόνα κατὰ κράτος εἷλε καὶ τῶν στρατιωτῶν τινες αἰχμάλωτον λαβόντες εὐπρεπῆ παρθένον ἧκον κομίζοντες, αὐτῷ δὲ ἐδίδοσαν, ‘ἡδέως ἄν’ ἔφη ‘ἔλαβον, εἴπερ ἦν ἰδιώτης καὶ μὴ ἄρχων.’

3. Πολιορκῶν δὲ πόλιν Βαθεῖαν, ἧς ὑπερεφαίνετο ναὸς Ἀφροδίτης, ἐκέλευσεν ‘ἐκεῖ τὰς ἐγγύας ὁμολογεῖν, ὡς εἰς τρίτην ἐν τῷ ἱερῷ τῆς Ἀφροδίτης ἀκουσόμενος τῶν διαδικούντων·’ καὶ τοῦτ’ ἐποίησεν, C ὡς προεῖπε, τῆς πόλεως ἁλούσης.

4. Πυνθανομένου δέ τινος ἐν Σικελίᾳ τίνι πεποιθὼς ἐπὶ Καρχηδόνα μέλλει τὸν στόλον περαιοῦν, δείξας αὐτῷ ἐνόπλους ἄνδρας τριακοσίους γυμναζομένους καὶ πύργον ὑψηλὸν ὑπὲρ θαλάττης ‘οὐδείς’ ἔφη ‘τούτων ἐστίν, ὅστις ἐπὶ τὸν πύργον ἀναβὰς τοῦτον οὐκ ἂν ἑαυτὸν ῥίψειεν ἐπὶ κεφαλήν, ἐμοῦ κελεύσαντος.’

5. Ἐπεὶ δὲ διαβὰς τῆς τε γῆς ἐκράτει καὶ τὰ στρατόπεδα τῶν πολεμίων κατέκαυσεν, οἱ Καρχηδόνιοι πέμψαντες ἐποιοῦντο συνθήκας, τά τε θηρία καὶ τὰς ναῦς καὶ τὰ χρήματα δώσειν ὁμολογήσαντες· D Ἀννίβου δὲ καταπλεύσαντος ἐξ Ἰταλίας, μετεμέλοντο ταῖς ὁμολογίαις διὰ τὸ θαρρεῖν· πυθόμενος δὲ ὁ Σκιπίων ἔφη ‘μηδὲ βουλομένοις αὐτοῖς ἔτι τὰς σπονδὰς φυλάξειν, ἂν μὴ τάλαντα πεντακισχίλια προσεκτίσωσιν, ὅτι μετεπέμψαντο τὸν Ἀννίβαν.’

6. Ἐπεὶ δὲ νικηθέντες οἱ Καρχηδόνιοι κατὰ κρά-

τος περὶ σπονδῶν καὶ εἰρήνης πρέσβεις ἀπέστειλαν πρὸς αὐτόν, ἐκέλευσεν εὐθὺς ἀπιέναι τοὺς ἥκοντας, ὡς οὐκ ἀκουσόμενος πρότερον αὐτῶν ἢ Λεύκιον Τερέντιον ἀγάγωσιν· ἦν δὲ Ῥωμαῖος ὁ Τερέντιος, ἐπιεικὴς ἀνήρ, γεγονὼς αἰχμάλωτος ὑπὸ Καρχηδο- E νίων· ἐπεὶ δὲ ἧκον ἄγοντες τὸν ἄνδρα, καθίσας ἐν τῷ συμβουλίῳ παρ᾽ αὐτὸν ἐπὶ τοῦ βήματος, οὕτως ἐχρημάτισε τοῖς Καρχηδονίοις καὶ κατέλυσε τὸν πόλεμον.

7. Ὁ δὲ Τερέντιος ἐπηκολούθησεν αὐτῷ θριαμβεύοντι πιλίον ἔχων ὥσπερ ἀπελεύθερος· ἀποθανόντος δὲ τοῖς ἐπὶ τὴν ἐκφορὰν παραγινομένοις ἐνέχει πίνειν οἰνόμελι καὶ τὰ ἄλλα περὶ τὴν ταφὴν ἐφιλοτιμήθη. ταῦτα μὲν οὖν ὕστερον.

8. Ἀντιόχου δὲ τοῦ βασιλέως μετὰ τὸ διαβῆναι Ῥωμαίους ἐπ᾽ αὐτὸν εἰς Ἀσίαν πέμψαντος πρὸς τὸν F Σκιπίωνα περὶ διαλύσεως, 'ἔδει πρότερον' εἶπεν 'ἀλλὰ μὴ νῦν, ὁπότε καὶ τὸν χαλινὸν καὶ τὸν ἀναβάτην προσδέδεξαι.'

9. Χρήματα δὲ τῆς συγκλήτου λαβεῖν αὐτὸν ἐκ τοῦ ταμιείου ψηφισαμένης, τῶν δὲ ταμιῶν οὐ βουλομένων ἀνοῖξαι τῆς ἡμέρας ἐκείνης, 'αὐτὸς ἀνοίξειν' ἔφη· 'καὶ γὰρ κλείεσθαι δι᾽ αὐτὸν πλήσαντα χρημάτων τοσούτων τὸ ταμιεῖον.'

10. Πετιλλίου δὲ καὶ Κοΐντου πολλὰ πρὸς τὸν δῆμον αὐτοῦ κατηγορησάντων, εἰπὼν ὅτι 'τῇ σήμερον ἡμέρᾳ Καρχηδονίους καὶ Ἀννίβαν ἐνίκησεν', αὐτὸς μέν' ἔφη 'στεφανωσάμενος ἀναβαίνειν εἰς τὸ Καπε-

21 ταμιείου*: ταμείου   25 Πετιλλίου W: παιτιλίου

τώλιον θύσων, τὸν δὲ βουλόμενον τὴν ψῆφον ἐκέλευσε φέρειν περὶ αὐτοῦ·’ καὶ ταῦτα εἰπὼν ἀνέβαινεν, 197 ὁ δὲ δῆμος ἐπηκολούθησε τοὺς κατηγόρους ἀπολιπὼν λέγοντας.

ΤΙΤΟΥ ΚΟΙΝΤΙΟΥ.

1. Τίτος Κοΐντιος οὕτως ἦν εὐθὺς ἐξ ἀρχῆς ἐπιφανής, ὥστε πρὸ δημαρχίας καὶ στρατηγίας καὶ ἀγορανομίας ὕπατος αἱρεθῆναι. πεμφθεὶς δὲ στρατηγὸς ἐπὶ Φίλιππον εἰς λόγους ἐπείσθη συνελθεῖν αὐτῷ· τοῦ δὲ Φιλίππου λαβεῖν ὁμήρους ἀξιοῦντος, ἐκεῖνον μὲν γὰρ εἶναι μετὰ πολλῶν Ῥωμαίων, ἑαυτὸν δὲ μόνον Μακεδόσι· ‘σὺ γὰρ μόνον’ ὁ Κοΐντιος ἔφη ‘ἑαυτὸν ἐποίησας ἀποκτείνας τοὺς φίλους καὶ συγγενεῖς.’

2. Νικήσας δὲ μάχῃ τὸν Φίλιππον ἐκήρυξεν ἐν B Ἰσθμίοις, ὅτι τοὺς Ἕλληνας ἐλευθέρους καὶ αὐτονόμους ἀφίησιν. ὅσοι δὲ Ῥωμαίων αἰχμάλωτοι γενόμενοι ἐν τοῖς κατ’ Ἀννίβαν χρόνοις ἐδούλευον παρὰ τοῖς Ἕλλησι, τούτων ἕκαστον οἱ Ἕλληνες ἐξωνησάμενοι δραχμῶν πεντακοσίων δωρεὰν ἔδωκαν αὐτῷ, κἀκεῖνοι θριαμβεύοντι συνηκολούθησαν ἐν Ῥώμῃ πιλία περὶ ταῖς κεφαλαῖς ἔχοντες, ὥσπερ ἔθος ἐστὶ τοῖς ἐλευθερωθεῖσι.

3. Τοὺς δ’ Ἀχαιοὺς ἐπὶ τὴν Ζακυνθίων νῆσον διανοουμένους στρατεύειν ἐκέλευε φυλάττεσθαι, μὴ καθάπερ αἱ χελῶναι τὴν κεφαλὴν προτείναντες ἔξω C τῆς Πελοποννήσου κινδυνεύσωσιν.

5 *Κοΐντιος* W: *κουΐντιος* 11 *Κοΐντιος* idem: *κόϊντος*

4. Ἀντιόχου δὲ τοῦ βασιλέως μετὰ πολλῆς δυνάμεως ἥκοντος εἰς τὴν Ἑλλάδα καὶ πάντων ἐκπεπληγμένων τὰ πλήθη καὶ τοὺς ὁπλισμούς, λόγον εἶπε τοιοῦτον πρὸς τοὺς Ἀχαιούς· ἔφη γὰρ ἐν Χαλκίδι παρὰ τῷ ξένῳ δειπνῶν θαυμάζειν τὸ τῶν κρεῶν πλῆθος· εἰπεῖν δὲ τὸν ξένον ὅτι ταῦτα πάντα χοίρειά ἐστιν ἡδύσμασι καὶ σκευασίαις διαφέροντα. 'μὴ τοίνυν μηδὲ ὑμεῖς' ἔφη 'θαυμάζετε τὴν βασιλικὴν δύναμιν, λογχοφόρους καὶ καταφράκτους καὶ πεζεταίρους καὶ D ἀμφιπποτοξότας ἀκούοντες· πάντες γάρ εἰσιν οὗτοι Σύροι ὁπλαρίοις ἀλλήλων διαφέροντες.'

5. Φιλοποίμενι δὲ τῷ στρατηγῷ τῶν Ἀχαιῶν ἱππεῖς μὲν πολλοὺς καὶ ὁπλίτας ἔχοντι, χρημάτων δὲ οὐκ εὐποροῦντι, προσπαίζων ἔλεγεν ὅτι 'χεῖρας ἔχει Φιλοποίμην καὶ σκέλη, γαστέρα δὲ οὐκ ἔχει.' καὶ γὰρ τῇ φύσει τοῦ σώματος ἦν καὶ ὁ Φιλοποίμην τοιοῦτος.

ΓΝΑΙΟΥ ΔΟΜΙΤΙΟΥ.

Γνάιος Δομίτιος, ὃν Σκιπίων ὁ μέγας ἀνθ' ἑαυτοῦ τῷ ἀδελφῷ Λευκίῳ παρακατέστησεν ἐν τῷ πρὸς Ἀντίοχον πολέμῳ, κατασκεψάμενος τὴν τῶν πολεμίων E φάλαγγα, καὶ τῶν περὶ αὐτὸν ἡγεμονικῶν εὐθὺς ἐπιχειρεῖν κελευόντων, ἔφη 'τὴν ὥραν οὐκ ἐπαρκεῖν, ἵνα τοσαύτας μυριάδας κατακόψαντες καὶ διαρπάσαντες τὴν ἀποσκευὴν ἐπανελθόντες εἰς τὸ στρατόπεδον ἑαυτῶν ἐπιμεληθῶσι, τὸ δὲ αὐτὸ ποιήσειν

9 καὶ] prius om. mei codd. 18 Γνάιος M: γάϊος

αὔριον καθ' ὥραν.' καὶ συμβαλὼν τῇ ὑστεραίᾳ πεντακισμυρίους τῶν πολεμίων ἀνεῖλεν.

ΠΟΠΛΙΟΥ ΛΙΚΙΝΙΟΥ.

Πόπλιος Λικίνιος ὕπατος στρατηγός, ἡττηθεὶς ὑπὸ Περσέως τοῦ Μακεδόνων βασιλέως ἱππομαχίᾳ, δισχιλίους ὀκτακοσίους ἀπέβαλε, τοὺς μὲν πεσόντας τοὺς F *δὲ ἁλόντας· ἐπεὶ δὲ μετὰ τὴν μάχην ἔπεμψεν ὁ Περσεὺς πρέσβεις περὶ σπονδῶν καὶ εἰρήνης, ἐκέλευεν ὁ νενικημένος τὸν νενικηκότα Ῥωμαίοις ἐπιτρέπειν τὰ καθ' αὑτόν.*

ΠΑΥΛΟΥ ΑΙΜΙΛΙΟΥ.

1. *Παῦλος Αἰμίλιος δευτέραν ὑπατείαν μετελθὼν ἀπέτυχεν· ἐπεὶ δὲ τοῦ πρὸς Περσέα καὶ Μακεδόνας πολέμου μῆκος λαμβάνοντος ἀπειρίᾳ καὶ μαλακίᾳ τῶν στρατηγῶν, ἐκεῖνον ὕπατον ἀπέδειξαν, 'οὐκ ἔφη χάριν ἔχειν αὐτοῖς· οὐ γὰρ αὐτὸς ἀρχῆς δεόμενος, ὡς ἐκείνων ἄρχοντος, ᾑρῆσθαι στρατηγός.'*

2. *Ἐλθὼν δὲ εἰς οἶκον ἐξ ἀγορᾶς καὶ τὴν Τερτίαν τὸ θυγάτριον εὑρὼν δεδακρυμένον ἐπυνθάνετο τὴν αἰτίαν· εἰπούσης δὲ ὅτι Περσεὺς τέθνηκεν ἡμῖν* 198 *(κυνίδιον δ' ἦν οὕτως ὀνομαζόμενον), 'ἀγαθῇ τύχῃ' εἶπεν 'ὦ θύγατερ καὶ δέχομαι τὸν οἰωνόν.'*

3. *Εὑρὼν δὲ ἐπὶ στρατοπέδου πολλὴν θρασύτητα καὶ λαλιὰν παραστρατηγούντων καὶ πολυπραγμονούντων ἐκέλευσεν ἡσυχίαν ἔχειν καὶ ποιεῖν ὀξείας τὰς μαχαίρας μόνον, αὐτῷ δὲ τῶν ἄλλων μελήσειν.*

4. *Τὰς δὲ νυκτερινὰς φυλακὰς ἐκέλευσεν φυλάσ-*

σειν ἄνευ λόγχης καὶ ξίφους, ὅπως ἀμύνασθαι τοὺς πολεμίους ἀπεγνωκότες μᾶλλον καὶ διαμαχοῦνται πρὸς τὸν ὕπνον.

5. Ἐμβαλὼν δὲ διὰ τῶν ἄκρων εἰς Μακεδονίαν καὶ συντεταγμένους ἰδὼν τοὺς πολεμίους, τοῦ Νασικᾶ B παρακαλοῦντος αὐτὸν εὐθὺς ἐπιχειρεῖν ‘εἴγε τὴν σήν’ εἶπεν ‘ἡλικίαν εἶχον, αἱ δὲ πολλαί με πεῖραι κωλύουσιν ἐκ πορείας πρὸς φάλαγγα συντεταγμένην μάχεσθαι.’

6. Νικήσας δὲ τὸν Περσέα καὶ τὰς ἐπινικίους ποιούμενος ἑστιάσεις ἔλεγε ‘τῆς αὐτῆς ἐμπειρίας εἶναι στράτευμα φοβερώτατον πολεμίοις καὶ συμπόσιον ἥδιστον φίλοις παρασχεῖν.’

7. Τοῦ δὲ Περσέως αἰχμαλώτου γενομένου καὶ παρακρουομένου τὸν θρίαμβον ‘ἐπὶ σοί’ εἶπε ‘τοῦτ’ ἐστίν,’ ἐξουσίαν διδοὺς αὐτῷ ἑαυτὸν ἀνελεῖν.

8. Χρημάτων δὲ ἀπείρων εὑρεθέντων, αὐτὸς μὲν C οὐκ ἔλαβε, τῷ δὲ γαμβρῷ Τουβέρωνι φιάλην ἀργυρᾶν ὁλκῆς πέντε λιτρῶν ἀριστεῖον ἔδωκε. καὶ τοῦτό φασι πρῶτον εἰς τὸν Αἰλίων οἶκον εἰσελθεῖν κειμήλιον ἀργυροῦν.

9. Τεσσάρων δὲ παίδων ἀρρένων αὐτῷ γεγονότων, δύο μὲν πρότερον ἐτύγχανεν ἐκδεδωκὼς ἑτέροις θέσθαι· δυεῖν δὲ ὄντων ἐπὶ τῆς οἰκίας ὁ μὲν ἡμέραις πέντε πρὸ τοῦ θριάμβου, τεσσαρεσκαίδεκα γεγονὼς ἔτη, ἀπέθανεν, ὁ δὲ ὕστερον πέντε τοῦ θριάμβου, δωδεκαέτης. προελθὼν δέ, τοῦ δήμου συναλγοῦντος αὐτῷ καὶ συμπενθοῦντος, ‘νῦν’ ἔφη

20 Αἰλίων *: αἰμιλίων 25 malim τεσσαρακαίδεκα

'περὶ τῆς πατρίδος ἀδεὴς γεγονέναι καὶ ἀκίνδυνος, ὁπότε τῶν εὐτυχημάτων τὴν νέμεσιν εἰς τὸν οἶκον ἀπερεισαμένης τῆς τύχης ὑπὲρ πάντων αὐτὸς ἀναδέδεκται.' D

ΚΑΤΩΝΟΣ ΤΟΥ ΠΡΕΣΒΥΤΕΡΟΥ.

1. Κάτων ὁ πρεσβύτερος ἐν τῷ δήμῳ τῆς ἀσωτίας καὶ πολυτελείας καθαπτόμενος εἶπεν 'ὡς χαλεπόν ἐστι λέγειν πρὸς γαστέρα ὦτα μὴ ἔχουσαν.'

2. 'Θαυμάζειν δὲ πῶς σῴζεται πόλις, ἐν ᾗ πωλεῖται πλείονος ἰχθὺς ἢ βοῦς.'

3. Λοιδορῶν δέ ποτε τὴν ἐπιπολάζουσαν γυναικοκρατίαν 'πάντες' εἶπεν 'ἄνθρωποι τῶν γυναικῶν ἄρχουσιν, ἡμεῖς δὲ πάντων ἀνθρώπων, ἡμῶν δὲ αἱ γυναῖκες.'

4. Ἔφη δὲ 'βούλεσθαι μᾶλλον εὐεργετήσας μὴ E κομίσασθαι χάριν ἢ μὴ ὑποσχεῖν κόλασιν ἀδικήσας, καὶ πᾶσιν ἀεὶ τοῖς ἁμαρτάνουσι χωρὶς ἑαυτοῦ δοῦναι συγγνώμην.'

5. Παρορμῶν δὲ τοὺς ἄρχοντας ἐπιτιμᾶν τοῖς ἁμαρτάνουσιν ἔλεγε 'τοὺς δυναμένους κωλύειν τοὺς κακῶς ποιοῦντας, ἐὰν μὴ κωλύωσι, κελεύειν.'

6. 'Τῶν δὲ νέων' ἔφη 'χαίρειν τοῖς ἐρυθριῶσι μᾶλλον ἢ τοῖς ὠχριῶσι.'

7. 'Στρατιώτην δὲ μισεῖν, ὃς ἐν τῷ περιπατεῖν τὰς χεῖρας, ἐν δὲ τῷ μάχεσθαι τοὺς πόδας κινεῖ, ῥέγχει δὲ μεῖζον ἢ ἀλαλάζει.'

8. 'Κάκιστον δέ' ἔλεγεν 'ἄρχοντα εἶναι τὸν ἄρχειν ἑαυτοῦ μὴ δυνάμενον.' F

9. *Μάλιστα δὲ ἐνόμιζε δεῖν ἕκαστον ἑαυτὸν αἰδεῖσθαι· ‘μηδένα γὰρ ἑαυτοῦ μηδέποτε χωρὶς εἶναι.’*

10. *Πολλῶν δὲ ὁρῶν ἀνισταμένους ἀνδριάντας ‘ἐμοῦ δέ’ ἔφη ‘ἐρωτᾶν βούλομαι μᾶλλον τοὺς ἀνθρώπους, διὰ τί ἀνδριὰς οὐ κεῖται Κάτωνος ἢ διὰ τί κεῖται.’*

11. *Φείδεσθαι δὲ τῆς ἐξουσίας παρεκάλει τοὺς δυναμένους, ὅπως ἀεὶ παραμένοι τὸ ἐξεῖναι.*

12. *‘Τοὺς δὲ τῆς ἀρετῆς τὴν τιμὴν ἀφαιροῦντας’ ἔλεγε ‘τὴν ἀρετὴν ἀφαιρεῖν τῆς νεότητος.’*

13. *‘Τὸν δὲ ἄρχοντα ἢ κριτήν’ ἔλεγε ‘δεῖν μήτε ὑπὲρ τῶν δικαίων λιπαρεῖσθαι μήτε ὑπὲρ τῶν ἀδίκων ἐκλιπαρεῖσθαι.’*

199 14. *‘Τὴν δὲ ἀδικίαν’ ἔλεγε ‘τοῖς ἀδικοῦσι κἂν μὴ φέρῃ κίνδυνον, ἅπασι φέρειν.’*

15. *Τῷ δὲ γήρᾳ πολλῶν αἰσχρῶν παρόντων ἠξίου μὴ προστιθέναι τὴν ἀπὸ τῆς κακίας αἰσχύνην.*

16. *Τὸν δὲ ὀργιζόμενον ἐνόμιζε τοῦ μαινομένου χρόνῳ διαφέρειν.*

17. *‘Ἥκιστα δὲ φθονεῖσθαι τοὺς τῇ τύχῃ χρωμένους ἐπιεικῶς καὶ μετρίως· οὐ γὰρ ἡμῖν ἀλλὰ τοῖς περὶ ἡμᾶς φθονοῦσι.’*

18. *‘Τοὺς δὲ σπουδάζοντας ἐν τοῖς γελοίοις’ ἔλεγεν ‘ἐν τοῖς σπουδαίοις ἔσεσθαι καταγελάστους.’*

19. *‘Τὰς καλὰς πράξεις’ ἔλεγε ‘δεῖν καταλαμβάνειν πράξεσι καλαῖς, ἵνα μὴ τῆς δόξης ἀπορρέωσιν.’*

20. *Ἐπετίμα δὲ τοῖς πολίταις ἀεὶ τοὺς αὐτοὺς*
B *αἱρουμένοις ἄρχοντας· ‘δόξετε γάρ’ εἰπεῖν ‘μὴ πολ-*

λοῦ τὸ ἄρχειν ἄξιον ἢ μὴ πολλοὺς τοῦ ἄρχειν ἀξίους ἡγεῖσθαι.'

21. Τὸν δὲ τοὺς παραλίους ἀγροὺς πεπρακότα προσεποιεῖτο θαυμάζειν ὡς ἰσχυρότερον τῆς θαλάσσης· 'ἃ γὰρ ἐκείνη μόλις ἐπικλύζει, οὗτος ῥᾳδίως καταπέπωκε.'

22. Τιμητείαν δὲ μετιὼν καὶ τοὺς ἄλλους ὁρῶν δεομένους τῶν πολλῶν καὶ κολακεύοντας, αὐτὸς ἐβόα 'τὸν δῆμον ἀποτόμου χρείαν ἔχειν ἰατροῦ καὶ μεγάλου καθαρμοῦ· δεῖν οὖν μὴ τὸν ἥδιστον, ἀλλὰ τὸν ἀπαραίτητον αἱρεῖσθαι.' καὶ ταῦτα λέγων ᾑρέθη πρὸ πάντων.

23. Διδάσκων δὲ τοὺς νέους εὐθαρσῶς μάχεσθαι πολλάκις ἔλεγε 'τοῦ ξίφους τὸν λόγον μᾶλλον καὶ C τὴν φωνὴν τῆς χειρὸς τρέπειν καὶ καταπλήττειν τοὺς πολεμίους.'

24. Ἐπεὶ δὲ πολεμῶν τοῖς περὶ τὸν Βαῖτιν ποταμὸν οἰκοῦσιν εἰς κίνδυνον ὑπὸ πλήθους τῶν πολεμίων κατέστη, τῶν μὲν Κελτιβήρων ἐπὶ διακοσίοις ταλάντοις βουλομένων βοηθεῖν, τῶν δὲ Ῥωμαίων οὐκ ἐώντων ὁμολογεῖν μισθὸν ἀνθρώποις βαρβάροις, 'ἁμαρτάνειν' ἔφησεν 'αὐτούς· νικῶντας μὲν γὰρ ἀποδώσειν οὐ παρ' αὐτῶν ἀλλὰ παρὰ τῶν πολεμίων· ἡττωμένων δέ, μήτε τοὺς ἀπῃτημένους μήτε τοὺς ἀπαιτοῦντας ἔσεσθαι.'

25. Πλείονας δὲ πόλεις ἑλών, ὥς φησι, τῶν D ἡμερῶν ἃς διέτριψεν ἐν τοῖς πολεμίοις, οὐδὲν

23 αὑτῶν *: αὐτῶν 24 malim ἀπαιτουμένους, quod est in Vit. Cat. c. 10

αὐτὸς πλέον λαβεῖν ὧν ἔφαγε καὶ ἔπιεν ἐκ τῆς πολεμίας.

26. *Τῶν δὲ στρατιωτῶν ἑκάστῳ λίτραν ἀργύρου διανείμας φησί ʽβέλτιον εἶναι πολλοὺς ἔχοντας ἀργύριον ἢ ὀλίγους χρυσίον ἀπὸ τῆς στρατείας ἐπανελθεῖν· τῶν γὰρ ἀρχόντων οὐδὲν ἄλλο δεῖν ἐν ταῖς ἐπαρχίαις ἢ τὴν δόξαν αὐξάνεσθαι.ʼ*

27. *Πέντε δὲ οἰκέτας εἶχεν ἐπὶ τῆς στρατείας, ὧν εἷς αἰχμάλωτα σώματα τρία πριάμενος, ὡς οὐκ ἔλαθε τὸν Κάτωνα, πρὶν εἰς ὄψιν ἐλθεῖν, ἀπήγξατο.*

E 28. *Παρακληθεὶς δὲ ὑπὸ Σκιπίωνος Ἀφρικανοῦ τοῖς Ἀχαιῶν συλλαβέσθαι φυγάσιν, ὅπως εἰς τὰς πατρίδας κατέλθωσιν, προσεποιεῖτο μηδὲν αὐτῷ μέλειν τοῦ πράγματος· ἐν δὲ τῇ συγκλήτῳ πολλῶν γινομένων λόγων ἀναστάς ʽὥσπερ οὐκ ἔχοντεςʼ εἶπεν ʽὃ πράττωμεν, καθήμεθα περὶ Γραικῶν γεροντίων ζητοῦντες πότερον ὑπὸ τῶν παρ᾽ ἡμῖν ἢ ὑπὸ τῶν ἐκεῖ νεκροφόρων ἐξενεχθῶσι.ʼ*

29. *Ποστουμίου δὲ Ἀλβίνου γράψαντος ἱστορίας Ἑλληνιστὶ καὶ συγγνώμην παρὰ τῶν ἀκροωμένων* F *αἰτοῦντος, εἰρωνευόμενος ὁ Κάτων ἔφη ʽδοτέον εἶναι συγγνώμην, εἰ τῶν Ἀμφικτυόνων ψηφισαμένων ἀναγκασθεὶς ἔγραψε.ʼ*

ΣΚΙΠΙΩΝΟΣ ΤΟΥ ΝΕΩΤΕΡΟΥ.

1. *Σκιπίωνα τὸν νεώτερον λέγουσιν ἔτεσι πεντήκοντα καὶ τέτταρσιν, οἷς ἐβίωσε, μηδὲν πρίασθαι μηδὲν ἀποδόσθαι μηδὲν οἰκοδομῆσαι, λίτρας δὲ*

1 *λαβεῖν*] *ἔλαβεν* W 19 *Ἀλβίνου* X: *λαβιήνου*

ἀργύρου τρεῖς καὶ τριάκοντα μόνας ἐν οὐσίᾳ μεγάλῃ δύο δὲ χρυσίου καταλιπεῖν· καὶ ταῦτα Καρχηδόνος κύριον ὄντα καὶ μάλιστα τῶν στρατηγῶν πλουτίσαντα τοὺς στρατιώτας.

2. Τὸ δὲ Πολυβίου παράγγελμα διαφυλάττων ἐπειρᾶτο μὴ πρότερον ἐξ ἀγορᾶς ἀπελθεῖν ἢ ποιήσασθαί τινα συνήθη καὶ φίλον ἁμωσγέπως τῶν ἐντυγχανόντων.

3. Ἔτι δὲ νέος ὢν τοσαύτην εἶχε δόξαν ἀνδρείας 200 καὶ συνέσεως, ὥστε Κάτωνα μὲν τὸν πρεσβύτερον εἰπεῖν ἐρωτηθέντα περὶ τῶν ἐν Καρχηδόνι στρατευομένων, ἐν οἷς καὶ Σκιπίων ἦν,

'οἶος πέπνυται, τοὶ δὲ σκιαὶ ἀίσσουσιν.'

4. Εἰς δὲ τὴν Ῥώμην ἐλθόντος ἀπὸ στρατείας, ἐκάλουν αὐτὸν οὐκ ἐκείνῳ χαριζόμενοι, ἀλλ' ὡς Καρχηδόνα δι' ἐκείνου ταχὺ καὶ ῥᾳδίως ληψόμενοι·

5. Ἐπεὶ δὲ παρελθὼν εἰς τὸ τεῖχος, τῶν Καρχηδονίων ἐκ τῆς ἄκρας ἀμυνομένων, μὴ σὺ τὴν διὰ μέσου θάλασσαν οὐ πάνυ βαθεῖαν οὖσαν τοῦ Πολυβίου συμβουλεύοντος αὐτῷ κατασπεῖραι τριβόλους σιδηροῦς ἢ σανίδας ἐμβαλεῖν κεντρωτάς, ὅπως μὴ B διαβαίνοντες οἱ πολέμιοι προσμάχωνται τοῖς χώμασιν· ἔφη 'γελοῖον εἶναι κατειληφότας τὰ τείχη καὶ τῆς πόλεως ἐντὸς ὄντας εἶτα πράττειν ὅπως οὐ μαχοῦνται τοῖς πολεμίοις.'

13 Hom. κ 495 14 ἀπὸ στρατείας] ἐπὶ ὑπατείαν W 18 μὴ σὺ] εἰς Duebnerus. Aliud latet 21 ἐμβαλεῖν *: ἐμβαλλεῖν

6. *Εὑρὼν δὲ τὴν πόλιν ἀνδριάντων Ἑλληνικῶν καὶ ἀναθημάτων ἀπὸ Σικελίας μεστὴν οὖσαν, ἐκήρυξε τοὺς ἀπὸ τῶν πόλεων παρόντας ἐπιγινώσκειν καὶ κομίζεσθαι.*

7. *Τῶν δὲ χρημάτων οὔτε δοῦλον οὔτε ἀπελεύθερον εἴα λαβεῖν οὐδένα, ἀλλ' οὐδὲ πρίασθαι πάντων ἀγόντων καὶ φερόντων.*

C 8. *Γαΐῳ δὲ Λαιλίῳ τῷ φιλτάτῳ τῶν ἑταίρων ὑπατείαν μετιόντι συμπράττων ἐπηρώτησε Πομπήιον εἰ καὶ αὐτὸς ὑπατείαν μέτεισιν· ἐδόκει δὲ ὁ Πομπήιος υἱὸς αὐλητοῦ γεγονέναι· τοῦ δὲ φήσαντος μὴ μετιέναι, ἀλλὰ καὶ τὸν Λαίλιον ἐπαγγελλόμενος συμπεριάξειν καὶ συναρχαιρεσιάσειν, πιστεύσαντες καὶ περιμένοντες ἐκείνῳ ἐξηπατήθησαν· ἀπηγγέλλετο γὰρ αὐτὸς ἐν ἀγορᾷ περιιὼν καὶ δεξιούμενος τοὺς πολίτας. ἀγανακτούντων δὲ τῶν ἄλλων, ὁ Σκιπίων γελάσας 'ἀβελτερίᾳ γε' εἶπεν 'ἡμῶν, καθάπερ οὐκ ἀνθρώπους μέλλοντες ἀλλὰ θεοὺς παρακαλεῖν, πάλαι διατρίβομεν αὐλητὴν ἀναμένοντες.'*

9. *Ἀππίου δὲ Κλαυδίου περὶ τῆς τιμητικῆς ἀρχῆς* D *ἁμιλλωμένου πρὸς αὐτὸν καὶ λέγοντος, ὅτι πάντας ὀνομαστὶ Ῥωμαίους αὐτὸς ἀσπάζεται, Σκιπίωνος ὀλίγου δεῖν ἀγνοοῦντος ἅπαντας, 'ἀληθῆ λέγεις' εἶπεν 'ἐμοὶ γὰρ οὐκ εἰδέναι πολλοὺς ἀλλ' ὑπὸ μηδενὸς ἀγνοεῖσθαι μεμέληκεν.'*

10. *Ἐκέλευε δὲ τοὺς πολίτας, ἐπειδὴ ἐτύγχανον*

14 *ἐκείνῳ*] *ἐκεῖνον* an transponendum post *πιστεύσαντες*? *ἀπηγγέλλετο*] *παρήγγελλε* Cobetus 17 *ἀβελτερίᾳ γε* W: *ἀβελτηρίᾳ δὲ*

πολεμοῦντες Κελτίβηρσιν, ἀμφοτέρους ἐπὶ τὴν στρατείαν ἐκπέμψαντας ἢ πρεσβευτὰς ἢ χιλιάρχους μάρτυρας λαμβάνειν καὶ κριτὰς τῆς ἑκάστου ἀρετῆς τοὺς πολεμοῦντας.

11. Ἀποδειχθεὶς δὲ τιμητὴς νεανίσκου μὲν ἀφείλετο τὸν ἵππον, ὅτι δειπνῶν πολυτελῶς, ἐν ᾧ χρόνῳ Καρχηδὼν ἐπολεμεῖτο, μελίπηκτον εἰς σχῆμα τῆς πόλεως διαπλάσας καὶ τοῦτο Καρχηδόνα προσειπὼν E
προύθηκε διαρπάσαι τοῖς παροῦσι· καὶ πυνθανομένου τοῦ νεανίσκου τὴν αἰτίαν δι' ἣν ἀφῄρηται τὸν ἵππον, 'ἐμοῦ γάρ' ἔφη 'πρότερος Καρχηδόνα διήρπασας.'

12. Γάιον δὲ Λικίνιον ἰδὼν παρερχόμενον 'οἶδα' ἔφη 'τοῦτον ἐπιωρκηκότα τὸν ἄνδρα· μηδενὸς δὲ κατηγοροῦντος, οὐ δύναμαι κατήγορος αὐτὸς εἶναι καὶ δικαστής.'

13. Ἐκπεμφθέντα δ' αὐτὸν ὑπὸ τῆς βουλῆς τρίτον, ὥς φησι Κλειτόμαχος,

ἀνθρώπων ὕβριν τε καὶ εὐνομίην ἐφορῶντα,

πόλεων ἐθνῶν βασιλέων ἐπίσκοπον, ὡς εἰς Ἀλεξάνδρειαν ἧκε καὶ τῆς νεὼς ἀποβὰς ἐβάδιζε κατὰ τῆς F
κεφαλῆς ἔχων τὸ ἱμάτιον, ἠξίουν ἀποκαλύψασθαι περιθέοντες οἱ Ἀλεξανδρεῖς καὶ δεῖξαι ποθοῦσιν αὐτοῖς τὸ πρόσωπον. τοῦ δὲ ἀποκαλυψαμένου, κραυγὴν καὶ κρότον ἐποίησαν. τοῦ δὲ βασιλέως μόλις ἁμιλλωμένου βαδίζουσιν αὐτοῖς δι' ἀργίαν καὶ τρυφὴν τοῦ σώματος, ὁ Σκιπίων ἀτρέμα πρὸς τὸν Παναίτιον ψιθυρίσας εἶπεν 'ἤδη τι τῆς ἐπιδημίας ἡμῶν **201**

18 Hom. π 487 ὕβριν p. 787a: πόλεων

'Ἀλεξανδρεῖς ἀπολελαύκασι· δι' ἡμᾶς γὰρ ἑωράκασι τὸν βασιλέα περιπατοῦντα.'

14. Συναπεδήμει δὲ αὐτῷ φίλος μὲν εἷς φιλόσοφος Παναίτιος, οἰκέται δὲ πέντε· καὶ τοῦ ἑνὸς ἀποθανόντος ἐπὶ τῆς ξένης, ἄλλον μὴ βουλόμενος πρίασθαι ἀπὸ τῆς Ῥώμης μετεπέμψατο.

15. Τῶν δὲ Νομαντίνων ἀμάχων εἶναι δοκούντων καὶ πολλοὺς νενικηκότων στρατηγούς, ὕπατον ἀπέδειξε Σκιπίωνα τὸ δεύτερον ὁ δῆμος ἐπὶ τὸν πόλεμον· ὡρμημένων δὲ πολλῶν ἐπὶ τὴν στρατείαν, καὶ τοῦτο διεκώλυσεν ἡ σύγκλητος, ὡς ἐρήμου τῆς Ἰταλίας ἐσομένης. καὶ χρήματα λαβεῖν τῶν ἑτοίμων B οὐκ εἴασαν, ἀλλὰ τὰς τελωνικὰς προσόδους ἀπέταξαν οὔπω χρόνον ἐχούσας. ὁ δὲ Σκιπίων χρημάτων μὲν οὐκ ἔφη δεῖσθαι, τὰ γὰρ ἑαυτοῦ καὶ τῶν φίλων ἐξαρκέσειν· περὶ δὲ τῶν στρατιωτῶν ἐμέμψατο, 'χαλεπὸν γὰρ εἶναι τὸν πόλεμον, εἰ μὲν δι' ἀνδρείαν τῶν πολεμίων ἥττηνται τοσαυτάκις, ὅτι πρὸς τοιούτους, εἰ δὲ δι' ἀνανδρίαν τῶν πολιτῶν, ὅτι μετὰ τοιούτων.'

16. Ἐπεὶ δὲ ἐλθὼν εἰς τὸ στρατόπεδον πολλὴν ἀταξίαν καὶ ἀκολασίαν καὶ δεισιδαιμονίαν καὶ τρυφὴν κατέλαβε, μάντεις μὲν εὐθὺς ἐξήλασε καὶ θύτας καὶ πορνοβοσκούς, σκεύη δὲ προσέταξεν ἀποπέμπειν C ἅπαντα πλὴν χύτρας ὀβελίσκου καὶ ποτηρίου κεραμεοῦ· τῶν δὲ ἀργυρέων ἔκπωμα οὐ μεῖζον δύο λιτρῶν συνεχώρησε τοῖς βουλομένοις ἔχειν· λούεσθαι δὲ ἀπεῖπε, τῶν δὲ ἀλειφομένων τρίβειν ἕκαστον

4 τοῦ ἑνὸς] τούτων ἑνὸς W

ἑαυτόν· τὰ γὰρ ὑποζύγια χεῖρας μὴ ἔχοντα ἑτέρου τρίψοντος δεῖσθαι· προσέταξε δὲ ἀριστᾶν μὲν ἑστῶτας ἄπυρον ὄψον, δειπνεῖν δὲ κατακειμένους ἄρτον ἢ πολτὸν ἁπλῶς καὶ κρέας ὀπτὸν ἢ ἑφθόν· αὐτὸς δὲ σάγον ἐμπεπορπημένος μέλανα περιῄει, πενθεῖν τὴν τοῦ στρατεύματος αἰσχύνην λέγων.

17. Μεμμίου δέ τινος χιλιάρχου λαβὼν ὑποζύγια, ψυκτῆρας διαλίθους παρακομίζοντα καὶ Θηρι- D κλείους, 'ἐμοὶ μέν' εἶπεν 'ἡμέρας τριάκοντα καὶ τῇ πατρίδι, σαυτῷ δὲ τὸν βίον ἅπαντα τοιοῦτος ὢν ἄχρηστον πεποίηκας σεαυτόν.'

18. Ἑτέρου δὲ θυρεὸν ἐπιδείξαντος εὖ κεκοσμημένον 'ὁ μὲν θυρεός' εἶπεν 'ὦ νεανία καλός, πρέπει δὲ Ῥωμαῖον ἄνδρα μᾶλλον ἐν τῇ δεξιᾷ τὰς ἐλπίδας ἔχειν ἢ τῇ ἀριστερᾷ.'

19. Τοῦ δὲ τὸν χάρακα ἄραντος σφόδρα πιέζεσθαι φάσκοντος 'εἰκότως' ἔφη· 'τῷ γὰρ ξύλῳ τούτῳ μᾶλλον ἢ τῇ μαχαίρᾳ πιστεύεις.'

20. Ὁρῶν δὲ τὴν ἀπόνοιαν τῶν πολεμίων ἔλεγεν 'ὠνεῖσθαι τοῦ χρόνου τὴν ἀσφάλειαν· τὸν γὰρ ἀγαθὸν στρατηγὸν ὥσπερ ἰατρὸν ἐσχάτης δεῖσθαι τῆς διὰ τοῦ σιδήρου θεραπείας.' οὐ μὴν ἀλλ' ἐπιθέμενος E ἐν καιρῷ τοὺς Νομαντίνους ἐτρέψατο.

21. Τῶν δὲ πρεσβυτέρων τοὺς ἡττημένους κακιζόντων, τί πεφεύγασιν οὓς τοσαυτάκις ἐδίωξαν, εἰπεῖν τινα λέγεται τῶν Νομαντίνων 'ὡς τὰ πρόβατα ταὐτὰ καὶ νῦν ἐστιν, ὁ δὲ ποιμὴν ἄλλος.'

4 πολτὸν] malim πόλτον 9 τριάκοντα] δὶς τριάκοντα vel ἑξήκοντα Cobetus 25 τί] ὅ τι?

22. Ἐπεὶ δὲ τὴν Νομαντίαν ἑλὼν καὶ θριαμβεύσας τὸ δεύτερον πρὸς Γάιον Γράκχον ὑπέρ τε τῆς βουλῆς καὶ τῶν συμμάχων κατέστη διαφορά, καὶ λυπούμενος ὁ δῆμος ἐθορύβησεν αὐτὸν ἐπὶ τοῦ βή-
F ματος, 'ἐμέ' εἶπεν 'οὐδέποτε στρατοπέδων ἀλαλαγμὸς ἐθορύβησεν, οὔτι γε συγκλύδων ἀνθρώπων, ὧν οὐ μητέρα τὴν Ἰταλίαν ἀλλὰ μητρυιὰν οὖσαν ἐπίσταμαι.'

23. Τῶν δὲ περὶ τὸν Γάιον βοώντων κτεῖναι τὸν τύραννον 'εἰκότως' εἶπεν 'οἱ τῇ πατρίδι πολεμοῦντες ἐμὲ βούλονται προανελεῖν· οὐ γὰρ οἷόν τε τὴν Ῥώμην πεσεῖν Σκιπίωνος ἑστῶτος οὐδὲ ζῆν Σκιπίωνα τῆς Ῥώμης πεσούσης.'

ΚΑΙΚΙΛΙΟΥ ΜΕΤΕΛΛΟΥ.

1. Καικίλιος Μέτελλος ὀχυρῷ χωρίῳ βουλευόμενος προσαγαγεῖν, εἰπόντος ἑκατοντάρχου πρὸς αὐ-
202 τὸν ὡς, ἐὰν δέκα μόνους ἀποβάλῃ, λήψεται τὸ χωρίον, ἠρώτησεν αὐτόν 'εἰ βούλοιτο εἷς τῶν δέκα γενέσθαι.'

2. Τῶν δὲ νεωτέρων τινὸς χιλιάρχου πυνθανομένου τί μέλλει ποιεῖν, 'εἰ τοῦτο' ἔφη 'συνειδέναι μοι τὸν χιτωνίσκον ἐνόμιζον, ἀποδυσάμενος ἂν αὐτὸν ἐπὶ τὸ πῦρ ἐπέθηκα.'

3. Σκιπίωνι δὲ ζῶντι πολεμῶν, ἀποθανόντος ἠχθέσθη, καὶ τοὺς μὲν υἱοὺς ἐκέλευσεν ὑποδύντας ἄρασθαι τὸ λέχος, 'τοῖς δὲ θεοῖς' ἔφη 'χάριν ἔχειν

3 διαφορά] ἐν διαφορᾷ? 20 τοῦτο W: τοῦτον

ὑπὲρ τῆς Ῥώμης, ὅτι παρ᾽ ἄλλοις οὐκ ἐγένετο Σκιπίων.᾽

ΓΑΙΟΥ ΜΑΡΙΟΥ.

1. Γάιος Μάριος ἐκ γένους ἀδόξου προϊὼν εἰς πολιτείαν διὰ τῶν στρατειῶν, ἀγορανομίαν τὴν μείζονα B παρήγγειλεν· αἰσθόμενος δὲ ὅτι λείπεται τῆς αὐτῆς ἡμέρας ἐπὶ τὴν ἐλάττονα μετῆλθε· κἀκείνης ἀποτυχών, ὅμως οὐκ ἀπέγνω τοῦ πρωτεύσειν Ῥωμαίων.

2. Ἰξίας δὲ ἔχων ἐν ἀμφοτέροις τοῖς σκέλεσι παρέσχεν ἄδετος ἐκτεμεῖν τῷ ἰατρῷ, καὶ μὴ στενάξας μηδὲ τὰς ὀφρῦς συναγαγὼν ἐνεκαρτέρησε τῇ χειρουργίᾳ· τοῦ δὲ ἰατροῦ μεταβαίνοντος ἐπὶ θάτερον, οὐκ ἠθέλησεν εἰπὼν ᾽οὐκ εἶναι τὸ θεράπευμα τῆς ἀλγηδόνος ἄξιον.᾽

3. Ἐπεὶ δὲ Λούσιος ὁ ἀδελφιδοῦς, αὐτοῦ τὸ δεύτερον ὑπατεύοντος, ἐβιάζετο τῶν ἐν ὥρᾳ στρατευομένων τινὰ ὀνόματι Τρεβώνιον, ὁ δὲ ἀπέκτεινεν αὐτόν, καὶ πολλῶν κατηγορούντων οὐκ ἠρνήσατο κτεῖναι τὸν ἄρχοντα, τὴν δὲ αἰτίαν εἶπε καὶ ἀπέδειξε· C κελεύσας ὁ Μάριος τὸν ἐπὶ ταῖς ἀριστείαις διδόμενον στέφανον κομισθῆναι τῷ Τρεβωνίῳ περιέθηκε.

4. Τοῖς δὲ Τεύτοσι παραστρατοπεδεύσας ἐν χωρίῳ ὀλίγον ὕδωρ ἔχοντι, τῶν στρατιωτῶν διψῆν λεγόντων, δείξας αὐτοῖς ποταμὸν ἐγγὺς ῥέοντα τῷ χάρακι τῶν πολεμίων ᾽ἐκεῖθεν ὑμῖν ἔστιν᾽ εἶπε

20 ὁ *: οὖν ὁ

‘ποτὸν ὤνιον αἵματος.’ οἱ δὲ ἄγειν παρεκάλουν, ἕως ὑγρὸν ἔχωσι τὸ αἷμα καὶ μήπω πᾶν ὑπὸ τοῦ διψῆν ἐκπεπηγός.

5. Ἐν δὲ τοῖς Κιμβρικοῖς πολέμοις Καμαρίνων D χιλίους ἄνδρας ἀγαθοὺς γενομένους ὁμοῦ Ῥωμαίους ἐποίησε, κατ᾽ οὐδένα νόμον· πρὸς δὲ τοὺς ἐγκαλοῦντας ἔλεγε ‘τῶν νόμων οὐκ ἐξακοῦσαι διὰ τὸν τῶν ὅπλων ψόφον.’

6. Ἐν δὲ τῷ ἐμφυλίῳ πολέμῳ περιταφρευόμενος καὶ πολιορκούμενος ἐκαρτέρει, τὸν οἰκεῖον ἀναμένων καιρόν. εἰπόντος δὲ Πομπαιδίου Σίλωνος πρὸς αὐτόν ‘εἰ μέγας εἶ στρατηγός, ὦ Μάριε, καταβὰς διαγώνισαι’, ‘σὺ μὲν οὖν’ εἶπεν ‘εἰ μέγας εἶ στρατηγός, ἀνάγκασόν με διαγωνίσασθαι καὶ μὴ βουλόμενον.’

ΚΑΤΛΟΥ ΛΟΥΤΑΤΙΟΥ.

Κάτλος Λουτάτιος ἐν τῷ Κιμβρικῷ πολέμῳ παρὰ τὸν Ἀτίσωνα ποταμὸν στρατοπεδεύων, ἐπεὶ τοὺς E βαρβάρους ὁρῶντες οἱ Ῥωμαῖοι διαβαίνειν ἐπιχειροῦντας ἀνεχώρουν, μὴ δυνάμενος αὐτοὺς κατασχεῖν ὥρμησεν εἰς τοὺς πρώτους τῶν ἀποτρεχόντων, ὅπως δοκῶσι μὴ φεύγειν τοὺς πολεμίους, ἀλλὰ τῷ στρατηγῷ κατακολουθεῖν.

ΣΥΛΛΑ.

Σύλλας ὁ εὐτυχὴς ἀναγορευθεὶς τῶν μεγίστων εὐτυχιῶν ἐποιεῖτο δύο, τὴν Πίου Μετέλλου φιλίαν,

4 *Καμερίνων* Vit. Mar. c. 28 11 *Πομπαιδίου* W: *πομπίου* 23 *ΣΥΛΛΑ* *: *ΣΥΛΛΟΥ*

καὶ τὸ μὴ κατασκάψαι τὰς Ἀθήνας ἀλλὰ φείσασθαι τῆς πόλεως.

ΓΑΙΟΥ ΠΟΠΙΛΛΙΟΥ. F

Γάιος Ποπίλλιος ἐπέμφθη πρὸς Ἀντίοχον ἐπιστολὴν παρὰ τῆς συγκλήτου κομίζων, κελεύουσαν ἀπάγειν ἐξ Αἰγύπτου τὸ στράτευμα καὶ μὴ σφετερίζεσθαι τῶν Πτολεμαίου τέκνων ὀρφανῶν ὄντων τὴν βασιλείαν· προσιόντα δ' αὐτὸν διὰ τοῦ στρατοπέδου πόρρωθεν ἀσπασαμένου τοῦ Ἀντιόχου φιλοφρόνως, οὐκ ἀντασπασάμενος τὸ γραμματεῖον ἐπέδωκεν· ἐπεὶ δὲ ἀναγνοὺς ἔφη βουλεύσεσθαι καὶ δώσειν τὴν ἀπόκρισιν, τῷ κλήματι γῦρον περὶ αὐτὸν ὁ Ποπίλλιος περιέγραψεν εἰπών 'ἐνταῦθα τοίνυν ἑστὼς βούλευσαι καὶ ἀπόκριναι.' πάντων δὲ τὸ φρόνημα τοῦ ἀνδρὸς καταπλαγέντων τοῦ τε Ἀντιόχου ποιήσειν ὁμολογοῦντος τὰ δοκοῦντα Ῥωμαίοις, οὕτως ἠσπά- 203 σατο καὶ περιέπτυξεν αὐτὸν ὁ Ποπίλλιος.

ΛΕΥΚΟΥΛΛΟΥ.

1. *Λεύκουλλος ἐν Ἀρμενίᾳ μετὰ μυρίων ὁπλιτῶν καὶ χιλίων ἱππέων ἐπὶ Τιγράνην ἐχώρει πεντεκαίδεκα μυριάδας στρατιᾶς ἔχοντα τῇ πρὸ μιᾶς νοννῶν ὀκτωβρίων, ἐν ᾗ πρότερον ὑπὸ Κίμβρων ἡ μετὰ Καιπίωνος διεφθάρη δύναμις. εἰπόντος δέ τινος ὅτι Ῥωμαῖοι τὴν ἡμέραν ἀφοσιοῦνται καὶ δεδοίκασιν, 'οὐκοῦν' ἔφη 'σήμερον ἀγωνισώμεθα προθύμως, ἵνα καὶ ταύτην ἐξ ἀποφράδος καὶ σκυθρωπῆς ποιήσωμεν ἱλαρὰν καὶ προσφιλῆ Ῥωμαίοις.'*

20 *νοννῶν* *: *νόννων*   21 *Καιπίωνος* X: *σκιπίωνος*

2. *Τοὺς δὲ καταφράκτους μάλιστα φοβουμένων* B *τῶν στρατιωτῶν ἐκέλευσε θαρρεῖν· ʻπλεῖον γὰρ ἔργον εἶναι τοῦ νικῆσαι τὸ τούτους σκυλεῦσαι.ʼ προσβὰς δὲ τῷ λόφῳ πρῶτος καὶ τὸ κίνημα τῶν βαρβάρων θεασάμενος ἀνεβόησε ʻνενικήκαμεν, ὦ συστρατιῶται·ʼ καὶ μηδενὸς ὑποστάντος διώκων πέντε Ῥωμαίων ἀπέβαλε πεσόντας, τῶν δὲ πολεμίων ὑπὲρ δέκα μυριάδας ἀπέκτεινε.*

ΓΝΑΙΟΥ ΠΟΜΠΗΙΟΥ.

1. *Γναῖος Πομπήιος ὑπὸ Ῥωμαίων ἠγαπήθη τοσοῦτον ὅσον ὁ πατὴρ ἐμισήθη. νέος δὲ ὢν παντάπασι τῇ Σύλλα μερίδι προσέθηκεν αὑτόν· καὶ μήτε ἄρχων μήτε βουλεύων πολλοὺς ἐκ τῆς Ἰταλίας* C *ἐστρατολόγησε. καὶ Σύλλα καλοῦντος οὐκ ἔφη δίχα λαφύρων οὐδὲ ἀναίμακτον ἐπιδεῖξαι τῷ αὐτοκράτορι τὴν δύναμιν· οὐδʼ ἦλθε πρότερον πρὶν ἢ πολλαῖς μάχαις νικῆσαι τοὺς στρατηγοὺς τῶν πολεμίων.*

2. *Ἐπεὶ δὲ πεμφθεὶς εἰς Σικελίαν ὑπὸ Σύλλα στρατηγὸς ἐπυνθάνετο τοὺς στρατιώτας ἐν ταῖς ὁδοιπορίαις ἐκτρεπομένους βιάζεσθαι καὶ ἁρπάζειν, τοὺς μὲν ἄλλως πλανωμένους καὶ περιθέοντας ἐκόλασε, τῶν δὲ πεμπομένων ὑπʼ αὐτοῦ σφραγῖδας ἐπέβαλε ταῖς μαχαίραις.*

D 3. *Μαμερτίνους δὲ τῆς ἐναντίας γενομένους μερίδος οἷός τε ἦν ἀποσφάττειν ἅπαντας· Σθεννίου δὲ τοῦ δημαγωγοῦ φήσαντος οὐ δίκαια ποιεῖν αὐτὸν ἀνθʼ ἑνὸς αἰτίου πολλοὺς ἀναιτίους κολάζοντα,*

14 *ἐπιδείξειν* an *ἂν ἐπιδεῖξαι*? 21 *ἐπέβαλε* *: *ἐπέβαλλε*

τοῦτον δὲ αὐτὸν εἶναι τοὺς μὲν φίλους πείσαντα, τοὺς δὲ ἐχθροὺς βιασάμενον ἑλέσθαι τὰ Μαρίου· θαυμάσας ὁ Πομπήιος ἔφη ‘συγγνώμην ἔχειν Μαμερτίνοις ὑπὸ τοιούτου πεισθεῖσιν ἀνδρός, ὃς τὴν πατρίδα τῆς ἑαυτοῦ ψυχῆς προτιμᾷ.’ καὶ τήν τε πόλιν καὶ τὸν Σθέννιον ἀπέλυσεν.

4. Εἰς δὲ Λιβύην διαβὰς ἐπὶ Δομίτιον καὶ μάχῃ μεγάλῃ κρατήσας, ἀσπασαμένων αὐτὸν αὐτοκράτορα τῶν στρατιωτῶν ἔφη ‘μὴ δέχεσθαι τὴν τιμήν, ἕως ὀρθὸς ἕστηκεν ὁ χάραξ τῶν πολεμίων.’ οἱ δέ, καίπερ E ὄμβρου πολλοῦ κατέχοντος, ὁρμήσαντες διεπόρθησαν τὸ στρατόπεδον.

5. Ἐπανελθόντα δὲ αὐτὸν ὁ Σύλλας ταῖς μὲν ἄλλαις τιμαῖς ἐδέξατο φιλοφρόνως καὶ Μάγνον προσηγόρευσε πρῶτος αὐτόν· θριαμβεῦσαι δὲ βουλόμενον οὐκ εἴα μηδέπω μετέχοντα βουλῆς. εἰπόντος δὲ τοῦ Πομπηίου πρὸς τοὺς παρόντας ‘ἀγνοεῖν τὸν Σύλλαν ὅτι καὶ τὸν ἥλιον ἀνατέλλοντα πλείονες ἢ δύνοντα προσκυνοῦσιν,’ ὁ μὲν Σύλλας ἀνεβόησε ‘θριαμβευέτω.’ Σερουίλιος δὲ ἀνὴρ ἀριστοκρατικὸς F ἠγανάκτει, καὶ τῶν στρατιωτῶν ἐνίσταντο πολλοὶ τῷ θριάμβῳ δωρεάς τινας ἀπαιτοῦντες. ἐπεὶ δὲ ὁ Πομπήιος ἔφη ‘μᾶλλον ἀφήσειν τὸν θρίαμβον ἢ κολακεύσειν ἐκείνους’, ‘νῦν’ ἔφη ‘καὶ μέγαν ἀληθῶς ὁρᾶν καὶ ἄξιον τοῦ θριάμβου τὸν Πομπήιον.’

6. Ἔθους δὲ ὄντος ἐν Ῥώμῃ τοῖς ἱππεῦσιν, ὅταν στρατεύσωνται τὸν νόμιμον χρόνον, ἄγειν τὸν ἵππον εἰς ἀγορὰν ἐπὶ τοὺς δύο ἄνδρας, οὓς τιμητὰς καλοῦσι, καὶ καταριθμησαμένους τὰς στρατείας καὶ

τοὺς στρατηγοὺς ὑφ' οἷς ἐστρατεύσαντο τυγχάνειν
204 ἐπαίνων ἢ ψόγων τῶν προσηκόντων· ὑπατεύων ὁ Πομπήιος κατήγαγεν αὐτὸς τὸν ἵππον ἐπὶ τοὺς τιμητὰς Γέλλιον καὶ Λέντλον· ἐκείνων δὲ ὥσπερ ἔθος ἐστὶ πυθομένων, εἰ πάσας ἐστράτευται τὰς στρατείας, 'πάσας' εἶπεν 'ὑπ' ἐμαυτῷ αὐτοκράτορι.'

7. Τῶν δὲ Σερτωρίου γραμμάτων κρατήσας ἐν Ἰβηρίᾳ, ἐν οἷς ἦσαν ἐπιστολαὶ πολλῶν ἡγεμόνων ἐπὶ νεωτερισμῷ καὶ μεταβολῇ τῆς πολιτείας τὸν Σερτώριον εἰς Ῥώμην καλούντων, κατέκαυσε πάσας διδοὺς μετανοῆσαι καὶ βελτίονας γενέσθαι τοὺς πονηρούς.

8. Ἐπεὶ δὲ Φραάτης ὁ Πάρθων βασιλεὺς ἔπεμψε πρὸς αὐτὸν ἀξιῶν ὅρῳ χρῆσθαι τῷ Εὐφράτῃ, 'μᾶλλον' ἔφη 'χρῆσθαι Ῥωμαίους ὅρῳ πρὸς Πάρθους τῷ δικαίῳ.'

B 9. Λευκίου δὲ Λευκούλλου μετὰ τὰς στρατείας ἀφεικότος αὑτὸν εἰς ἡδονὰς καὶ πολυτελῶς ζῶντος, τὸν δὲ Πομπήιον ὡς παρ' ἡλικίαν τοῦ πολλὰ πράσσειν ὀρεγόμενον ψέγοντος, 'μᾶλλον' ἔφη 'γέροντι τὸ τρυφᾶν ἢ τὸ ἄρχειν εἶναι παρ' ἡλικίαν.'

10. Νοσοῦντι δὲ αὐτῷ κίχλην ὁ ἰατρὸς λαβεῖν προσέταξεν· οἱ δὲ ζητοῦντες οὐχ εὗρον (ἦν γὰρ παρ' ὥραν), ἔφη δέ τις εὑρεθήσεσθαι παρὰ Λευκούλλῳ δι' ἔτους τρεφομένας· 'εἶτα' ἔφη 'εἰ μὴ Λεύκουλλος ἐτρύφα, Πομπήιος οὐκ ἂν ἔζησε;' καὶ χαίρειν ἐάσας τὸν ἰατρὸν ἔλαβέ τι τῶν εὐπορίστων.

C 11. Ἰσχυρᾶς δὲ σιτοδείας ἐν Ῥώμῃ γενομένης,

1 οἷς W: οὓς 4 Γέλλιον X: τέλλιον 27 τι *

ἀποδειχθεὶς λόγῳ μὲν ἀγορᾶς ἐπιμελητής, ἔργῳ δὲ γῆς καὶ θαλάσσης κύριος, ἔπλευσεν εἰς Λιβύην καὶ Σαρδόνα καὶ Σικελίαν· καὶ πολὺν ἀθροίσας σῖτον ἔσπευδεν εἰς τὴν Ῥώμην. μεγάλου δὲ χειμῶνος γενομένου καὶ τῶν κυβερνητῶν ὀκνούντων, πρῶτος ἐμβὰς καὶ τὴν ἄγκυραν ἆραι κελεύσας ἀνεβόησε 'πλεῖν ἀνάγκη, ζῆν οὐκ ἀνάγκη.'

12. Τῆς δὲ πρὸς τὸν Καίσαρα διαφορᾶς ἀποκαλυπτομένης καὶ Μαρκελλίνου τινὸς τῶν ὑπὸ Πομπηίου προῆχθαι δοκούντων μεταβεβλημένου δὲ πρὸς Καίσαρα πολλὰ πρὸς αὐτὸν ἐν συγκλήτῳ λέγοντος, 'οὐκ αἰσχύνῃ Μαρκελλῖνε' εἶπεν 'ἐμοὶ λοιδορούμε- D νος, δι' ὃν ἐξ ἀφώνου λόγιος ἐκ δὲ πεινατικοῦ ἐμετικὸς γέγονας;'

13. Πρὸς δὲ Κάτωνα πικρῶς καθαψάμενον, ὅτι πολλάκις αὐτοῦ προαγορεύοντος τὴν Καίσαρος δύναμιν καὶ αὔξησιν οὐκ ἐπ' ἀγαθῷ τῆς δημοκρατίας γινομένην αὐτὸς ἀντέπραττεν, ἀπεκρίνατο 'τὰ μὲν σὰ μαντικώτερα, τὰ δ' ἐμὰ φιλικώτερα.'

14. Περὶ δὲ αὐτοῦ παρρησιαζόμενος εἶπεν, ὡς πᾶσαν ἀρχὴν καὶ ἔλαβε θᾶσσον ἢ προσεδόκησε, καὶ καταθοῖτο θᾶσσον ἢ προσεδοκήθη.

15. Μετὰ δὲ τὴν ἐν Φαρσάλῳ μάχην φεύγων εἰς Αἴγυπτον, ὡς ἔμελλε διαβαίνειν ἐκ τῆς τριήρους εἰς ἁλιευτικὸν πλοῖον ἀποστείλαντος τοῦ βασιλέως, E ἐπιστραφεὶς πρὸς τὴν γυναῖκα καὶ τὸν υἱὸν οὐδὲν ἕτερον ἢ τὸ τοῦ Σοφοκλέους εἶπεν

7 ἀνάγκη — ἀνάγκη Iunius: ἀναγκάζῃ — ἀναγκάζῃ
13 malim πεινητικοῦ 21 ἔλαβε] λάβοι?

‘ὅστις δὲ πρὸς τύραννον ἐμπορεύεται,
κείνου ’στὶ δοῦλος, κἂν ἐλεύθερος μόλῃ.’

μεταβὰς δὲ καὶ πληγεὶς ξίφει καὶ στενάξας ἅπαξ, εἰπὼν δὲ μηδὲν ἀλλ’ ἐγκαλυψάμενος παρέδωκεν ἑαυτόν.

ΚΙΚΕΡΩΝΟΣ.

1. Κικέρων ὁ ῥήτωρ εἰς τοὔνομα σκωπτόμενος καὶ τῶν φίλων μεταθέσθαι κελευόντων, ἔφη ‘τὸν Κικέρωνα ποιήσειν τῶν Κατώνων καὶ τῶν Κάτλων καὶ τῶν Σκαύρων ἐνδοξότερον.’

2. Ἔκπωμα δὲ ἀργυροῦν τοῖς θεοῖς ἀνατιθεὶς
F τὰ μὲν πρῶτα τῶν ὀνομάτων γράμμασιν ἐσήμανεν, ἀντὶ δὲ τοῦ Κικέρωνος ἐρέβινθον ἐτόρευσε.

3. Τῶν δὲ ῥητόρων τοὺς μέγα βοῶντας ἔλεγε δι’ ἀσθένειαν ἐπὶ τὴν κραυγὴν ὡς χωλοὺς ἀναβαίνειν ἐφ’ ἵππον.

4. Οὐέρρου δὲ υἱὸν ἔχοντος οὐκ εὖ κεχρημένον ἐφ’ ὥρᾳ τῷ σώματι, τὸν δὲ Κικέρωνα λοιδοροῦντος εἰς μαλακίαν καὶ κίναιδον ἀποκαλοῦντος, ‘ἀγνοεῖς’ εἶπεν ‘ὅτι προσήκει τοῖς τέκνοις ἐντὸς θυρῶν λοιδορεῖσθαι;’

5. Μετέλλου δὲ Νέπωτος εἰπόντος πρὸς αὐτὸν ὅτι ‘πλείονας μαρτυρῶν ἀπέκτονας ἢ συνηγορῶν
205 σέσωκας’, ‘καὶ γὰρ ἔστιν’ ἔφη ‘πλεῖον ἐμοὶ πίστεως ἢ λογιότητος.’

6. Ἐρωτῶντος δὲ τοῦ Μετέλλου τίς αὐτοῦ πατήρ ἐστι, ‘ταύτην’ ἔφη ‘τὴν ἀπόκρισιν χαλεπωτέραν ἡ σὴ μήτηρ πεποίηκεν.’ ἦν γὰρ ἡ τοῦ Μετέλλου ἀκό-

1 Nauck p. 253

λαστος, ὁ δὲ Μέτελλος αὐτὸς ὑπόκουφος καὶ ἀβέβαιος καὶ φερόμενος ταῖς ὁρμαῖς.

7. Διοδότῳ δὲ τῷ διδασκάλῳ τῶν ῥητορικῶν ἀποθανόντι κόρακα λίθινον ἐπιστήσαντος αὐτοῦ, 'δικαίαν' ἔφη 'τὴν ἀμοιβὴν γεγονέναι· πέτεσθαι γὰρ τοῦτον οὐ λέγειν ἐδίδαξεν.'

8. Οὐατίνιον δὲ ἄνθρωπον ἑαυτῷ διάφορον καὶ μοχθηρὸν ἄλλως ἀκούσας ὅτι τέθνηκεν, εἶτα γνοὺς B ὕστερον ὅτι ζῇ, 'κακός' εἶπεν 'ἀπόλοιτο κακῶς ὁ ψευσάμενος.'

9. Πρὸς δὲ τὸν δοκοῦντα Λίβυν ἀπὸ γένους εἶναι, φήσαντα δὲ αὐτοῦ μὴ ἀκούειν λέγοντος, 'καὶ μὴν οὐκ ἀτρύπητον ἔχεις τὸ οὖς' εἶπε.

10. Κάστον δὲ Ποπίλλιον νομικὸν εἶναι βουλόμενον, ὄντα δὲ ἀμαθῆ καὶ ἀφυῆ, προσεκαλεῖτο μάρτυρα πρός τινα δίκην· εἰπόντος δὲ ἐκείνου μηδὲν γινώσκειν, 'οἴει γὰρ ἴσως' εἶπε 'περὶ τῶν νομίμων ἐπερωτᾶσθαι.'

11. Ὁρτησίου δὲ τοῦ ῥήτορος λαβόντος μισθὸν ἀργυρᾶν σφίγγα παρὰ τοῦ Βέρρου καὶ πρὸς τὸν Κικέρωνα πλαγίως τι εἰπόντα φήσαντος 'αἰνιγμάτων λύσεως ἀπείρως ἔχειν', 'καὶ μὴν ἡ σφίγξ' ἔφη 'παρὰ σοί ἐστιν.' C

12. Οὐοκωνίῳ δὲ ἀπαντήσας μετὰ τριῶν θυγατέρων ἀμορφοτάτων τὴν ὄψιν ἀτρέμα πρὸς τοὺς φίλους εἶπεν

'Φοίβου ποτ' οὐκ ἐῶντος ἔσπειρεν τέκνα.'

9 κακῶς ὁ] ὁ κακῶς X 14 Κάστον δὲ Ποπίλλιον] cf. Vit. Cic. c. 26 17 νομικῶν ibidem 27 Nauck p. 699

13. Φαύστου δὲ τοῦ Σύλλα παιδὸς διὰ πλῆθος δανείων ἀπάρτιον προγράψαντος, 'ταύτην' ἔφη 'μᾶλλον ἀσπάζομαι τὴν προγραφὴν ἢ τὴν πατρῴαν αὐτοῦ.'

14. Πομπηίου δὲ καὶ Καίσαρος διαστάντων, ἔφη 'γινώσκω ὃν φύγω, μὴ γινώσκων πρὸς ὃν φύγω.'

15. Καὶ Πομπήιον ἐμέμψατο τὴν πόλιν ἐκλιπόντα καὶ Θεμιστοκλέα μᾶλλον ἢ Περικλέα μιμησά-
D μενον, οὐκ ἐκείνοις τῶν πραγμάτων ἀλλὰ τούτοις ὁμοίων ὄντων.

16. Γενόμενος δ' οὖν παρὰ Πομπηίῳ καὶ πάλιν μετανοῶν, ἐρωτηθεὶς ὑπὸ Πομπηίου ποῦ Πείσωνα τὸν γαμβρὸν ἀπολέλοιπεν ἔφη 'παρὰ τῷ σῷ πενθερῷ.'

17. Μεταβαλομένου δέ τινος ἀπὸ Καίσαρος πρὸς τὸν Πομπήιον, λέγοντος ὑπὸ σπουδῆς καὶ προθυμίας ἀπολελοιπέναι τὸν ἵππον, 'βέλτιον' ἔφη 'αὐτὸν περὶ τοῦ ἵππου βεβουλεῦσθαι.'

18. Πρὸς δὲ τὸν ἀπαγγέλλοντα τοὺς Καίσαρος φίλους σκυθρωποὺς εἶναι 'λέγεις' ἔφη 'δυσνοεῖν αὐτοὺς Καίσαρι.'

E 19. Μετὰ δὲ τὴν ἐν Φαρσάλῳ μάχην Πομπηίου μὲν φυγόντος, Νωνίου δέ τινος ἔτι παρ' αὐτοῖς ἀετοὺς ἑπτὰ φήσαντος εἶναι καὶ διὰ τοῦτο θαρρεῖν παρακαλοῦντος, 'καλῶς ἂν παρῄνεις' εἶπεν 'εἰ κολοιοῖς ἐπολεμοῦμεν.'

20. Ἐπεὶ δὲ Καῖσαρ κρατήσας τὰς Πομπηίου καταβεβλημένας εἰκόνας ἀνέστησε μετὰ τιμῆς, ἔφη

23 αὐτοῖς *: αὐτοῖς

περὶ αὐτοῦ λέγων ὁ Κικέρων ὅτι ‘τοὺς Πομπηίου Καῖσαρ ἀνδριάντας ἱστὰς τοὺς ἑαυτοῦ πήγνυσιν.’

21. Οὕτω δὲ πολλοῦ τὸ καλῶς λέγειν ἐτίμα τε καὶ περὶ τοῦτο μάλιστα ἠγωνία, ὥστε προκειμένης δίκης ἐπὶ τῶν ἑκατὸν ἀνδρῶν καὶ ἐπικειμένης τῆς ἡμέρας, Ἔρωτα ἀπαγγείλαντα αὐτῷ τὸν οἰκέτην εἰς F
τὴν ἐπιοῦσαν ὑπερτεθῆναι τὴν δίκην ἠλευθέρωσε.

ΓΑΙΟΥ ΚΑΙΣΑΡΟΣ.

1. Γάιος Καῖσαρ, ὅτε Σύλλαν ἔφευγεν ἔτι μειράκιον ὤν, περιέπεσε πειραταῖς· καὶ πρῶτον μὲν αἰτηθεὶς ἀργυρίου πλῆθος κατεγέλασε τῶν λῃστῶν ὡς ἀγνοούντων ὃν ἔχουσι, καὶ διπλάσιον ὡμολόγησε δώσειν· ἔπειτα φρουρούμενος, ἕως συνῆγε τὰ χρήματα, προσέταττεν ἡσυχίαν αὐτῷ παρέχειν κοιμωμένῳ καὶ σιωπᾶν. λόγους δὲ καὶ ποιήματα γράφων ἀνεγίνωσκεν αὐτοῖς, καὶ τοὺς μὴ λίαν ἐπαινοῦντας ἀναισθήτους καὶ βαρβάρους ἀπεκάλει καὶ μετὰ γέλωτος ἠπείλει κρεμᾶν αὐτούς· ὃ καὶ μετ’ ὀλίγον ἐποίησεν. τῶν γὰρ λύτρων κομισθέντων ἀπολυθεὶς 206
καὶ συναγαγὼν ἄνδρας ἐξ Ἀσίας καὶ πλοῖα συνήρπασε τοὺς λῃστὰς καὶ προσήλωσεν.

2. Ἐν δὲ Ῥώμῃ πρὸς Κάτλον πρωτεύοντα Ῥωμαίων εἰς ἅμιλλαν ὑπὲρ τῆς ἀρχιερωσύνης καταστὰς καὶ προπεμπόμενος ὑπὸ τῆς μητρὸς ἐπὶ τὰς θύρας, ‘σήμερον’ εἶπεν ‘ὦ μῆτερ, ἀρχιερέα τὸν υἱὸν ἢ φυγάδα ἕξεις.’

3. Πομπηίαν δὲ τὴν γυναῖκα κακῶς ἀκούσασαν

1 τοὺς*: τοῦ

ἐπὶ Κλωδίῳ παραιτησάμενος, εἶτα τοῦ Κλωδίου φεύγοντος ἐπὶ τούτῳ δίκην μάρτυς εἰσαχθεὶς οὐδὲν εἶπε φαῦλον περὶ τῆς γυναικός· ἐρομένου δὲ τοῦ κατηγόρου ‘διὰ τί τοίνυν ἐξέβαλες αὐτήν’, ‘ὅτι τὴν Καίσα-
B ρος’ ἔφη ‘γυναῖκα καὶ διαβολῆς δεῖ καθαρὰν εἶναι.’

4. Τὰς δ’ Ἀλεξάνδρου πράξεις ἀναγινώσκων ἐδάκρυσε καὶ πρὸς τοὺς φίλους εἶπεν ὅτι ‘ταύτην τὴν ἡλικίαν ἔχων ἐνίκησε Δαρεῖον, ἐμοὶ δὲ μέχρι νῦν οὐδὲν πέπρακται.’

5. Πολίχνιον δὲ αὐτοῦ λυπρὸν ἐν ταῖς Ἄλπεσι παρερχομένου, καὶ τῶν φίλων διαπορούντων εἰ καὶ ἐνταῦθά τινες στάσεις εἰσὶ καὶ ἅμιλλαι περὶ πρωτείων, ἐπιστὰς καὶ σύννους γενόμενος ‘μᾶλλον ἂν’ ἔφη ‘ἐβουλόμην πρῶτος ἐνταῦθα εἶναι ἢ δεύτερος ἐν Ῥώμῃ.’

6. Τῶν δὲ τολμημάτων τὰ παράβολα καὶ μεγάλα
C πράττειν ἔφη δεῖν, ἀλλὰ μὴ βουλεύεσθαι.

7. Καὶ διέβη τὸν Ῥουβίκωνα ποταμὸν ἐκ τῆς Γαλατικῆς ἐπαρχίας ἐπὶ Πομπήιον, εἰπὼν ‘πᾶς ἀνερρίφθω κύβος.’

8. Ἐπεὶ δὲ Πομπηίου φεύγοντος ἐπὶ θάλασσαν ἐκ τῆς Ῥώμης, καὶ Μέτελλος ἔπαρχος ὢν τοῦ ταμιείου βουλόμενον αὐτὸν χρήματα λαβεῖν ἐκώλυε καὶ τὸ ταμιεῖον ἀπέκλεισεν, ἠπείλησεν ἀποκτενεῖν αὐτόν· καταπλαγέντος δὲ τοῦ Μετέλλου, ‘τοῦτο’ εἶπεν ‘ὦ νεανίσκε, φῆσαί μοι χαλεπώτερον ἦν ἢ ποιῆσαι.’

9. Τῶν δὲ στρατιωτῶν αὐτῷ βραδέως εἰς Δυρ-

19 πᾶς delet Cobetus 22 ἐκ] om. mei codd. ταμιείου hic et infra *: ταμείου

ῥάχιον ἐκ Βρεντεσίου κομιζομένων, λαθὼν ἅπαντας εἰς πλοῖον ἐμβὰς μικρὸν ἐπεχείρησε διαπλεῖν τὸ πέλαγος· συγκλυζομένου δὲ τοῦ πλοίου, ποιήσας τῷ D κυβερνήτῃ φανερὸν ἑαυτὸν ἀνεβόησε 'πίστευε τῇ τύχῃ γνοὺς ὅτι Καίσαρα κομίζεις.'

10. Τότε μὲν οὖν ἐκωλύθη, τοῦ χειμῶνος ἰσχυροῦ γενομένου καὶ τῶν στρατιωτῶν συνδραμόντων καὶ περιπαθούντων, εἰ περιμένει δύναμιν ἄλλην ὡς ἀπιστῶν αὐτοῖς· ἐπεὶ δὲ μάχης γενομένης νικῶν ὁ Πομπήιος οὐκ ἐπεξῆλθεν, ἀλλὰ ἀνεχώρησεν εἰς τὸ στρατόπεδον, 'τήμερον' εἶπεν 'ἦν ἡ νίκη παρὰ τοῖς πολεμίοις, ἀλλὰ τὸν εἰδότα νικᾶν οὐκ ἔχουσιν.'

11. Ἐν δὲ Φαρσάλῳ Πομπηίου παρατεταγμένην E τὴν φάλαγγα κατὰ χώραν ἑστάναι καὶ προσδέχεσθαι τοὺς πολεμίους παρεγγυήσαντος, ἁμαρτεῖν αὐτὸν ἔλεγε τὸν ἐξ ἐπιδρομῆς μετ' ἐνθουσιασμοῦ τόνον καὶ ῥοῖζον ἐκλύσαντα τῶν στρατιωτῶν.

12. Φαρνάκην δὲ νικήσας τὸν Ποντικὸν ἐξ ἐφόδου πρὸς τοὺς φίλους ἔγραψε 'ἦλθον εἶδον ἐνίκησα.'

13. Μετὰ δὲ τὴν ἐν Λιβύῃ τῶν περὶ τὸν Σκιπίωνα φυγὴν καὶ ἧτταν Κάτωνος ἑαυτὸν ἀνελόντος, 'φθονῶ σοι Κάτων' εἶπε 'τοῦ θανάτου· καὶ γὰρ σὺ ἐμοὶ τῆς σῆς σωτηρίας ἐφθόνησας.'

14. Ἀντώνιον δὲ καὶ Δολοβέλλαν ὑφορωμένων F ἐνίων καὶ φυλάττεσθαι κελευόντων, 'οὐ τούτους' ἔφη 'δεδιέναι τοὺς βαναύσους καὶ λιπῶντας, ἀλλὰ τοὺς ἰσχνοὺς καὶ ὠχροὺς ἐκείνους' δείξας Βροῦτον καὶ Κάσσιον.

15. *Λόγου δὲ παρὰ δεῖπνον ἐμπεσόντος περὶ θανάτου ποῖος ἄριστος, ‘ὁ ἀπροσδόκητος’ εἶπε.*

ΚΑΙΣΑΡΟΣ ΤΟΥ ΣΕΒΑΣΤΟΥ.

1. *Καῖσαρ ὁ πρῶτος ἐπικληθεὶς Σεβαστός, ἔτι μειράκιον ὢν Ἀντώνιον ἀπῄτει δισχιλίας πεντακοσίας μυριάδας τοῦ πρώτου Καίσαρος ἀναιρεθέντος, ἐκ τῆς οἰκίας ἃς πρὸς αὑτὸν ὁ Ἀντώνιος μετήνεγκεν· ἀποδοῦναι βουλόμενος Ῥωμαίοις τὸ καταλειφθὲν ὑπὸ Καίσαρος, ἑκάστῳ δραχμὰς ἑβδομήκοντα πέντε· τοῦ δὲ Ἀντωνίου τὰ μὲν χρήματα κατέχοντος, ἐκεῖνον*
207 *δὲ τῆς ἀπαιτήσεως ἀμελεῖν, εἰ σωφρονεῖ, κελεύοντος, ἐκήρυττε τὰ πατρῷα καὶ ἐπίπρασκε· καὶ τὴν δωρεὰν ἀποδοὺς εὔνοιαν μὲν αὑτῷ, μῖσος δὲ ἐκείνῳ παρὰ τῶν πολιτῶν περιεποίησεν.*

2. *Ἐπεὶ δὲ Ῥοιμητάλκης ὁ τῶν Θρᾳκῶν βασιλεὺς ἀπ' Ἀντωνίου μεταβαλόμενος πρὸς αὐτὸν οὐκ ἐμετρίαζεν παρὰ τοὺς πότους, ἀλλ' ἦν ἐπαχθὴς ὀνειδίζων τὴν συμμαχίαν, προπιών τινι τῶν ἄλλων βασιλέων ὁ Καῖσαρ εἶπεν ‘ἐγὼ προδοσίαν φιλῶ, προδότας δ' οὐκ ἐπαινῶ.’*

3. *Τῶν δὲ Ἀλεξανδρέων μετὰ τὴν ἅλωσιν τὰ δεινότατα πείσεσθαι προσδοκώντων, ἀναβὰς ἐπὶ τὸ*
B *βῆμα καὶ παραστησάμενος Ἄρειον τὸν Ἀλεξανδρέα ‘φείδεσθαι μὲν τῆς πόλεως’ ἔφη ‘πρῶτον διὰ τὸ μέγεθος καὶ τὸ κάλλος, ἔπειτα διὰ τὸν κτίστην Ἀλέξανδρον, τρίτον δὲ δι' Ἄρειον τὸν φίλον.’*

6 *ἐκ τῆς οἰκίας ἃς*] *ἃς ἐκ τῆς οἰκίας*? cf. Vit. Cic. c. 43
14 *Ῥοιμητάλκης* *: *ῥυμετάλκης*

4. Ἀκούσας δὲ ὅτι Ἔρως ὁ τὰ ἐν Αἰγύπτῳ διοικῶν ὄρτυγα τὸν κρατοῦντα πάντων ἐν τῷ μάχεσθαι καὶ ἀήττητον ὄντα πριάμενος ὀπτήσας κατέφαγε, μετεπέμψατο αὐτὸν καὶ ἀνέκρινεν· ὁμολογήσαντα δὲ ἐκέλευσεν ἱστῷ νηὸς προσηλωθῆναι.

5. Ἐν δὲ Σικελίᾳ Ἄρειον ἀντὶ Θεοδώρου κατέστησε διοικητήν· ἐπιδόντος δέ τινος αὐτῷ βιβλίον, ἐν ᾧ γεγραμμένον ἦν 'φαλακρὸς ἢ κλέπτης Θεόδωρος ὁ Ταρσεύς· τί σοι δοκεῖ;' ἀναγνοὺς Καῖσαρ C ὑπέγραψε 'δοκεῖ.'

6. Παρὰ δὲ Μαικήνα τοῦ συμβιωτοῦ καθ' ἕκαστον ἐνιαυτὸν ἐν τοῖς γενεθλίοις δῶρον ἐλάμβανε φιάλην.

7. Ἀθηνοδώρῳ δὲ τῷ φιλοσόφῳ διὰ γῆρας εἰς οἶκον ἀφεθῆναι δεηθέντι συνεχώρησεν. ἐπεὶ δὲ ἀσπασάμενος αὐτὸν ὁ Ἀθηνόδωρος εἶπεν 'ὅταν ὀργισθῇς, Καῖσαρ, μηδὲν εἴπῃς μηδὲ ποιήσῃς πρότερον ἢ τὰ εἴκοσι καὶ τέτταρα γράμματα διελθεῖν πρὸς ἑαυτόν', ἐπιλαβόμενος αὐτοῦ τῆς χειρός 'ἔτι σοῦ παρόντος' ἔφη 'χρείαν ἔχω·' καὶ κατέσχεν αὐτὸν ἐνιαυτὸν ὅλον, εἰπὼν ὅτι 'ἔστι καὶ σιγῆς ἀκίνδυνον γέρας.' D

8. Ἀκούσας δέ, ὅτι Ἀλέξανδρος δύο καὶ τριάκοντα γεγονὼς ἔτη κατεστραμμένος τὰ πλεῖστα διηπόρει τί ποιήσει τὸν λοιπὸν χρόνον, ἐθαύμαζεν, εἰ μὴ μεῖζον Ἀλέξανδρος ἔργον ἡγεῖτο τοῦ

8 ἢ] καὶ Cobetus. Malim καὶ φαλακρὸς καὶ κλέπτης, nam verba φαλακρὸς ἢ omisit Ambrosianus 21 ἔστι] Bergk. 3 p. 417

κτήσασθαι τὴν ἡγεμονίαν τὸ διατάξαι τὴν ὑπάρχουσαν.

9. *Γράψας δὲ τὸν περὶ τῶν μοιχῶν νόμον, ἐν ᾧ διώρισται πῶς δεῖ κρίνεσθαι τοὺς ἐν αἰτίαις γενομένους καὶ πῶς δεῖ κολάζεσθαι τοὺς ἁλόντας, εἶτα προσπεσὼν ὑπ᾽ ὀργῆς τὸν ἐπὶ Ἰουλίᾳ τῇ θυγατρὶ διαβεβλημένον νεανίσκον ἔτυπτε ταῖς χερσίν· ἐκείνου δὲ ἀναβοῶντος ‛νόμον ἔθηκας, ὦ Καῖσαρ,᾽ οὕτω* E *μετενόησεν, ὥστε τὴν ἡμέραν ἐκείνην παραιτήσασθαι τὸ δεῖπνον.*

10. *Γάιον δὲ τὸν θυγατριδοῦν εἰς Ἀρμενίαν ἀποστέλλων ᾐτεῖτο παρὰ τῶν θεῶν εὔνοιαν αὐτῷ τὴν Πομπηίου, τόλμαν δὲ τὴν Ἀλεξάνδρου, τύχην δὲ τὴν ἑαυτοῦ παρακολουθῆσαι.*

11. *Ῥωμαίοις δὲ τῆς ἀρχῆς ἔλεγεν ἀπολείψειν διάδοχον, ὃς οὐδέποτε περὶ τοῦ αὐτοῦ πράγματος δὶς ἐβουλεύσατο, Τιβέριον λέγων.*

12. *Θορυβοῦντας δὲ τοὺς ἐν ἀξιώματι νέους καταστεῖλαι βουλόμενος, ὡς οὐ προσεῖχον ἀλλ᾽ ἐθορύβουν, ‛ἀκούσατε᾽ εἶπε ‛νέοι γέροντος, οὗ νέου γέροντες ἤκουον.᾽*

F 13. *Τοῦ δὲ Ἀθηναίων δήμου ἐξημαρτηκέναι τι δόξαντος, ἔγραψεν ἀπ᾽ Αἰγίνης ‛οἴεσθαι μὴ λανθάνειν αὐτοὺς ὀργιζόμενος, οὐ γὰρ ἂν ἐν Αἰγίνῃ διαχειμάσειεν.᾽ ἄλλο δὲ οὐδὲν οὔτε εἶπεν αὐτοὺς οὔτε ἐποίησε.*

14. *Τῶν δὲ Εὐρυκλέους κατηγόρων ἑνὸς ἀφει-*

4 *ἐν αἰτίᾳ* Herwerdenus   25 *διαχειμάσειεν* *: *διαχειμάσειν*

δῶς καὶ κατακόρως παρρησιαζομένου καὶ προαχθέντος εἰπεῖν τι τοιοῦτον ‘εἰ ταῦτά σοι, Καῖσαρ, οὐ φαίνεται μεγάλα, κέλευσον αὐτὸν ἀποδοῦναί μοι Θουκυδίδου τὴν ἑβδόμην·’ διὸ ὀργισθεὶς ἀπάγειν ἐκέλευσε· πυθόμενος δέ, ὅτι τῶν ἀπὸ Βρασίδου γεγονότων ὑπόλοιπός οὗτός ἐστι, μετεπέμψατο, καὶ μέτρια νουθετήσας ἀπέλυσε.

15. Πείσωνος δὲ τὴν οἰκίαν ἐκ θεμελίων ἄχρι 208
πάσης στέγης ἐπιμελῶς οἰκοδομοῦντος, ‘εὔθυμον’ ἔφη ‘με ποιεῖς οὕτως οἰκοδομῶν, ὡς ἀιδίου τῆς Ῥώμης ἐσομένης.’

* ΑΠΟΦΘΕΓΜΑΤΑ ΛΑΚΩΝΙΚΑ.

ΑΓΑΣΙΚΛΕΟΥΣ.

B 1. *Ἀγασικλῆς ὁ Λακεδαιμονίων βασιλεύς, θαυμάζοντός τινος ὅτι φιλήκοος ὢν οὐ προσδέχεται Φιλοφάνη τὸν σοφιστήν, ἔφη ‘τούτων χρῄζω μαθητὴς εἶναι, ὧν εἰμι καὶ υἱός.’*

2. *Πρὸς δὲ τὸν εἰπόντα, πῶς ἄν τις ἀδορυφόρητος ὢν ἄρχειν ἀσφαλῶς δύναιτο, ‘ἐὰν οὕτως’ ἔφη ‘αὐτῶν ἄρχῃ, ὥσπερ οἱ πατέρες τῶν υἱῶν.’*

ΑΓΗΣΙΛΑΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.

1. *Ἀγησίλαος ὁ μέγας παρὰ πότον ποτὲ λαχὼν συμποσίαρχος, ἐρωτηθεὶς ὑπὸ τοῦ οἰνοχόου πόσον*
C *ἑκάστῳ προσφέρῃ, ‘εἰ μὲν πολὺς οἶνος’ ἔφη ‘ἐστὶ παρεσκευασμένος, ὅσον ἕκαστος αἰτεῖ· εἰ δὲ ὀλίγος, ἐξ ἴσου δίδου πᾶσι.’*

2. *Κακούργου δέ τινος ἐμμόνως ὑπομείναντος βασάνους, ‘ὡς σφόδρα πονηρός’ εἶπεν ‘ἄνθρωπος, εἰς μοχθηρὰ καὶ αἰσχρὰ πράγματα τὴν ὑπομονὴν καὶ καρτερίαν κατατιθέμενος.’*

3. *Ἐπαινοῦντος δέ τινος ῥήτορα ἐπὶ τῷ δυνατῶς αὔξειν τὰ μικρὰ πράγματα, ‘οὐδὲ σκυτοτόμον’*

10 ἔφη *

ἔφησεν ‘εἶναι σπουδαῖον, ὃς μικρῷ ποδὶ ὑποδήματα μεγάλα περιτίθησι.’

4. Φαμένου δέ τινός ποτε πρὸς αὐτόν ‘ὡμολόγηκας’, καὶ πολλάκις τὸ αὐτὸ λέγοντος, ‘ναὶ δῆτα, εἴ γ’ ἐστὶ δίκαιον’ ἔφη ‘εἰ δὲ μή, ἔλεξα μέν, ὡμο- D
λόγησα δὲ οὔ.’ ἐπειπόντος δέ ‘ἀλλὰ μὴν δεῖ τοὺς βασιλεῖς ἐπιτελεῖν ὅ τι κεν κεφαλῇ κατανεύσωσιν’, ‘οὐ μᾶλλον’ ἔφη ‘ἢ τοὺς προσιόντας τοῖς βασιλεῦσιν αἰτεῖσθαι δεῖ τὰ δίκαια καὶ λέγειν, στοχαζομένους τε τοῦ καιροῦ καὶ τοῦ ἁρμόζοντος τοῖς βασιλεῦσιν.’

5. Ὁπότε δὲ ψεγόντων ἢ ἐπαινούντων τινῶν ἀκούοι, οὐχ ἧττον ᾤετο δεῖν καταμανθάνειν τοὺς τῶν λεγόντων τρόπους ἢ περὶ ὧν λέγοιεν.

6. Ἔτι δὲ παῖδα αὐτὸν ὄντα, γυμνοπαιδίας ἀγομένης, ὁ χοροποιὸς ἔστησεν εἰς ἄσημον τόπον· ὁ δὲ ἐπείσθη καίπερ ἤδη βασιλεὺς ἀποδεδειγμένος καὶ εἶπεν ‘εὖγε· δείξω γὰρ ὅτι οὐχ οἱ τόποι τοὺς ἄν- E
δρας ἐντίμους, ἀλλ’ οἱ ἄνδρες τοὺς τόπους ἐπιδεικνύουσι.’

7. Προστάττοντος δέ τινος αὐτῷ ἰατροῦ περιεργοτέραν θεραπείαν καὶ οὐχ ἁπλῆν, ‘νὴ τὼ θεώ’ φησίν ‘οὐ πάντως μοι πρόκειται ζῆν οὐδὲ πάντα ἀναδέχομαι.’

8. Ἐφεστὼς δέ ποτε τῷ βωμῷ τῆς Χαλκιοίκου βουθυτῶν, ἐπειδὴ φθεὶρ αὐτὸν ἔδακεν, οὐ διετράπη·

3 ὡμολόγηκας — ὡμολόγησα] ὤμοσας (malim ὀμώμοκας) ὤμοσα Cobetus 7 κεφαλῇ] cf. Hom. *A* 524 14 ὧν] ὧν ἂν? 22 νὴ τὼ θεώ] ναὶ τὼ σιώ Cobetus

λαβὼν δὲ περιφανῶς ἐναντίον πάντων ἀπέκτεινε, προσειπών ‘νὴ τοὺς θεοὺς ἡδέως τὸν ἐπίβουλον καὶ ἐπὶ τῷ βωμῷ.’

F 9. Ἄλλοτε ἰδὼν μῦν ἑλκόμενον ἐκ θυρίδος ὑπὸ παιδαρίου κρατοῦντος, ἐπεὶ ὁ μῦς ἐπιστραφεὶς ἔδακε τὴν χεῖρα τοῦ κρατοῦντος καὶ ἔφυγεν, ἐπιδείξας τοῖς παροῦσιν εἶπεν ‘ὅταν τὸ ἐλάχιστον ζῷον οὕτως ἀμύνηται τοὺς ἀδικοῦντας, τί τοὺς ἄνδρας προσήκει ποιεῖν λογίζεσθε.’

10. Βουλόμενος δὲ τὸν πρὸς τὸν Πέρσην συστήσασθαι πόλεμον ἕνεκα τοῦ ἐλευθερῶσαι τοὺς ἐν τῇ Ἀσίᾳ κατοικοῦντας Ἕλληνας, τῷ κατὰ Δωδώνην Διὸς ἐχρήσατο μαντείῳ· κελεύσαντος δέ, τὸ χρησθὲν ἀνήγ-
209 γειλε τοῖς ἐφόροις· οἱ δὲ ἐκέλευσαν αὐτὸν καὶ εἰς Δελφοὺς ἀφικόμενον περὶ τῶν αὐτῶν πυνθάνεσθαι. πορευθεὶς οὖν εἰς τὸ μαντεῖον ἐπηρώτησεν οὕτως ‘Ἄπολλον, ἦ δοκεῖ σοι ὃ καὶ τῷ πατρί;’ συναινέσαντος δὲ αἱρεθεὶς οὕτως ἐστρατεύσατο.

11. Ἐπεὶ δὲ Τισσαφέρνης ἐν ἀρχῇ μὲν φοβηθεὶς τὸν Ἀγησίλαον ἐποιήσατο σπονδάς, τὰς πόλεις αὐτῷ τὰς Ἑλληνικὰς ἀφήσειν αὐτονόμους βασιλέα, μεταπεμψάμενος δὲ παρὰ τοῦ βασιλέως πολὺ στράτευμα πόλεμον κατήγγειλεν αὐτῷ, εἰ μὴ ἀπίοι τῆς Ἀσίας· ἄσμενος τὴν παράβασιν δεξάμενος ὥρμησε μὲν ὡς
B ἐπὶ Καρίαν προάξων· ἐκεῖ δὲ τὴν δύναμιν τοῦ Τισσαφέρνους ἀθροίσαντος, ἄρας εἰς Φρυγίαν ἐνέβαλε· καὶ λαβὼν πόλεις πλείστας καὶ χρημάτων πλῆθος

13 κελεύσαντος δέ W: κελεύσαντος δὲ ὅπερ ἐστὶν ὡς δοκεῖ στρατεύεσθαι

ἔφη τοῖς φίλοις 'ἐπισπεισάμενον μὲν ἀδικεῖν ἀσεβές, τοὺς δὲ πολεμίους παραλογίζεσθαι οὐ μόνον δίκαιον καὶ ἐπίδοξον, ἀλλὰ καὶ ἡδὺ καὶ κερδαλέον.'

12. Τοῖς δ' ἱππεῦσιν ἐλαττωθεὶς ἀνεχώρησεν εἰς Ἔφεσον, καὶ τοῖς εὐπόροις προεῖπε παρέχειν ἵππον ἀνθ' ἑαυτοῦ καὶ ἄνδρα ἀπολυομένους τῆς στρατείας· ὥστε ταχὺ συνήχθησαν καὶ ἵπποι καὶ ἄνδρες ἐπιτήδειοι ἀντὶ δειλῶν καὶ πλουσίων. καὶ C τὸν Ἀγαμέμνονα ἔφη ζηλοῦν· καὶ γὰρ ἐκεῖνον θήλειαν ἵππον ἀγαθὴν λαβόντα κακὸν ἄνδρα καὶ πλούσιον τῆς στρατείας ἀπολῦσαι.

13. Ἐπεὶ δὲ κελεύσαντος αὐτοῦ τοὺς αἰχμαλώτους γυμνοὺς πωλεῖν ἐπίπρασκον οἱ λαφυροπῶλαι, καὶ τῆς μὲν ἐσθῆτος ἦσαν ὠνηταὶ πολλοί, τῶν δὲ σωμάτων λευκῶν καὶ ἁπαλῶν παντάπασι διὰ τὰς σκιατραφίας κατεγέλων ὡς ἀχρήστων καὶ μηδενὸς ἀξίων· ἐπιστὰς ὁ Ἀγησίλαος 'ταῦτα μέν' εἶπεν 'ὑπὲρ ὧν μάχεσθε, οὗτοι δὲ οἷς μάχεσθε.'

14. Τρεψάμενος δὲ περὶ Λυδίαν Τισσαφέρνην καὶ πλείστους ἀνελών, κατέτρεχε τῆς βασιλέως χώρας. D τούτου δὲ χρήματα αὐτῷ προσπέμψαντος καὶ ἀξιοῦντος διαλύσασθαι τὸν πόλεμον, ὁ Ἀγησίλαος 'τῆς μὲν εἰρήνης' ἔφη 'τὴν πόλιν εἶναι κυρίαν, τοὺς δὲ στρατιώτας πλουτίζων ἥδεσθαι μᾶλλον ἢ αὐτὸς πλουτῶν· καλὸν δὲ νομίζειν Ἕλληνας οὐ δῶρα λαμβάνειν ἀπὸ τῶν πολεμίων, ἀλλὰ λάφυρα κτᾶσθαι.'

15. Μεγαβάτου δὲ τοῦ Σπιθριδάτου παιδός, ὃς ἦν κάλλιστος τὴν μορφήν, προσελθόντος αὐτῷ ὡς

1 ἀδικεῖν *: ἀδίκως   6 ἵππον] ἵππον ἕκαστον?   19 παρὰ?

ἀσπασομένου καὶ φιλήσοντος διὰ τὸ σφόδρα δοκεῖν ἀγαπᾶσθαι, ἐξέκλινεν· ὡς δ' ἐπαύσατο ἐκεῖνος προσιών, ἐπεζήτησεν αὐτὸν ὁ Ἀγησίλαος· τῶν δὲ φίλων φαμένων ὡς αὐτὸς εἴη αἴτιος, τρέσας τὸ τοῦ καλοῦ φίλημα, E *τοῦ μὴ ἐντὸς φιλήματος ἐλθεῖν, καὶ εἰ μὴ ἀποδειλιάσει, ἥξειν ἐκεῖνον· χρόνον οὐκ ὀλίγον πρὸς αὐτῷ γενόμενος ὁ Ἀγησίλαος καὶ διασιωπήσας 'οὐδέν' ἔφη 'δεῖν πείθειν ἐκεῖνον ἡμᾶς· ἐγὼ γάρ μοι δοκῶ τῶν τοιούτων βούλεσθαι ἐπάνω εἶναι ἢ τὴν εὐανδροτάτην τῶν ἀντιτεταγμένων πόλιν κατὰ κράτος ἑλεῖν· ἄμεινον γὰρ ἑαυτῷ φυλάττειν τὴν ἐλευθερίαν τοῦ ἑτέρων ἀφαιρεῖσθαι.'*

16. *Τὰ δὲ ἄλλα ἀκριβὴς ὢν καὶ νόμιμος, ἐν τοῖς φιλικοῖς πράγμασιν ἐνόμιζε πρόφασιν εἶναι τὸ λίαν δίκαιον πρὸς αὐτούς. φέρεται γοῦν ἐπιστόλιον αὐτοῦ* F *παραιτουμένου τινὰ τῶν φίλων πρὸς Ἱδριέα τὸν Κᾶρα, οὕτω· 'Νικίας εἰ μὲν οὐκ ἀδικεῖ, ἄφες· εἰ δὲ ἀδικεῖ, ἐμοὶ ἄφες· πάντως δὲ ἄφες.'*

17. *Ἐν μὲν οὖν τοῖς πλείστοις ὑπὲρ τῶν φίλων τοιοῦτος ὁ Ἀγησίλαος· ἔστι δὲ ὅπου πρὸς τὸ συμφέρον ἐχρῆτο τῷ καιρῷ μᾶλλον. ἀναζυγῆς γοῦν ποτε γενομένης θορυβωδεστέρας, ἀσθενοῦντα καταλιπὼν τὸν ἐρώμενον, ἐκείνου δεομένου καὶ ἀνακαλοῦντος μετὰ δακρύων αὐτόν, ἐπιστραφεὶς εἶπεν 'ὡς χαλεπόν ἐστιν ἐλεεῖν ἅμα καὶ φρονεῖν.'*

18. *Δίαιταν δὲ τὴν περὶ τὸ σῶμα οὐδὲν ἀμείνονα τῶν συνόντων εἶχε, κόρου μὲν καὶ μέθης τὸ παράπαν ἀπεχόμενος, ὕπνῳ δὲ οὐ δεσπότῃ ἀλλ'*

5 *φίλημα, τοῦ μὴ ἐντὸς φιλήματος* *: *φιλήματος* *εἰ* *
14 *πρὸς αὐτούς* delevit Huttenus

ἀρχομένῳ ὑπὸ τῶν πράξεων χρώμενος· πρὸς δὲ 210 θάλπος οὕτω καὶ ψῦχος εἶχεν, ὥστε μόνος ἀεὶ χρῆσθαι ταῖς ὥραις. ἐν μέσοις δὲ τοῖς στρατιώταις σκηνῶν οὐδενὸς ἀμείνονα κοίτην εἶχε.

19. Διετέλει δὲ λέγων τὸν ἄρχοντα οὐ μαλακίᾳ καρτερίᾳ δὲ καὶ ἀνδρείᾳ δεῖν τῶν ἰδιωτῶν περιεῖναι.

20. Πυθομένου γοῦν τινος τί περιεποίησαν οἱ Λυκούργου νόμοι τῇ Σπάρτῃ, 'καταφρονεῖν' ἔφη 'τῶν ἡδονῶν.'

21. Πρὸς δὲ τὸν ἐπιθαυμάζοντα τὴν μετριότητα τῆς ἐσθῆτος καὶ τῆς τροφῆς αὐτοῦ τε καὶ τῶν ἄλλων Λακεδαιμονίων 'ἀντὶ ταύτης' ἔφη 'τῆς διαίτης, ὦ ξένε, τὴν ἐλευθερίαν ἀμώμεθα.'

22. Ἄλλου δὲ προτρεπομένου ἀνίεσθαι καὶ λέγον- B τος διὰ τὸ τῆς τύχης ἄδηλον μήποτε καιρὸς τούτου γένηται, 'ἀλλ' ἐγώ' εἶπεν 'ἐμαυτὸν ἐθίζω λέγων ὥστ' ἐν μηδεμιᾷ μεταβολῇ μεταβολὴν ζητεῖν.'

23. Καὶ πρεσβύτης δὲ γενόμενος τῇ αὐτῇ ἀγωγῇ ἐχρῆτο· πρὸς οὖν τὸν πυθόμενον διότι σφοδροῦ χειμῶνος ὄντος ἀχίτων περιέρχεται εἰς τοῦτο ἡλικίας ἥκων, 'ἵνα' φησίν 'οἱ νέοι μιμῶνται, παράδειγμα ἔχοντες τοὺς πρεσβυτάτους καὶ ἄρχοντας.'

24. Θάσιοι δὲ τὴν χώραν αὐτῶν διαπορευομένῳ μετὰ τοῦ στρατεύματος ἄλφιτα καὶ χῆνας καὶ τραγήματα καὶ μελίπηκτα καὶ ἄλλα παντοδαπὰ βρώματά C τε καὶ πόματα πολυτελῆ ἔπεμψαν· μόνα δὲ τὰ ἄλφιτα

5 οὐ *: προσήκειν οὐ 13 ἀμώμεθα] μώμεθα Valckenarius 15 τούτου] τούτου οὐ? 16 λέγων delevit W 26 πόματα] πέμματα (καὶ μύρα)?

δεξάμενος τὰ λοιπὰ ἀπάγειν ἐκέλευσεν ὀπίσω τοὺς κομίζοντας, ὡς οὐδὲν αὐτοῖς ὄντα χρήσιμα. λιπαρούντων δὲ καὶ δεομένων πάντως λαβεῖν, ἐκέλευσεν αὐτὰ τοῖς εἵλωσι διαδίδοσθαι. πυθομένων δὲ τὴν αἰτίαν, ἔφη 'τοὺς ἀνδραγαθίαν ἀσκοῦντας τὰς τοιαύτας λιχνείας οὐχ ἁρμόζει προσίεσθαι· τὰ γὰρ δελεάζοντα τοὺς ἀνδραποδώδεις τῶν ἐλευθέρων ἀλλότρια.'

25. Πάλιν δὲ τῶν Θασίων διὰ τὸ δοκεῖν μεγάλως (D) ὑπ' αὐτοῦ εὐεργετῆσθαι ναοῖς αὐτὸν καὶ ἀποθεώσεσι τιμησάντων καὶ περὶ τούτου πρεσβείαν ἀποστειλάντων, ἀναγνοὺς τὰς τιμάς, ἃς αὐτῷ προσήνεγκαν οἱ πρέσβεις, ἠρώτησεν εἰ ἡ πατρὶς αὐτῶν ἀποθεοῦν ἀνθρώπους δύναται· φαμένων δέ, 'ἄγετ'' ἔφη 'ποιήσατε πρώτους ἑαυτοὺς θεούς· καὶ τοῦτ' ἂν πράξητε, τότε πιστεύσω ὑμῖν ὅτι κἀμὲ δυνήσεσθε θεὸν ποιῆσαι.'

26. Τῶν δὲ ἐπὶ τῆς Ἀσίας Ἑλληνικῶν ἐθνῶν ψηφισαμένων ἐν ταῖς ἐπιφανεστάταις πόλεσιν εἰκόνας ἀνιστᾶν αὐτοῦ, προσέγραψεν 'ἐμοῦ μηδεμία εἰκὼν ἔστω μηδὲ γραπτὴ μηδὲ πλαστὴ μηδὲ κατασκευαστή.'

E 27. Θεασάμενος δὲ ἐπὶ τῆς Ἀσίας οἰκίαν τετραγώνοις ὠροφωμένην δοκοῖς ἠρώτησε τὸν κεκτημένον εἰ τετράγωνα παρ' αὐτοῖς φύεται ξύλα· φαμένου δὲ οὔ, ἀλλὰ στρογγύλα, 'τί οὖν;' εἶπεν 'εἰ τετράγωνα ἦν, στρογγύλα ἐτελεῖτε;'

28. Ἐρωτηθεὶς δέ ποτε ἄχρι τίνος εἰσὶν οἱ τῆς

4 διαδίδοσθαι *: διαδιδοῦσθαι   9 ἀποθεώσει Herwerdenus   10 περὶ τούτου deleverim   14 θεούς*   20 malim μήτε ter   25 στρογγύλ' ἂν?

Λακωνικῆς ὅροι, τὸ δόρυ κραδάνας εἶπεν ‘ἄχρις οὗ τοῦτο φθάνῃ.’

29. Ἄλλου δὲ ἐπιζητοῦντος διὰ τί ἀτείχιστος ἡ Σπάρτη, ἐπιδείξας τοὺς πολίτας ἐξωπλισμένους ‘ταῦτά ἐστιν’ εἶπε ‘τὰ Λακεδαιμονίων τείχη.’

30. Ἄλλου δὲ τὸ αὐτὸ ἐπιζητοῦντος, ‘οὐ λίθοις δεῖ καὶ ξύλοις τετειχίσθαι τὰς πόλεις’ ἔφη ‘ταῖς δὲ F τῶν ἐνοικούντων ἀρεταῖς.’

31. Τοῖς δὲ φίλοις παρήγγειλε ‘μὴ χρήμασιν, ἀνδρείᾳ δὲ καὶ ἀρετῇ σπουδάζειν πλουτεῖν.’

32. Ὁπότε δὲ βούλοιτο ἔργον τι ταχέως ὑπὸ τῶν στρατιωτῶν γενέσθαι, αὐτὸς πρῶτος ἐφήπτετο ἐν ὄψει ἁπάντων.

33. Ἐμεγαλύνετο δὲ ἐπὶ τῷ μηδενὸς ἧττον πονεῖν, καὶ ἐπὶ τῷ ἄρχειν ἑαυτοῦ μᾶλλον ἢ ἐπὶ τῷ βασιλεύειν.

34. Θεωρήσας δέ τινα Λάκωνα χωλὸν ἐπὶ πόλεμον ἐξιόντα καὶ ἵππον ζητοῦντα, ‘οὐκ αἰσθάνῃ’ ἔφη ‘ὅτι οὐ φευγόντων ἀλλὰ μενόντων ὁ πόλεμος χρείαν ἔχει;’

35. Ἐρωτώμενος δὲ πῶς μεγάλην δόξαν περιεποιήσατο, ‘θανάτου καταφρονήσας’ ἔφη.

36. Ἐπιζητοῦντος δέ τινος διὰ τί Σπαρτιᾶται μετ’ αὐλῶν ἀγωνίζονται, ἔφη ‘ἵν’, ὅταν πρὸς ῥυθμὸν 211 βαίνωσιν, οἵ τε δειλοὶ καὶ οἱ ἀνδρεῖοι φανεροὶ ὦσι.’

37. Μακαρίζοντος δέ τινος τὸν Περσῶν βασιλέα νέον ὄντα κομιδῇ, εἶπεν ‘ἀλλ’ οὐδὲ Πρίαμος ταύτην ἔχων τὴν ἡλικίαν ἠτύχησε.’

38. Πολλὴν δὲ τῆς Ἀσίας ὑφ’ ἑαυτῷ ποιησάμενος διέγνω χωρεῖν ἐπ’ αὐτὸν βασιλέα, ὅπως παύσῃ

σχολὴν αὐτὸν ἄγοντα καὶ διαφθείροντα τοὺς τῶν Ἑλλήνων δημαγωγούς.

39. Μεταπεμφθεὶς δὲ ὑπὸ τῶν ἐφόρων ἕνεκα τῆς τοῦ περιεστηκότος τὴν Σπάρτην Ἑλληνικοῦ πολέμου αἰτίας διὰ τὰ ὑπὸ τοῦ Πέρσου διαπεμφθέντα χρήματα, εἰπὼν ‘τὸν ἀγαθὸν ἄρχοντα δεῖν ὑπὸ τῶν B νόμων ἄρχεσθαι’ ἀπέπλευσε τῆς Ἀσίας πολὺν ἑαυτοῦ πόθον τοῖς ἐνταῦθα Ἕλλησι καταλιπών.

40. Τοῦ δὲ Περσικοῦ νομίσματος χάραγμα τοξότην ἔχοντος, ἀναζευγνύων ἔφη ‘τρισμυρίοις τοξόταις ὑπὸ τοῦ βασιλέως ἐξελαύνεσθαι τῆς Ἀσίας·’ τοσούτων γὰρ εἰς Ἀθήνας καὶ Θήβας κομισθέντων διὰ Τιμοκράτους χρυσῶν δαρεικῶν καὶ διαδοθέντων τοῖς δημαγωγοῖς, ἐξεπολεμώθησαν οἱ δῆμοι πρὸς τοὺς Σπαρτιάτας.

41. Καὶ ἀντέγραψε τοῖς ἐφόροις ἐπιστολὴν τήνδε ‘Ἀγησίλαος τοῖς ἐφόροις χαίρειν· τὰν πολλὰν τᾶς Ἀσίας κατεστρεψάμεθα καὶ τὼς βαρβάρως ἐλάσαμες καὶ ἐν τᾷ Ἰωνίᾳ ὅπλα ἐποιήσαμες πολλά· ἐπεὶ δὲ C κέλεσθέ με κατὰ τὰν προθεσμίαν παραγίνεσθαι, ἕπομαι τᾷ ἐπιστολᾷ, σχεδὸν δ’ αὐτὰν καὶ φθάσω· ἄρχω γὰρ οὐκ ἐμαυτῷ ἀρχάν, ἀλλὰ τᾷ πόλει καὶ τοῖς συμμάχοις· καὶ τότε ἄρχων ἄρχει ἀλαθέως κατὰ δίκαν, ὅταν καὶ ἄρχηται ὑπό τε νόμων καὶ ἐφόρων ἢ οἷοι ἂν ἄλλοι ἐν πόλει ἄρχοντες ὦσιν.’

42. Ὡς δὲ διαβὰς τὸν Ἑλλήσποντον ἐβάδιζε διὰ τῆς Θρᾴκης, ἐδεήθη μὲν οὐδενὸς τῶν βαρβάρων, πέμπων δὲ πρὸς ἑκάστους ἐπυνθάνετο πότερον ὡς

15 Σπαρτιάτας Schottus: στρατιώτας

φιλίαν ἢ ὡς πολεμίαν διαπορεύηται τὴν χώραν. οἱ D μὲν οὖν ἄλλοι φιλικῶς ἐδέχοντο καὶ παρέπεμπον· οἱ δὲ καλούμενοι Τρωαδεῖς, οἷς καὶ Ξέρξης ὡς λέγεται δέδωκε δῶρα, τῆς διόδου μισθὸν ᾔτουν τὸν Ἀγησίλαον ἑκατὸν ἀργυρίου τάλαντα καὶ γυναῖκας τοσαύτας· ὁ δὲ κατειρωνευσάμενος αὐτοὺς καὶ φήσας 'τί οὖν οὐκ εὐθὺς ἦλθον ληψόμενοι;' προῆγε καὶ συμβαλὼν αὐτοῖς παρατεταγμένοις τρεψάμενος καὶ διαφθείρας πολλοὺς διῆλθε.

43. Τῷ δὲ τῶν Μακεδόνων βασιλεῖ τὸ αὐτὸ ἐρώτημα προσέπεμψε· φήσαντος δ' ἐκείνου βουλεύεσθαι, 'βουλευέσθω τοίνυν' εἶπεν 'ἡμεῖς δὲ πορευσόμεθα.' θαυμάσας οὖν τὴν τόλμαν καὶ δείσας ἐκέλευσεν ὡς φίλον προάγειν.

44. Τῶν δὲ Θετταλῶν τοῖς πολεμίοις συμμαχούν- E των, ἐπόρθει τὴν χώραν· εἰς δὲ Λάρισσαν ἔπεμψε Ξενοκλέα καὶ Σκύθην περὶ φιλίας. συλληφθέντων δὲ τούτων καὶ παραφυλαττομένων, οἱ μὲν ἄλλοι βαρέως φέροντες ᾤοντο δεῖν τὸν Ἀγησίλαον περιστρατοπεδεύσαντα πολιορκεῖν τὴν Λάρισσαν· ὁ δὲ φήσας οὐκ ἂν ἐθελῆσαι Θεσσαλίαν ὅλην λαβεῖν ἀπολέσας τῶν ἀνδρῶν τὸν ἕτερον, ὑποσπόνδους αὐτοὺς ἀπέλαβε.

45. Πυθόμενος δὲ μάχην γεγονέναι περὶ Κόρινθον, καὶ Σπαρτιατῶν μὲν παντάπασιν ὀλίγους τεθνά- F ναι, Κορινθίων δὲ καὶ Ἀθηναίων καὶ τῶν ἄλλων συμμάχων αὐτοῖς παμπόλλους, οὐκ ὤφθη περιχαρὴς

3 Τρωαδεῖς] Τράλλεις Vit. Ages. c. 16   14 προάγειν Cobetus ex Vit. Ages. c. 16: προαιρεῖν

οὐδ' ἐπηρμένος τῇ νίκῃ, ἀλλὰ καὶ πάνυ βαρὺ στενάξας 'φεῦ τᾶς Ἑλλάδος' ἔφη 'ἣ τοσούτους ὑφ' αὑτᾶς ἀπολώλεκεν, ὅσοις ἀρκεῖ τὼς βαρβάρως νικᾶν ἅπαντας.'

46. Φαρσαλίων δὲ προσκειμένων καὶ κακουργούντων αὐτοῦ τὸ στράτευμα, πεντακοσίοις ἱππεῦσι τρεψάμενος αὐτοὺς τρόπαιον ἔστησεν ὑπὸ τῷ Ναρθακίῳ· καὶ τὴν νίκην ἐκείνην πάντων ὑπερηγάπησεν, ὅτι συστησάμενος τὸ ἱππικὸν αὐτὸς δι' ἑαυτοῦ, τούτῳ μόνῳ τοὺς μέγιστον ἐφ' ἱππικῇ φρονοῦντας ἐκράτησε.

212 47. Διφρίδα δὲ οἴκοθεν ἀπαγγείλαντος αὐτῷ εὐθὺς ἐκ παρόδου ἐμβαλεῖν εἰς τὴν Βοιωτίαν, καίτοι ἐκ μείζονος παρασκευῆς ὕστερον τοῦτο ποιῆσαι διανοούμενος, οὐκ ἀπειθήσας τοῖς ἄρχουσι, μεταπεμψάμενος δύο μόρας τῶν περὶ Κόρινθον στρατευομένων ἐπέβη τῆς Βοιωτίας. καὶ συμβαλὼν ἐν Κορωνείᾳ Θηβαίοις Ἀθηναίοις Ἀργείοις Κορινθίοις Λοκροῖς ἀμφοτέροις ἐνίκησε, καίτοι ὑπὸ πολλῶν τραυμάτων κακῶς τὸ σῶμα διακείμενος, τὴν μεγίστην μάχην ὥς φησι Ξενοφῶν τῶν καθ' ἑαυτὸν γενομένων.

48. Οὐδὲν δὲ τῶν περὶ τὸν βίον καὶ τὴν δίαιταν διὰ τὰς τοσαύτας εὐτυχίας καὶ νίκας ἤλλαξεν οἴκαδ' ἐπανελθών.

B 49. Ὁρῶν δ' ἐνίους τῶν πολιτῶν ἀπὸ ἱπποτροφίας δοκοῦντας εἶναί τινας καὶ μεγαλοφρονοῦντας, ἔπεισε τὴν ἀδελφὴν Κυνίσκαν ἅρμα καθεῖσαν Ὀλυμ-

16 μόρας Turnebus: μοίρας vel μυριάδας 21 Ξενοφῶν] Hist. Gr. 4, 3, 16. Ages. 2, 9 27 καθεῖσαν Cobetus: καθίσασαν

πίασιν ἀγωνίσασθαι, βουλόμενος ἐνδείξασθαι τοῖς Ἕλλησιν ὡς οὐδεμιᾶς ἐστιν ἀρετῆς πλούτου δὲ καὶ δαπάνης τὰ τοιαῦτα.

50. Ξενοφῶντα δὲ τὸν σοφὸν ἔχων μεθ' ἑαυτοῦ σπουδαζόμενον, ἐκέλευε τοὺς παῖδας ἐν Λακεδαίμονι τρέφειν μεταπεμψάμενον, τὸ κάλλιστον τῶν μαθημάτων παιδευθησομένους, ἄρχειν τε καὶ ἄρχεσθαι.

51. Ἄλλοτε δ' ἐρωτώμενος διὰ τί μάλιστα παρὰ C τοὺς ἄλλους εὐδοκιμοῦσιν οἱ Σπαρτιᾶται, 'διότι' εἶπε 'παρὰ τοὺς ἄλλους ἀσκοῦσιν ἄρχειν τε καὶ ἄρχεσθαι.'

52. Λυσάνδρου δὲ τελευτήσαντος, εὑρὼν ἑταιρείαν πολλὴν συνεστῶσαν, ἣν ἐκεῖνος εὐθὺς ἐπανελθὼν ἀπὸ τῆς Ἀσίας συνέστησεν ἐπὶ τὸν Ἀγησίλαον, ὥρμησεν αὐτὸν ἐξελέγχειν οἷος ἦν ζῶν πολίτης. καὶ λόγον ἀναγνοὺς ἐν βιβλίῳ ἀπολελειμμένον, ὃν ἔγραψε μὲν Κλέων ὁ Ἁλικαρνασσεύς, ἔμελλε δὲ λέγειν ἀναλαβὼν ὁ Λύσανδρος ἐν τῷ δήμῳ περὶ πραγμάτων καινῶν καὶ μεταστάσεως τοῦ πολιτεύματος, ἠθέλησεν εἰς μέσον ἐξενεγκεῖν· ἐπεὶ δέ τις τῶν γερόντων τὸν D λόγον ἐπελθὼν καὶ φοβηθεὶς τὴν δεινότητα συνεβούλευσε μὴ τὸν Λύσανδρον ἀνορύττειν, ἀλλὰ τὸν λόγον μᾶλλον αὐτῷ συγκατορύττειν, ἐπείσθη καὶ ἡσύχασε.

53. Τοὺς δὲ ὑπεναντιουμένους αὐτῷ φανερῶς μὲν οὐκ ἐτάραττε· διαπραττόμενος δὲ πέμπεσθαί τινας ἀεὶ στρατηγοὺς καὶ ἄρχοντας ἐξ αὐτῶν ἐπεδείκνυε γενο-

26 δὲ πέμπεσθαι *: δ' ἕπεσθαι   27 ἐπεδείκνυε *: ἐπιδείκνυε

μένους ἐν ταῖς ἐξουσίαις πονηροὺς καὶ πλεονέκτας· εἶτα κρινομένοις πάλιν αὖ βοηθῶν καὶ συναγωνιζόμενος οἰκείους ἐποιεῖτο καὶ μεθίστη πρὸς ἑαυτόν, ὥστε οὐδένα ἀντίπαλον εἶναι.

E 54. Ἐδεήθη τις αὐτοῦ γράψαι πρὸς τοὺς ἐπ' Ἀσίας ξένους, ὅπως τύχῃ τοῦ δικαίου· 'ἀλλ' οἱ ἐμοὶ ξένοι' εἶπε 'τὰ δίκαια δι' ἑαυτῶν, κἂν ἐγὼ μὴ γράψω, ποιοῦσιν.'

55. Ἐπεδείκνυέ τις αὐτῷ τῆς πόλεως τὸ τεῖχος ὀχυρὸν καὶ καρτερῶς ἄγαν ἐξῳκοδομημένον, καὶ ἠρώτα εἰ καλὸν αὐτῷ φαίνεται· 'νὴ Δία' ἔφη 'καλὸν οὐχ ὡς ἀνδράσι δὲ ἀλλ' ὡς γυναιξὶν ἐνοικεῖν.'

56. Μεγαρέως δέ τινος περὶ τῆς πόλεως πρὸς αὐτὸν μεγαλαυχουμένου, 'μειράκιον' ἔφη 'οἱ λόγοι σου πολλῆς δυνάμεως δέονται.'

F 57. Ἃ δὲ τοὺς ἄλλους ἑώρα θαυμάζοντας ἐδόκει μηδὲ γινώσκειν. καί ποτε Καλλιππίδης ὁ τῶν τραγῳδιῶν ὑποκριτής, ὄνομα καὶ δόξαν ἔχων ἐν τοῖς Ἕλλησι καὶ σπουδαζόμενος ὑπὸ πάντων, πρῶτον μὲν ἀπήντησεν αὐτῷ καὶ προσεῖπεν, ἔπειτα σοβαρῶς εἰς τοὺς συμπεριπατοῦντας ἐμβαλὼν ἑαυτὸν ἐπεδείκνυτο, νομίζων ἐκεῖνον ἄρξειν τινὸς φιλοφρονήσεως· τέλος δὲ εἶπεν 'οὐκ ἐπιγινώσκεις με, ὦ βασιλεῦ, οὐδ' ἤκουσας ὅστις εἰμί;' ὁ δ' Ἀγησίλαος ἀποβλέψας εἰς αὐτὸν εἶπεν 'ἀλλ' οὐ τύ ἐσσι Καλλιππίδας ὁ δεικηλίκτας;' οὕτω δὲ Λακεδαιμόνιοι τοὺς μίμους καλοῦσι.

58. Τοῦ δὲ μιμουμένου τὴν τῆς ἀηδόνος φωνὴν

15 πολλῆς δυνάμεως] πόλεως Cobetus 22 ἄρξειν *: ἄρξαι 25 εἶπεν *

ἀκοῦσαι παρακαλούμενος, παρῃτήσατο φήσας ʽαὐτᾶς ἄκουκα πολλάκις.ʼ

59. *Μενεκράτους δὲ τοῦ ἰατροῦ, ἐπεὶ κατατυχὼν* 213 *ἔν τισιν ἀπεγνωσμέναις θεραπείαις Ζεὺς ἐπεκλήθη, φορτικῶς ταύτῃ χρωμένου τῇ προσωνυμίᾳ, καὶ δὴ πρὸς τὸν Ἀγησίλαον ἐπιστεῖλαι τολμήσαντος οὕτω ʽΜενεκράτης Ζεὺς βασιλεῖ Ἀγησιλάῳ χαίρεινʼ, οὐκ ἀναγνοὺς τὰ λοιπὰ ἀντέγραψε ʽβασιλεὺς Ἀγησίλαος Μενεκράτει ὑγιαίνειν.ʼ*

60. *Ἐπεὶ δὲ Κόνων καὶ Φαρνάβαζος τῷ βασιλέως ναυτικῷ θαλαττοκρατοῦντες ἐπολιόρκουν τὰ παράλια τῆς Λακωνικῆς, ἐτειχίσθη δὲ τὸ ἄστυ τῶν Ἀθηναίων Φαρναβάζου χρήματα δόντος, εἰρήνην ἐποιήσαντο Λακεδαιμόνιοι πρὸς βασιλέα· καὶ πέμ-* B *πουσι πολίτην Ἀνταλκίδαν πρὸς Τιρίβαζον, τοὺς ἐν τῇ Ἀσίᾳ Ἕλληνας, ὑπὲρ ὧν ἐπολέμησεν Ἀγησίλαος, βασιλεῖ παραδιδόντες. ὅθεν δὴ ἥκιστα συνέβη τῆς κακοδοξίας ταύτης Ἀγησιλάῳ μετασχεῖν· ὁ γὰρ Ἀνταλκίδας ἐχθρὸς ἦν αὐτῷ, καὶ τὴν εἰρήνην ἐξ ἅπαντος ἔπραττεν, ὡς τοῦ πολέμου τὸν Ἀγησίλαον αὔξοντος καὶ ποιοῦντος ἐνδοξότατον καὶ μέγιστον.*

61. *Οὐ μὴν ἀλλὰ καὶ πρὸς τὸν εἰπόντα μηδίζειν τοὺς Λακεδαιμονίους ἀπεκρίθη ʽμᾶλλον τοὺς Μήδους λακωνίζειν.ʼ*

62. *Ἐρωτηθεὶς δέ ποτε ὁποτέρα βελτίων τῶν* C *ἀρετῶν, ἀνδρεία ἢ δικαιοσύνη, ʽοὐδὲν ὄφελος ἀνδρείαςʼ ἔφασκεν ʽεἶναι μὴ παρούσης δικαιοσύνης· εἰ*

14 *καὶ*] om. mei codd. 15 *Τιρίβαζον* *: *τηρίβαζον*
17 *ἥκιστα* Iannotius: *κάκιστα*

δὲ δίκαιοι πάντες γένοιντο, μηδὲν ἀνδρείας δεηθήσεσθαι.'

63. Εἰθισμένων δὲ τῶν τὴν Ἀσίαν κατοικούντων τὸν Περσῶν βασιλέα μέγαν προσαγορεύειν, 'τί δαὶ ἐκεῖνος ἐμοῦ μείζων' ἔφη, 'εἰ μὴ δικαιότερος καὶ σωφρονέστερος;'

64. Ἔλεγε δὲ τοὺς τὴν Ἀσίαν κατοικοῦντας ἐλευθέρους μὲν κακούς, δούλους δὲ ἀγαθοὺς εἶναι.

65. Ἐρωτηθεὶς δὲ πῶς ἄν τις μάλιστα εὐδοκιμοίη παρ' ἀνθρώποις 'εἰ λέγοι' εἶπε 'τὰ ἄριστα, πράττοι δὲ τὰ κάλλιστα.'

66. Τὸν δὲ στρατηγὸν δεῖν ἔφασκε πρὸς μὲν τοὺς ἐναντίους τόλμαν, πρὸς δὲ τοὺς ὑποτεταγμένους εὔνοιαν ἔχειν.

D 67. Ἐπιζητοῦντος δέ τινος τίνα δεῖ μανθάνειν τοὺς παῖδας, 'ταῦτ'' εἶπεν 'οἷς καὶ ἄνδρες γενόμενοι χρήσονται.'

68. Δικάζοντος δέ τινα δίκην αὐτοῦ, καὶ τοῦ μὲν κατηγόρου εὖ εἰρηκότος τοῦ δὲ ἀπολογουμένου φαύλως, λέγοντος δὲ πρὸς ἕκαστα 'Ἀγησίλαε, δεῖ τὸν βασιλέα τοῖς νόμοις βοηθεῖν,' 'καὶ τὴν οἰκίαν' ἔφη 'εἴ τίς σοι διέσκαπτε καὶ τὸ ἱμάτιον εἰ ἀφῃρεῖτο, προσεδέχου ἂν τὸν οἰκοδόμον ἢ τὸν τὸ ἱμάτιον ὑφάναντα ἐπικουρήσειν σοι;'

69. Ἐπιστολῆς δὲ αὐτῷ παρὰ τοῦ Περσῶν βασιλέως κομισθείσης, τῆς εἰρήνης γενομένης ἣν ὁ μετὰ Καλλίου τοῦ Λακεδαιμονίου Πέρσης ἤνεγκε, περὶ

1 μηδὲν] μηδένα Cobetus δεηθήσεσθαι] δεήσεσθαι idem

ξενίας καὶ φιλίας, οὐκ ἔλαβεν εἰπὼν ἀπαγγεῖλαι E βασιλεῖ ὡς ‘ἰδίᾳ μὲν πρὸς αὐτὸν οὐδὲν δέοι ἐπιστολὰς πέμπειν· ἢν δὲ φίλος τῇ Λακεδαίμονι καὶ τῇ Ἑλλάδι εὔνους ὢν φαίνηται, ὅτι καὶ αὐτὸς φίλος αὐτῷ κατὰ κράτος ἔσοιτο· ἐὰν μέντοι ἐπιβουλεύων ἁλίσκηται, μηδ’ ἂν πάνυ πολλὰς δέχωμαι ἐπιστολάς, πιστευέτω φίλον με ἕξειν.’

70. Φιλοτεκνότατος δ’ ὢν διαφερόντως, λέγεται ὅτι μικροῖς τοῖς παιδίοις κάλαμον περιβεβηκὼς ὥσπερ ἵππον οἴκοι συνέπαιζεν· ὀφθεὶς δὲ ὑπό τινος τῶν φίλων παρεκάλει μηδενὶ φράζειν, πρὶν καὶ αὐτὸς πατὴρ παίδων γένηται.

71. Συνεχῶς δὲ αὐτοῦ τοῖς Θηβαίοις πολεμοῦν- F τος καὶ τρωθέντος ἐν τῇ μάχῃ, φασὶ τὸν Ἀνταλκίδαν εἰπεῖν ‘καλὰ τὰ διδασκάλια παρὰ Θηβαίων ἀπολαμβάνεις, μὴ βουλομένους αὐτοὺς μηδ’ ἐπισταμένους μάχεσθαι διδάξας.’ τῷ γὰρ ὄντι Θηβαίους αὐτοὺς ἑαυτῶν πολεμικωτάτους τότε φασὶ γενέσθαι ταῖς πολλαῖς στρατείαις τῶν Λακεδαιμονίων ἐπ’ αὐτούς. διὸ καὶ Λυκοῦργος ὁ παλαιὸς ἐν ταῖς καλουμέναις Ῥήτραις ἀπεῖπε πολλάκις ἐπὶ τοὺς αὐτοὺς στρατεύειν, ὅπως πολεμεῖν μὴ μανθάνωσιν.

72. Ἐπεὶ δὲ ἤκουσέ ποτε δυσχερᾶναι τοὺς συμμάχους διὰ τὰς συνεχεῖς στρατείας, ὀλίγοις οὖσι 214 τοῖς Λακεδαιμονίοις πολλοὺς ἀκολουθοῦντας, ἐλέγξαι βουλόμενος αὐτῶν τὸ πλῆθος ἐκέλευσεν ἅπαντας

8 φιλοτεκνότατος δ’ ὢν διαφερόντως] aut corrigendum φιλότεκνοι aut cum uno codice delendum διαφερόντως
25 πολλοὺς ἀκολουθοῦντας M: πολλοὶ ἀκολουθοῦντες

τοὺς συμμάχους καθίσαι μετ' ἀλλήλων ἀναμεμιγμένους, ἰδίᾳ δὲ τοὺς Λακεδαιμονίους ἐφ' ἑαυτῶν· εἶτα ἐκήρυττε τοὺς κεραμεῖς ἀνίστασθαι πρώτους, ὡς δὲ ἀνέστησαν οὗτοι, δευτέρους ἐκήρυττε τοὺς χαλκεῖς, εἶτα τέκτονας ἐφεξῆς καὶ οἰκοδόμους, καὶ τῶν ἄλλων τεχνῶν ἑκάστην. πάντες οὖν ὀλίγου δεῖν ἀνέστησαν οἱ σύμμαχοι, τῶν δὲ Λακεδαιμονίων οὐδείς· ἀπείρητο γὰρ αὐτοῖς τέχνην ἐργάζεσθαι καὶ μανθάνειν βάναυσον. οὕτω δὴ γελάσας ὁ Ἀγησίλαος 'ὁρᾶτε' εἶπεν 'ὦ ἄνδρες, ὅσῳ πλείονας ὑμῶν B στρατιώτας ἐκπέμπομεν ἡμεῖς;'

73. Ἐν δὲ τῇ περὶ Λεῦκτρα μάχῃ, πολλῶν Λακεδαιμονίων φυγόντων καὶ τούτων ταῖς ἐκ τοῦ νόμου αἰτίαις ὑπευθύνων ὄντων, οἱ ἔφοροι ἔρημον ἀνδρῶν τὴν πόλιν ὁρῶντες δεομένην στρατιωτῶν ἐβούλοντο τὴν ἀτιμίαν λῦσαι καὶ τοὺς νόμους τηρεῖν. αἱροῦνται οὖν νομοθέτην τὸν Ἀγησίλαον· ὁ δὲ προσελθὼν εἰς τὸ δημόσιον 'νομοθέτης μὲν οὐκ ἂν γενοίμην ἑτέρων νόμων' εἶπε, 'τοῖς γὰρ οὖσιν οὔτ' ἂν C προσθείην τι οὔτ' ἂν ἀφέλοιμι οὔτε μεταποιήσαιμι· τοὺς δὲ ὄντας ἡμῖν νόμους κυρίους εἶναι καλῶς ἔχον ἐστὶν ἀπὸ τῆς αὔριον.'

74. Τὸν δ' Ἐπαμεινώνδαν ἐπελθόντα μετὰ τοσούτου ῥεύματος καὶ κλύδωνος, τῶν Θηβαίων καὶ συμμάχων μεγαλαυχουμένων ἐπὶ τῇ νίκῃ, ὅμως εἶρξε τῆς πόλεως καὶ ἀναστρέψαι ἐποίησεν, ὀλίγων ὄντων τῶν ἐν τῇ πόλει.

75. Ἐν δὲ τῇ περὶ Μαντίνειαν μάχῃ παρεκε-

8 καὶ *

λεύσατο τοῖς Λακεδαιμονίοις τοὺς ἄλλους ἐάσαντας πάντας Ἐπαμεινώνδᾳ μάχεσθαι, μόνους λέγων τοὺς ἔμφρονας ἀνδρείους εἶναι καὶ μόνους νίκης αἰτίους ὑπάρχειν· ‘εἰ οὖν τοῦτον ἀνέλοιμεν, ῥᾷστα τοὺς ἄλλους ὑποχειρίους ποιήσειν· ἄφρονας γὰρ εἶναι καὶ οὐδενὸς ἀξίους.’ ὃ καὶ συνέβη· τῆς γὰρ νίκης σὺν D Ἐπαμεινώνδᾳ οὔσης καὶ φυγῆς γενομένης, ἐπιστραφέντα αὐτὸν καὶ ἀνακαλούμενον τοὺς ἰδίους τῶν Λακεδαιμονίων τις καιρίως ἐπάταξε, καὶ πεσόντος ἀναστρέψαντες ἀπὸ τῆς φυγῆς οἱ σὺν Ἀγησιλάῳ ἐφάμιλλον τὴν νίκην ἐποίησαν, παρὰ πολὺ μὲν τῶν Θηβαίων χειρόνων παρὰ πολὺ δὲ τῶν Λακεδαιμονίων ἀμεινόνων φανέντων.

76. Χρημάτων δὲ δεομένης τῆς Σπάρτης πρὸς πόλεμον καὶ ξενοτροφούσης, ἐπορεύθη ὁ Ἀγησίλαος εἰς Αἴγυπτον μεταπεμφθεὶς ὑπὸ τοῦ βασιλέως Αἰγυπτίων ἐπὶ μισθῷ· διὰ δὲ τὸ λιτὸν τῆς ἐσθῆτος εἰς καταφρόνησιν ἦλθε τοῖς ἐγχωρίοις· προσεδόκων γὰρ τὸν Σπάρτης βασιλέα καθάπερ τὸν Περσῶν κεκο- E σμημένον ὄψεσθαι διαπρεπῶς τὸ σῶμα, φαύλην ἔχοντες περὶ βασιλέων δόξαν. ἔδειξε γοῦν αὐτοῖς μεταξύ, ὡς τὸ μεγαλεῖον καὶ ἀξιόλογον νοήσει καὶ ἀνδρείᾳ κτᾶσθαι προσήκει.

77. Ἐπεὶ δὲ τοὺς παρ’ αὐτῷ παραστήσεσθαι μέλλοντας ἑώρα δεδιότας τὸν ἐπιόντα κίνδυνον διὰ τὸ τῶν πολεμίων πλῆθος (εἴκοσι γὰρ ἦσαν μυριάδες) καὶ τὴν τῶν περὶ αὐτὸν ὀλιγότητα, πρὸ τῆς παρα-

9 καιρίως] καιρίαν Cobetus 12 χειρόνων delevit Madvigius

F τάξεως ἔγνω προθύσαθαι ἀσυνειδήτως τοῖς ἄλλοις· καὶ ἐπὶ τὴν ἀριστερὰν ὑπεστρωμένη τῇ χειρὶ νίκην προσέγραψε. καὶ λαβὼν παρὰ τοῦ μάντεως τὸ ἧπαρ ἐπέθηκε μὲν ἐπὶ τὴν ὑπογεγραμμένην χεῖρα· κρατῶν δὲ ἐφ' ἱκανὸν χρόνον ὑπέφαινε δισταγμὸν καὶ προσποίησιν ἔχειν ἀποροῦντος, μέχρι τῷ ἥπατι συναναληφθέντες ἐτυπώθησαν οἱ τῶν γραμμάτων χαρακτῆρες. καὶ τότε τοῖς συναγωνίζεσθαι μέλλουσιν ἐπεδείκνυε, φάμενος τοὺς θεοὺς διὰ τῶν γεγραμμένων ἐκφῆναι νίκην. ἀσφαλὲς οὖν τεκμήριον δόξαντες ἔχειν τοῦ κρατῆσαι ἐθάρρησαν πρὸς τὴν μάχην.

78. *Περιταφρευόντων δὲ τῶν πολεμίων τὸ στρατόπεδον αὐτοῦ διὰ τὸ πλῆθος, καὶ Νεκτανάβιος, ᾧ συνεμάχει, ἀξιοῦντος ἐπεξιέναι καὶ διαμάχεσθαι, οὐκ ἔφη διακωλύειν τοὺς πολεμίους ἴσους αὐτοῖς γενέ-
215 σθαι βουλομένους. ἔτι δὲ μικρὸν ἀπολιπούσης τῆς τάφρου συνάψαι, κατὰ τοῦτο παρατάξας τὸ διαλεῖπον καὶ πρὸς ἴσους ἴσοις ἀγωνισάμενος τροπὴν ἐποιήσατο καὶ πολὺν φόνον τῶν πολεμίων ὀλίγοις τοῖς περὶ αὐτὸν στρατιώταις καὶ χρήματα πολλὰ τῇ πόλει διεπέμψατο.

79. *Κατὰ δὲ τὸν Αἰγύπτου ἀπόπλουν ἀποθνήσκων ἐνετείλατο τοῖς περὶ αὐτὸν μήτε πλαστὰν μήτε γραπτὰν μήτε μιμηλὰν τοῦ σώματος εἰκόνα ποιήσασθαι, 'εἰ γάρ τι καλὸν ἔργον πεποίηκα, τοῦτό μου μνημεῖον ἔσται· εἰ δὲ μή, οὐδ' οἱ πάντες ἀνδριάντες, βαναύσων καὶ οὐδενὸς ἀξίων ἔργα ὄντες.'

2 ὑπεστρωμένη] ὑπεστραμμένην M 13 Νεκτανάβιος W: νεκτάβιος 22 Αἰγύπτου] malim ἀπ' Αἰγύπτου

ΑΓΗΣΙΠΟΛΙΔΟΣ ΤΟΥ ΚΛΕΟΜΒΡΟΤΟΥ. B

1. Ἀγησίπολις ὁ Κλεομβρότου, εἰπόντος τινὸς ὅτι Φίλιππος ἐν ὀλίγαις ἡμέραις Ὄλυνθον κατέσκαψε, ‘μὰ τοὺς θεούς’ εἶπεν ‘ἄλλην τοιαύτην ἐν πολλαπλασίονι χρόνῳ οὐκ οἰκοδομήσει.’

2. Ἄλλου δὲ εἰπόντος ὅτι μετὰ τῶν ἀκμαζόντων βασιλεύων ὡμήρευσε καὶ οὐχ οἱ παῖδες οὐδ’ αἱ γυναῖκες αὐτῶν, ‘δικαίως’ εἶπεν· ‘αὐτοὺς γὰρ ἡμᾶς καλῶς ἔχον ἐστὶ τὰς αὑτῶν ἁμαρτίας φέρειν.’

3. Βουλομένου δ’ αὐτοῦ σκύλακας οἴκοθεν μεταπέμψασθαι, ὥς τις εἶπεν ‘οὐκ ἔστιν ἐξαγωγὴ παρ’ αὐτῶν’, ‘οὐδὲ γὰρ ἀνδρῶν’ ἔφη ‘πρόσθεν, ἀλλὰ νῦν C ἐγένετο.’

ΑΓΗΣΙΠΟΛΙΔΟΣ ΤΟΥ ΠΑΥΣΑΝΙΟΥ.

Ἀγησίπολις ὁ Παυσανίου, Ἀθηναίων πρὸς αὐτὸν περὶ ὧν εἶχον πρὸς ἀλλήλους ἐγκλημάτων τὴν τῶν Μεγαρέων πόλιν ἔκκλητον λαμβανόντων, ‘αἰσχρόν’ ἔφη ‘ὦ Ἀθηναῖοι, τοὺς ἀφηγησαμένους τῶν Ἑλλήνων ἧσσον εἰδέναι Μεγαρέων τὸ δίκαιον.’

ΑΓΙΔΟΣ ΤΟΥ ΑΡΧΙΔΑΜΟΥ.

1. Ἆγις ὁ Ἀρχιδάμου, τῶν ἐφόρων ποτὲ εἰπόντων ‘βάδιζε τοὺς ἡβῶντας ἔχων ἐπὶ τὴν τούτου πατρίδα· ἡγήσεται δέ σοι αὐτὸς οὗτος ἐπὶ τὴν ἀκρόπολιν’, D ‘καὶ πῶς’ εἶπε ‘καλῶς ἔχον ἐστίν, ὦ ἔφοροι, τοσούτους νέους πιστεύειν τῷ τὴν ἑαυτοῦ πατρίδα προδιδόντι;’

2. Ἐρωτηθεὶς δὲ τί μάλιστα μάθημα ἐν Σπάρτῃ ἀσκεῖται ‘τὸ γινώσκειν’ εἶπεν ‘ἄρχειν τε καὶ ἄρχεσθαι.’

3. Οὐκ ἔφη δὲ τοὺς Λακεδαιμονίους ἐρωτᾶν πόσοι εἰσὶν οἱ πολέμιοι, ἀλλὰ ποῦ εἰσίν.

4. Ἐν δὲ Μαντινείᾳ κωλυόμενος διαμάχεσθαι τοῖς πολεμίοις πλείοσιν οὖσιν, εἶπεν ‘ἀνάγκη πολλοῖς μάχεσθαι τὸν ἄρχειν πολλῶν βουλόμενον.’

5. Πυνθανομένου δέ τινος πόσοι εἰσὶν οἱ Λακεδαιμόνιοι, ‘ὅσοι ἱκανοί’ εἶπε ‘τοὺς κακοὺς ἀπερύκειν.’

6. Διερχόμενος δὲ τὰ τῶν Κορινθίων τείχη καὶ θεασάμενος ὑψηλά τε καὶ ὀχυρὰ ἐπὶ πολύ τε παρα-
E τείνοντα, ‘τίνες’ εἶπεν ‘αἱ τὸν τόπον κατοικοῦσι γυναῖκες;’

7. Σοφιστοῦ δέ τινος εἰπόντος ‘πάντων λόγος ἐστὶ κράτιστον’, ‘οὐκοῦν’ ἔφη ‘σὺ ἐὰν σιωπᾷς οὐδενὸς ἄξιος εἶ.’

8. Ὡς δὲ Ἀργεῖοι μετὰ τὴν ἧτταν ἀπήντων αὐτῷ πάλιν θρασύτερον, ταρασσομένους ὁρῶν τοὺς συμμάχους ‘θαρρεῖτε’ εἶπεν ‘ὦ ἄνδρες· ὅπου γὰρ ἡμεῖς οἱ νικῶντες ὀρρωδοῦμεν, τί δοκεῖτε ποιεῖν τοὺς ὑφ’ ἡμῶν νενικημένους;’

9. Πρὸς δὲ τὸν ἐκ τῶν Ἀβδήρων πρεσβευτήν,
F ὅτε κατεπαύσατο πολλὰ εἰπών, ἐρωτῶντα τί τοῖς πολίταις ἀπαγγείλῃ, ‘ὅτι’ ἔφη ‘ὅσον σὺ χρόνον λέγειν ἔχρῃζες, τοσοῦτον ἐγὼ σιωπῶν ἤκουον.’

10. Ἐπαινούντων δέ τινων Ἠλείους, ὅτι δικαιότατοί εἰσι περὶ τὸν ἀγῶνα τῶν Ὀλυμπίων, ‘καὶ τί

μέγα' εἶπεν 'ἢ θαυμαστὸν ποιοῦσιν, εἰ ἐν ἔτεσι πέντε μιᾷ μόνον ἡμέρᾳ δικαιοσύνῃ χρῶνται;'

11. *Πρὸς δὲ τοὺς φάσκοντας ὅτι φθονοῦσί τινες αὐτῷ τῶν ἐκ τῆς ἑτέρας οἰκίας, 'οὐκοῦν' ἔφη 'τὰ ἴδια αὐτοὺς κακὰ λυπήσει, καὶ πρὸς τούτοις τά τε ἐμὰ καὶ τὰ τῶν ἐμῶν φίλων ἀγαθά.'*

12. *Συμβουλεύοντος δέ τινος ὅτι δεῖ τοῖς φεύγουσι τῶν πολεμίων διδόναι δίοδον, 'καὶ πῶς' ἔφη 'τοῖς διὰ δειλίαν φεύγουσι μὴ μαχόμενοι τοῖς δι' ἀνδρείαν μένουσι μαχεσόμεθα;'*

13. *Προφερομένου δέ τινος περὶ τῆς τῶν Ἑλλή-* 216
νων ἐλευθερίας οὐκ ἀγεννῆ μέν, δυσχερῆ δὲ ἐπιτελεσθῆναι, 'προσδέονταί σου ὦ ξένε' ἔφη 'οἱ λόγοι δυνάμεως καὶ χρημάτων.'

14. *Λέγοντος δέ τινος ὅτι Φίλιππος αὐτοῖς ἀνεπίβατον τὴν Ἑλλάδα ποιήσει, 'ἱκανὴ ἡμῖν' ἔφη 'ὦ ξένε ἡ ἐν τῇ ἰδίᾳ ἀναστροφή.'*

15. *Πρεσβευτὴς ἐκ Περίνθου παραγενόμενος εἰς Λακεδαίμονα ἐμακρηγόρει· ὡς δὲ ἐπαύσατο λέγων καὶ ἠρώτα τὸν Ἆγιν τί δεῖ τοῖς Περινθίοις ἀπαγγεῖλαι, 'τί δ' ἄλλο' ἔφη 'ἢ ὅτι σὺ μὲν μόλις ἐπαύσω λέγων, ἐγὼ δὲ σιωπῶν;'*

16. *Πρεσβεύων δὲ μόνος ἧκε πρὸς Φίλιππον·* B
εἰπόντος δ' ἐκείνου 'τί τοῦτο; μόνος ἥκεις;' ἔφη 'καὶ γὰρ πρὸς ἕνα.'

17. *Φήσαντος δέ τινος τῶν πρεσβυτέρων πρὸς αὐτὸν γηραιὸν ὄντα, ἐπειδὴ τὰ ἀρχαῖα νόμιμα ἐκλυό-*

11 *προφερομένου* W: *προσφερομένου* 22 *δὲ σιωπῶν* W: *δ' ἐσιώπων*

μενα ἑώρα ἄλλα δὲ παρεισδυόμενα μοχθηρά, διότι τὰ ἄνω κάτω ἤδη γίνεται ἐν τῇ Σπάρτῃ, παίζων εἶπε 'κατὰ λόγον οὕτω προβαίνει τὰ πράγματα, εἰ τοῦτο γίνεται· καὶ γὰρ ἐγὼ παῖς ὢν ἤκουον παρὰ τοῦ πατρός, ὅτι τὰ ἄνω κάτω γέγονε παρ' αὐτοῖς·' ἔφη δὲ καὶ τὸν πατέρα αὐτῷ παιδὶ ὄντι τοῦτο εἰρηκέναι· 'ὥστε οὐ χρὴ θαυμάζειν, εἰ χείρω τὰ μετὰ ταῦτα
C τῶν προτέρων, ἀλλ' εἴ που βελτίω καὶ παραπλήσια γένοιτο.'

18. Ἐρωτηθεὶς δὲ πῶς ἄν τις ἐλεύθερος διαμένοι, 'θανάτου καταφρονῶν' ἔφη.

ΑΓΙΔΟΣ ΤΟΥ ΝΕΩΤΕΡΟΥ.

1. Ἆγις ὁ νεώτερος, Δημάδου λέγοντος ὅτι τὰ Λακωνικὰ ξίφη διὰ μικρότητα καταπίνουσιν οἱ θαυματοποιοί, 'καὶ μήν' ἔφη 'οἱ Λακεδαιμόνιοι τῶν πολεμίων τοῖς ξίφεσιν ἐφικνοῦνται.'

2. Πρὸς δὲ ἄνθρωπον πονηρὸν ἐρωτῶντα πολλάκις τίς ἄριστος εἴη Σπαρτιάτης 'ὁ σοὶ ἀνομοιότατος.'

ΑΓΙΔΟΣ ΤΟΥ ΤΕΛΕΥΤΑΙΟΥ.

D Ἆγις ὁ τελευταῖος τῶν Λακεδαιμονίων βασιλέων ἐξ ἐνέδρας συλληφθεὶς καὶ καταδικασθεὶς ὑπὸ τῶν ἐφόρων χωρὶς δίκης, ἀπαγόμενος ἐπὶ τὸν βρόχον ἰδών τινα τῶν ὑπηρετῶν κλαίοντα, 'παῦσαι' εἶπεν 'ὦ ἄνθρωπε ἐπ' ἐμοὶ κλαίειν· καὶ γὰρ οὕτω παρα-

17 σοὶ] σοὶ ἔφη? 23 κλαίειν] κλαίων Vit. Agid. c. 20

νόμως καὶ ἀδίκως ἀπολλύμενος, κρείσσων εἰμὶ τῶν ἀναιρούντων.’ καὶ ταῦτα εἰπὼν παρέδωκε τῷ βρόχῳ τὸν τράχηλον ἑκουσίως.

ΑΚΡΟΤΑΤΟΥ.

Ἀκρότατος, ἐπεὶ οἱ γονεῖς αὐτὸν ἄδικόν τι συμπρᾶξαι αὐτοῖς ἠξίουν, μέχρι τινὸς ἀντέλεγεν· ὡς δὲ ἐνέκειντο, εἶπεν ‘ἕως μὲν παρ’ ὑμῖν ἦν, οὐκ ἠπιστάμην δικαιοσύνης οὐδεμίαν ἔννοιαν· ἐπεὶ δέ E
με τῇ πατρίδι παρέδοτε καὶ τοῖς ταύτης νόμοις, ἔτι δὲ δικαιοσύνῃ καὶ καλοκαγαθίᾳ ἐπαιδεύσατε ὡς ἠδύνασθε, τούτοις πειράσομαι ἢ ὑμῖν ἕπεσθαι· καὶ ἐπεὶ θέλετε ἄριστα πράττειν, ἄριστα δὲ τὰ δίκαιά ἐστι καὶ ἰδιώτῃ καὶ πολὺ μᾶλλον ἄρχοντι, πράξω ἃ θέλετε· ἃ δὲ λέγετε παραιτήσομαι.’

ΑΛΚΑΜΕΝΟΥΣ ΤΟΥ ΤΗΛΕΚΛΟΥ.

1. Ἀλκαμένης ὁ Τηλέκλου, πυθομένου τινὸς πῶς ἂν τις ἄριστα βασιλείαν διατηροίη, ‘εἰ περὶ πλείονος’ ἔφη ‘τὸ κέρδος μὴ ποιοῖτο.’

2. Ἑτέρου δὲ ἐπιζητοῦντος διὰ τί παρὰ Μεσσηνίων δῶρα οὐκ ἐδέξατο, ‘ὅτι λαβόντος μου’ ἔφη F
‘πρὸς τοὺς νόμους εἰρήνην ἄγειν ἀδύνατον.’

3. Λέγοντος δέ τινος ὅτι συνεσταλμένως ζῇ ἱκανὴν οὐσίαν κεκτημένος, ‘καλὸν γάρ’ ἔφη ‘πολλὰ κεκτημένον ζῆν κατὰ λογισμὸν καὶ μὴ κατὰ τὴν ἐπιθυμίαν.’

9 δὲ] scrib. vid. δ’ ἐν 10 ἢ] μᾶλλον ἢ? 14 Τηλέκλου X: τηλέκρου

ΑΝΑΞΑΝΔΡΙΔΟΥ.

1. Ἀναξανδρίδας ὁ Λέοντος πρὸς τὸν δυσφοροῦντα διὰ τὴν ἐκ τῆς πόλεως αὐτῷ γενομένην φυγήν ‘ὦ λῷστε’ ἔφη ‘μὴ τὴν πόλιν φεύγων ὀρρώδει, ἀλλὰ τὴν δικαιοσύνην.’

2. Τῷ δὲ τοῖς ἐφόροις τὰ δέοντα μὲν λέγοντι πλείω δὲ τῶν ἱκανῶν ‘ὦ ξένε’ ἔφη ‘οὐκ ἐν δέοντι τῷ δέοντι χρῇ.’

3. Πυνθανομένου δέ τινος διὰ τί τοῖς εἵλωσι 217 τοὺς ἀγροὺς ἐγχειρίζουσι καὶ οὐκ αὐτοὶ ἐπιμελοῦνται, ‘ὅτι’ ἔφη ‘οὐ τούτων ἐπιμελούμενοι ἀλλ’ αὐτῶν αὐτοὺς ἐκτησάμεθα.’

4. Ἑτέρου δέ τινος λέγοντος, ὅτι βλάπτουσιν αἱ δόξαι καὶ ὅτι τούτων ὁ ἀπαλλαγεὶς εὐδαιμονήσει, ‘οὐκοῦν οἱ τὰ ἄδικα ποιοῦντες’ ἔφη ‘κατὰ τὸν σὸν λόγον εὐδαίμονες ἂν εἶεν· πῶς γὰρ ἄν τις ἱεροσυλῶν ἢ ἀδικῶν δόξης ἐπιμελοῖτο;’

5. Ἄλλου δὲ ἐρωτῶντος διὰ τί ἐν τοῖς πολέμοις Σπαρτιᾶται θαρσαλέως κινδυνεύουσιν, ‘ὅτι’ ἔφη ‘αἰδεῖσθαι περὶ βίου μελετῶμεν, οὐχ ὥσπερ οἱ ἄλλοι φοβεῖσθαι.’

6. Ἐρωτῶντος δέ τινος αὐτὸν διὰ τί τὰς περὶ B θανάτου δίκας πλείοσιν ἡμέραις οἱ γέροντες κρίνουσιν, κἂν ἀποφύγῃ τις, ἔτι οὐδὲν ἧσσόν ἐστιν ὑπόδικος, ‘πολλαῖς μέν’ ἔφη ‘ἡμέραις κρίνουσι, ὅτι περὶ θανάτου τοῖς διαμαρτάνουσιν οὐκ ἔστι μεταβουλεύσασθαι· νόμῳ δὲ ὑπόδικον δεήσει εἶναι, ὅτι κατὰ τοῦτον τὸν νόμον ἂν εἴη καὶ τὸ κρείττονα βουλεύσασθαι.’

ΑΝΑΞΑΝΔΡΟΥ ΤΟΥ ΕΥΡΥΚΡΑΤΕΟΣ.

Ἀνάξανδρος ὁ Εὐρυκράτεος, πυνθανομένου τινὸς διὰ τί χρήματα οὐ συνάγουσιν εἰς τὸ δημόσιον, 'ὅπως' ἔφη 'μὴ οἱ φύλακες αὐτῶν γινόμενοι διαφθείρωνται.'

ΑΝΑΞΙΛΑ.

Ἀναξίλας πρὸς τὸν θαυμάζοντα διὰ τί οἱ ἔφοροι τοῖς βασιλεῦσιν οὐχ ὑπεξανίστανται, καὶ ταῦτα ὑπὸ τῶν βασιλέων καθιστάμενοι, 'διὰ τὴν αὐτὴν αἰτίαν' ἔφη 'δι' ἣν καὶ ἐφορεύουσιν.' C

ΑΝΔΡΟΚΛΕΙΔΟΥ.

Ἀνδροκλείδας ὁ Λάκων πηρωθεὶς τὸ σκέλος κατέταξεν αὐτὸν εἰς τοὺς πολεμιστάς· ὡς δ' ἐνίσταντό τινες διακωλύοντες ὅτι ἐπεπήρωτο, 'ἀλλ' οὐ φεύγοντα' εἶπε 'μένοντα δὲ δεῖ τοῖς ἀντιτεταγμένοις μάχεσθαι.'

ΑΝΤΑΛΚΙΔΟΥ.

1. Ἀνταλκίδας ἐν Σαμοθράκῃ μυούμενος, ἐρωτηθεὶς ὑπὸ τοῦ ἱερέως τί δεινότερον δέδρακεν ἐν D τῷ βίῳ, 'εἴ τί μοι πέπρακται τοιοῦτον, εἴσονται' εἶπεν 'αὐτοὶ οἱ θεοί.'

2. Πρὸς δὲ τὸν ἀμαθεῖς καλοῦντα τοὺς Λακεδαιμονίους Ἀθηναῖον 'μόνοι γοῦν' εἶπεν 'ἡμεῖς οὐδὲν μεμαθήκαμεν παρ' ὑμῶν κακόν.'

3. Ἑτέρου δ' Ἀθηναίου πρὸς αὐτὸν εἰπόντος 'ἀλλὰ μὴν ἡμεῖς ἀπὸ τοῦ Κηφισοῦ πολλάκις ὑμᾶς

4 *ΑΝΑΞΙΛΑ* W: *ΑΝΑΞΙΛΟΥ* 9 *δ' ἐνίσταντο* W: *δὲ ἵσταντο*

ἐδιώξαμεν', 'ἡμεῖς δέ' ἔφη 'οὐδέποτε ὑμᾶς ἀπὸ τοῦ Εὐρώτα.'

4. Ἐρωτηθεὶς δὲ πῶς ἄν τις μάλιστα ἀρέσκοι τοῖς ἀνθρώποις, 'εἰ ἥδιστα μέν' ἔφη 'αὐτοῖς διαλέγοιτο, ὠφελιμώτατα δὲ προσφέροιτο.'

5. Σοφιστοῦ δὲ μέλλοντος ἀναγινώσκειν ἐγκώ-
E μιον Ἡρακλέους, 'τίς γὰρ αὐτόν' ἔφη 'ψέγει;'

6. Πρὸς Ἀγησίλαον πληγέντα ἐν μάχῃ ὑπὸ Θηβαίων 'ἀπέχεις' εἶπε 'τὰ διδασκάλια, μὴ βουλομένους αὐτοὺς μηδ' ἐπισταμένους μάχεσθαι διδάξας.' ἐδόκουν γὰρ ταῖς συνεχέσιν ἐπ' αὐτοὺς τοῦ Ἀγησιλάου στρατείαις μάχιμοι γεγονέναι.

7. Τείχη δὲ ἔλεγεν εἶναι τῆς Σπάρτης τοὺς νέους, ὅρια δὲ τὰς ἐπιδορατίδας.

8. Πρὸς δὲ τὸν ἐπιζητοῦντα ὅ τι ἐγχειριδίοις βραχέσι κατὰ πόλεμον χρῶνται Λακεδαιμόνιοι, 'διότι' εἶπε 'πλησίον τοῖς πολεμίοις μαχόμεθα.'

ΑΝΤΙΟΧΟΥ.

F Ἀντίοχος ἐφορεύων ὡς ἤκουσεν ὅτι Μεσσηνίοις Φίλιππος τὴν χώραν ἔδωκεν, ἠρώτησεν 'εἰ καὶ δύναμιν αὐτοῖς παρέσχετο ὥστε μαχομένους περὶ τῆς χώρας κρατεῖν.'

ΑΡΕΩΣ.

1. Ἄρευς, ἐπαινούντων τινῶν οὐκ ἰδίας ἀλλά τινας τῶν ἀλλοτρίων γυναικῶν, 'μὰ τοὺς θεούς'

15 ὅ τι *: ὅτι   22 ΑΡΕΩΣ. Ἄρευς Cobetus: ΑΡΗΓΕΩΣ. ἀρηγεύς

εἶπε ‘περὶ τῶν καλῶν κἀγαθῶν γυναικῶν οὐδένα δεῖ λόγον εἰκῇ λέγεσθαι, ἀγνοεῖσθαι δ᾽ αὐτὰς τὸ παράπαν, ὁποῖαι τυγχάνουσι, πλὴν μόνοις τοῖς συμβιοῦσι.’

2. Διὰ Σελινοῦντος δέ ποτε τῆς Σικελίας πορευόμενος ἰδὼν ἐπὶ μνήματος ἐλεγεῖον ἐπιγεγραμμένον

‘σβεννύντας ποτὲ τούσδε τυραννίδα χάλκεος Ἄρης
εἷλε· Σελινοῦντος δ᾽ ἀμφὶ πύλαις ἔθανον’,

‘δικαίως’ ἔφη ‘ἀπεθάνετε τυραννίδα καιομένην ἀποσβεννύναι ἐπιχειρήσαντες· τοὐναντίον γὰρ ἔδει ὅλην αὐτὴν ἀφεῖναι κατακαῆναι.’

ΑΡΙΣΤΩΝΟΣ.

1. Ἀρίστων, ἐπαινοῦντός τινος τὴν τοῦ Κλεο- 218
μένους χρείαν, ὅτι ἐρωτηθεὶς τί δεῖ τὸν ἀγαθὸν βασιλέα ποιεῖν εἶπε τοὺς μὲν φίλους εὐεργετεῖν τοὺς δὲ ἐχθροὺς κακῶς ποιεῖν· ‘καὶ πόσῳ κρεῖσσον’ ἔφη ‘ὦ λῷστε, τοὺς μὲν φίλους εὐεργετεῖν τοὺς δὲ ἐχθροὺς φίλους ποιεῖν;’ αὕτη Σωκράτους ὁμολογουμένη πρὸς πάντων χρεία οὖσα καὶ εἰς αὐτὸν ἀναφέρεται.

2. Πυνθανομένου δέ τινος πόσοι Σπαρτιᾶται τὸ πλῆθος, ‘ὅσοι ἱκανοί’ εἶπε ‘τοὺς ἐχθροὺς ἀπερύκειν.’

3. Τῶν Ἀθηναίων δέ τινος ἔπαινον ἐπιτάφιον ἀναγινώσκοντος τῶν πεσόντων ὑπὸ Λακεδαιμονίων, B
‘ποδαποὺς οὖν’ ἔφη ‘τοὺς ἡμετέρους νομίζεις εἶναι νικήσαντας τούτους;’

ΑΡΧΙΔΑΜΙΔΟΥ.

1. Ἀρχιδαμίδας πρὸς τὸν ἐπαινοῦντα Χαρίλαν, ὅτι πρὸς ἅπαντας ὁμοίως πρᾶος ἦν, 'καὶ πῶς τις' ἔφη 'δικαίως ἂν ἐπαινοῖτο, εἰ καὶ πρὸς τοὺς πονηροὺς πρᾶος εἴη;'

2. Μεμφομένου δέ τινος Ἑκαταῖον τὸν σοφιστήν, ὅτι παραληφθεὶς εἰς τὸ συσσίτιον αὐτῶν οὐδὲν ἔλεγεν, 'ἀγνοεῖν μοι δοκεῖς' εἶπεν 'ὅτι ὁ εἰδὼς λόγον καὶ τὸν τοῦ λέγειν καιρὸν οἶδεν.'

C

ΑΡΧΙΔΑΜΟΥ ΤΟΥ ΖΕΥΞΙΔΑΜΟΥ.

1. Ἀρχίδαμος ὁ Ζευξιδάμου, πυθομένου τινὸς αὐτοῦ τίνες προεστήκασι τῆς Σπάρτης, 'οἱ νόμοι καὶ τὰ ἀρχεῖα' ἔφη 'κατὰ τοὺς νόμους.'

2. Πρὸς δὲ τὸν ἐπαινοῦντα κιθαρῳδὸν καὶ θαυμάζοντα τὴν δύναμιν αὐτοῦ 'ὦ λῷστε' ἔφη 'ποῖον γέρας παρὰ σοῦ τοῖς ἀγαθοῖς ἀνδράσιν ἔσται, ὅταν κιθαρῳδὸν οὕτως ἐπαινῇς;'

3. Ἐπεὶ δέ τις αὐτῷ συνιστὰς ψάλτην εἶπεν 'οὗτος ἀγαθὸς ψάλτης ἐστίν', 'παρ' ἡμῖν δέ γε οὗτος' ἔφη 'ἀγαθὸς ζωμοποιός', ὡς οὐδὲν διαφέρον δι' ὀργάνων φωνῆς ἡδονὴν ἐμποιεῖν τῆς δι' ὄψων
D καὶ ζωμοῦ σκευασίας.

4. Ὑπισχνουμένου δέ τινος αὐτῷ τὸν οἶνον ἡδὺν ποιήσειν, 'πρὸς τί;' ἔφη 'καὶ γὰρ δαπανηθήσεται πλείων καὶ ποιήσει τὰ ἀνδρεῖα ἀχρηστότερα.'

5. Ἐπιὼν δὲ τὴν Κορινθίων πόλιν μετὰ στρα-

7 λόγον] λέγειν?

τεύματος εἶδεν ἐκ τοῦ περὶ τὸ τεῖχος τόπου λαγωοὺς ἀναστάντας· εἶπεν οὖν πρὸς τοὺς συστρατιώτας, ‘εὐάλωτοι ἡμῖν οἱ πολέμιοί εἰσι.’

6. Δύο δέ τινων διαιτητὴν αὐτὸν λαβόντων, ἀγαγὼν εἰς τὸ τῆς Χαλκιοίκου τέμενος ἐξώρκισεν ἐμμεῖναι τοῖς κριθεῖσιν αὐτούς· ὀμοσάντων δὲ ἐκείνων ‘κρίνω τοίνυν’ ἔφη ‘μὴ πρότερον ἀπελθεῖν ὑμᾶς ἐκ τοῦ τεμένους, πρὶν ἂν τὰ πρὸς ἀλλήλους διαλύσησθε.’ E

7. Ταῖς δὲ θυγατράσιν αὐτοῦ ἱματισμὸν πολυτελῆ Διονυσίου τοῦ Σικελίας τυράννου πέμψαντος, οὐκ ἐδέξατο εἰπὼν ‘φοβοῦμαι μὴ περιθέμεναι αἱ κόραι φανῶσί μοι αἰσχραί.’

8. Θεασάμενος δὲ τὸν υἱὸν προπετῶς μαχόμενον Ἀθηναίοις ‘ἢ τῇ δυνάμει πρόσθες’ ἔφη ‘ἢ τοῦ φρονήματος ὕφες.’

ΑΡΧΙΔΑΜΟΥ ΤΟΥ ΑΓΗΣΙΛΑΟΥ.

1. Ἀρχίδαμος ὁ Ἀγησιλάου, Φιλίππου μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην σκληροτέραν αὐτῷ ἐπιστολὴν γράψαντος, ἀντέγραψεν ‘εἰ μετρήσαις τὴν σαυτοῦ F σκιάν, οὐκ ἂν εὕροις αὐτὴν μείζονα γεγενημένην ἢ πρὶν νικᾶν.’

2. Ἐρωτηθεὶς δὲ πόσης χώρας κρατοῦσιν οἱ Σπαρτιᾶται ‘ὅσης ἄν’ ἔφη ‘τῷ δόρατι ἐφίκωνται.’

3. Περιάνδρου δὲ τοῦ ἰατροῦ ἀξιολόγου κατὰ τέχνην ὄντος καὶ ἐπαινουμένου ἐς τὰ μάλιστα, φαῦλα δὲ ποιήματα γράφοντος, ‘τί δήποτε, ὦ Περίανδρε’

3 ἡμῖν *: ἡμῶν

εἶπεν ‘ἀντὶ χαρίεντος ἰατροῦ κακὸς ποιητὴς καλεῖσθαι ἐπιθυμεῖς;’

4. Ἐν δὲ τῷ πρὸς Φίλιππον πολέμῳ συμβουλευόντων τινῶν ὅτι πόρρω τῆς οἰκείας τὴν μάχην συνάπτειν δεῖ, ‘ἀλλ’ οὐ τοῦτο’ ἔφη ‘ὁρᾶν δεῖ, ἀλλ’ οἷ μαχούμενοι κρείσσονες τῶν πολεμίων ἐσόμεθα.’

5. Πρὸς δὲ τοὺς ἐπαινοῦντας αὐτόν, ὅτε τὴν πρὸς Ἀρκάδας μάχην ἐνίκησε, ‘βέλτιον ἂν ἦν, εἰ τῇ φρονήσει’ ἔφη ‘αὐτοὺς ἐνικῶμεν μᾶλλον ἢ τῇ ἰσχύι.’

219 6. Ὅτε δὲ εἰς Ἀρκαδίαν ἐνέβαλε, πυθόμενος βοηθεῖν αὐτοῖς Ἠλείους ἐπέστειλεν αὐτοῖς ‘Ἀρχίδαμος Ἠλείοις· καλὸν ἡσυχία.’

7. Τῶν δὲ συμμάχων ἐν τῷ Πελοποννησιακῷ πολέμῳ ἐπιζητούντων, πόσα χρήματα ἀρκέσει, καὶ ἀξιούντων ὁρίσαι τοὺς φόρους, ‘ὁ πόλεμος’ ἔφη ‘οὐ τεταγμένα σιτεῖται.’

8. Καταπελτικὸν δὲ ἰδὼν βέλος τότε πρῶτον ἐκ Σικελίας κομισθὲν ἀνεβόησεν ‘Ἡράκλεις, ἀπόλωλεν ἀνδρὸς ἀρετά.’

9. Ἐπεὶ δὲ οὐκ ἐβούλοντο Ἕλληνες πείθεσθαι αὐτῷ καὶ λῦσαι τὰς πρὸς Ἀντίγονον καὶ Κρατερὸν
B τοὺς Μακεδόνας ὁμολογίας καὶ ἐλεύθεροι εἶναι, ὡς χαλεπωτέρων ἐσομένων Λακεδαιμονίων ἢ Μακεδόνων, εἶπε ‘πρόβατον μὲν ἀεὶ τὴν αὐτὴν φθέγγεται φωνήν, ἄνθρωπος δὲ πολλὰς καὶ ποικίλας, ἕως ἂν τὸ δόξαν ἐπιτελέσῃ.’

6 οἷ *: οἱ 13 ἡσυχία] ἁσυχία Valckenarius 17 σιτεῖται *: ζητεῖ 22 Ἀντίγονον] Ἀντίπατρον W

ΑΣΤΥΚΡΑΤΙΔΟΥ.

Ἀστυκρατίδας, εἰπόντος τινὸς αὐτῷ μετὰ τὸ ἡττηθῆναι Ἆγιν τὸν βασιλέα ἐν τῇ πρὸς Ἀντίπατρον μάχῃ περὶ Μεγάλην πόλιν ‘τί ποιήσετε, ὦ Λακεδαιμόνιοι; ἦ δουλεύσετε Μακεδόσιν;’ εἶπε ‘τί δέ; κωλῦσαι ἂν δύναιτο Ἀντίπατρος μαχομένους ἡμᾶς ἀποθανεῖν ὑπὲρ τῆς Σπάρτης;’

ΒΙΑΝΤΟΣ. C

Βίας ἐνεδρευθεὶς ὑπὸ Ἰφικράτους τοῦ Ἀθηναίων στρατηγοῦ καὶ ἐρωτώμενος ὑπὸ τῶν στρατιωτῶν τί δεῖ ποιεῖν, ‘τί γὰρ ἄλλο’ ἔφη ‘ἢ ὑμᾶς μὲν σῴζεσθαι, ἐμὲ δὲ μαχόμενον ἀποθανεῖν;’

ΒΡΑΣΙΔΟΥ.

1. Βρασίδας ἐν ἰσχάσι συλλαβὼν μῦν καὶ δηχθεὶς ἀφῆκεν· εἶτα πρὸς τοὺς παρόντας ‘οὐδὲν οὕτως’ ἔφη ‘μικρόν ἐστιν, ὃ οὐ σῴζεται τολμῶν ἀμύνεσθαι τοὺς ἐπιχειροῦντας.’

2. Ἐν δέ τινι μάχῃ διὰ τῆς ἀσπίδος ἀκοντισθεὶς καὶ τὸ δόρυ τοῦ τραύματος ἐξελκύσας αὐτῷ τούτῳ τὸν πολέμιον ἀπέκτεινε· ‘καὶ πῶς ἐτρώθη’ ἐρωτηθείς D ‘προδούσης με’ ἔφη ‘τῆς ἀσπίδος.’

3. Ἐξελθὼν δὲ ἐπὶ πόλεμον ἔγραψε τοῖς ἐφόροις ‘ἅσσα δηλῶμαι πράξω κατὰ πόλεμον ἢ τεθναξοῦμαι.’

4. Ἐπεὶ δὲ συνέβη πεσεῖν αὐτὸν ἐλευθεροῦντα

2 Ἀντίπατρον W: ἀντίγονον 7 ΒΙΑΝΤΟΣ. Βίας] ΑΝΑΞΙΒΙΟΥ. Ἀναξίβιος W

τοὺς ἐπὶ Θρᾴκης Ἕλληνας, οἱ δὲ πεμφθέντες εἰς Λακεδαίμονα πρέσβεις τῇ μητρὶ αὐτοῦ Ἀργιλεωνίδι προσῆλθον· πρῶτον μὲν ἠρώτησεν εἰ καλῶς ὁ Βρασίδας ἐτελεύτησεν· ἐγκωμιαζόντων δὲ τῶν Θρᾳκῶν καὶ λεγόντων ὡς οὐδεὶς ἄλλος ἐστὶ τοιοῦτος, 'ἀγνοεῖτε' εἶπεν 'ὦ ξένοι· Βρασίδας γὰρ ἦν μὲν ἀνὴρ ἀγα-
E θός, πολλοὺς δ' ἐκείνου κρείσσονας ἔχει ἡ Σπάρτη.'

ΔΑΜΩΝΙΔΟΥ.

Δαμωνίδας ταχθεὶς ἔσχατος τοῦ χοροῦ ὑπὸ τοῦ τὸν χορὸν ἱστῶντος 'εὖγε' εἶπεν 'ὦ χοραγέ, ἐξεῦρες πῶς καὶ αὕτη ἡ χώρα ἄτιμος οὖσα ἔντιμος γένηται.'

ΔΑΜΙΔΟΣ.

Δᾶμις πρὸς τὰ ἐπισταλέντα παρὰ τοῦ Ἀλεξάνδρου θεὸν εἶναι ψηφίσασθαι, 'συγχωροῦμεν' ἔφη 'Ἀλεξάνδρῳ, ἐὰν θέλῃ, θεὸς καλεῖσθαι.'

ΔΑΜΙΝΔΟΥ.

F Δαμίνδας, Φιλίππου ἐμβαλόντος εἰς Πελοπόννησον καὶ εἰπόντος τινός 'κινδυνεύουσι δεινὰ παθεῖν Λακεδαιμόνιοι, εἰ μὴ τὰς πρὸς αὐτὸν διαλλαγὰς ποιήσονται,' 'ἀνδρόγυνε' εἶπε 'τί δ' ἂν πάθοιμεν δεινὸν θανάτου καταφρονήσαντες;'

ΔΕΡΚΥΛΛΙΔΟΥ.

Δερκυλλίδας, Πύρρου τὴν στρατιὰν ἐπὶ τῆς Σπαρτιάτιδος ἔχοντος, πεμφθεὶς πρὸς αὐτὸν πρεσβευτής,

15 Δαμίνδας] Δαμιάδας?

τοῦ Πύρρου προστάττοντος καταδέχεσθαι τὸν βασι-
λέα αὐτῶν Κλεώνυμον ἢ γνώσεσθαι ὡς οὐδενὸς
τῶν ἄλλων ἀνδρειότεροι τυγχάνουσιν, ὑποτυχὼν εἶπεν
'εἰ μὲν θεός ἐστιν, οὐ φοβούμεθα τοῦτον· οὐδὲν γὰρ
ἀδικοῦμεν· εἰ δὲ ἄνθρωπος, οὐχ ἡμῶν γε κρείσσων.'

ΔΗΜΑΡΑΤΟΥ.

1. Δημάρατος, Ὀρόντου πρὸς αὐτὸν σκληρότερον
ὁμιλήσαντος καὶ εἰπόντος τινός 'σκληρῶς σοι κέχρη- 220
ται Ὀρόντης, ὦ Δημάρατε', 'οὐδὲν ἥμαρτεν εἰς ἐμέ'
εἶπεν· 'οἱ γὰρ πρὸς χάριν ὁμιλοῦντες βλάπτουσιν
οὐχ οἱ μετὰ ἀπεχθείας.'

2. Ἐρωτήσαντος δέ τινος διὰ τί τοὺς μὲν τὰς
ἀσπίδας παρ' αὐτοῖς ἀποβαλόντας ἀτιμοῦσι, τοὺς δὲ
τὰ κράνη καὶ τοὺς θώρακας οὐκέτι, 'ὅτι' ἔφη 'ταῦτα
μὲν ἑαυτῶν χάριν περιτίθενται· τὴν δὲ ἀσπίδα τῆς
κοινῆς τάξεως ἕνεκα.'

3. Ψάλτου δὲ ἀκροώμενος 'οὐ κακῶς' εἶπε 'φαίνε-
ταί μοι φλυαρεῖν.'

4. Ἐν δέ τινι συνεδρίῳ ἐρωτώμενος πότερον διὰ
μωρίαν ἢ δι' ἀπορίαν λόγων σιωπᾷ, 'ἀλλ' ὅ γε μω- B
ρὸς οὐκ ἂν δύναιτο σιγᾶν' ἔφη.

5. Πυθομένου δέ τινος διὰ τί φεύγει τὴν Σπάρ-
την βασιλεὺς ὤν, 'ὅτι' ἔφη 'κρείσσονες αὐτῆς οἱ
νόμοι εἰσί.'

6. Τῶν δὲ Περσῶν τινος διὰ τὸ συνεχὲς τῆς
δωροδοκίας τὸν ἐρώμενον αὐτοῦ ἀπαγαγόντος καὶ
λέγοντος 'ὦ Λάκων, τεθήρευκά σου τὸν ἐρώμενον',
'μὰ τοὺς θεούς' ἔφη 'οὐχὶ σύ γε, ἀλλ' ἠγόρακας.'

7. Ἀποστάντος δέ τινος τῶν Περσῶν τοῦ βασιλέως καὶ μεταπεισθέντος ὑπὸ Δημαράτου ἐπανελθεῖν καὶ μέλλοντος τοῦ βασιλέως τὸν Πέρσην διαχειρίζεσθαι, ‘αἰσχρόν’ ἔφη ‘ὦ βασιλεῦ, ὅτε μὲν ἐχθρὸς ἦν σοι, μὴ δύνασθαι δίκην τῆς ἀποστάσεως παρ’
C αὐτοῦ λαβεῖν, ὅτε δὲ φίλος γέγονεν, ἀποκτείνειν.’

8. Πρὸς δὲ τὸν παρασιτοῦντα τῷ βασιλεῖ καὶ περὶ τῆς φυγῆς πολλάκις ἐπισκώπτοντα αὐτόν ‘οὐ μαχοῦμαί σοι’ ἔφη, ‘ὦ ξένε· κατανάλωκα γὰρ τὴν τοῦ βίου τάξιν.’

ΕΚΠΡΕΠΟΥΣ.

Ἐκπρέπης ἔφορος Φρύνιδος τοῦ μουσικοῦ σκεπάρνῳ τὰς δύο τῶν ἐννέα ἐξέτεμεν, εἰπών ‘μὴ κακούργει τὴν μουσικήν.’

ΕΠΑΙΝΕΤΟΥ.

Ἐπαίνετος πάντων ἔφη τοὺς ψεύστας τῶν ἁμαρτημάτων καὶ τῶν ἀδικημάτων αἰτίους εἶναι.

D

ΕΥΒΟΙΔΟΥ.

Εὐβοίδας ἀκούων τινῶν ἐπαινούντων γυναῖκα ἀλλοτρίαν οὐκ ἀπεδέχετο, φήσας ‘ὅλως περὶ γυναικείας φύσεως παρὰ τοῖς ἔξω λόγον εἶναι οὐδένα δεῖ.’

ΕΥΔΑΜΙΔΟΥ ΤΟΥ ΑΡΧΙΔΑΜΟΥ.

1. Εὐδαμίδας ὁ Ἀρχιδάμου, ἀδελφὸς δὲ Ἄγιδος, ἰδὼν Ξενοκράτην ἐν Ἀκαδημείᾳ πρεσβύτερον ἤδη

11 ΕΚΠΡΕΠΟΥΣ. Ἐκπρέπης *: ΕΜΠΡΕΠΟΥΣ. ἐμπρεπὴς 20 Ἀκαδημείᾳ *: ἀκαδημίᾳ

μετὰ τῶν γνωρίμων φιλοσοφοῦντα, ἐπύθετο τίς ὁ πρεσβύτης· φαμένου δέ τινος ὅτι σοφὸς ἀνὴρ καὶ τῶν ζητούντων τὴν ἀρετήν, 'καὶ πότε' ἔφη 'χρήσεται αὐτῇ, ἐὰν ἄρτι ζητῇ;'

2. Ἀκούσας δὲ φιλοσόφου διαλεχθέντος ὅτι μόνος E ἀγαθὸς στρατηγὸς ὁ σοφός ἐστιν, 'ὁ μὲν λόγος' ἔφη 'θαυμαστός· ὁ δὲ λέγων ἄπιστος· οὐ γὰρ περισεσάλπιγκται.'

3. Τὴν θέσιν δὲ Ξενοκράτους εἰρηκότος καὶ καταπαυομένου, παρῆν ὁ Εὐδαμίδας· ὡς δ' εἶπέ τις τῶν μετ' αὐτοῦ 'ὅτε πάρεσμεν ἡμεῖς, τότε πέπαυται·' 'καλῶς γε' ἔφη 'εἴπερ ἤδη ἔλεξε ταῦτα ἃ ἔχρῃζε·' τοῦ δ' εἰπόντος 'καλὸν ἦν ἀκοῦσαι' 'ἦ καὶ πρὸς δεδειπνηκότα μολόντες' εἶπεν 'ἠξιοῦμεν πάλιν αὐτὸν δειπνεῖν;'

4. Πυνθανομένου δέ τινος διὰ τί, τῶν πολιτῶν αἱρουμένων τὸν πρὸς Μακεδόνας πόλεμον, αὐτὸς F ἡσυχίαν ἄγειν δοκιμάζει, 'ὅτι' ἔφη 'οὐ χρῄζω ψευδομένους αὐτοὺς ἐλέγξαι.'

5. Ἑτέρου δὲ προφερομένου τὰ κατὰ Περσῶν ἀριστεῖα καὶ προτρέποντος ἐπὶ τὸν πόλεμον, 'ἀγνοεῖν' ἔφη 'μοι δοκεῖς γε, ὅτι ταὐτόν ἐστι χιλίων προβάτων κρατήσαντα πεντήκοντα λύκοις μάχεσθαι.'

6. Ψάλτου δέ τινος εὐημερήσαντος, ἠρώτησαν αὐτὸν ποδαπός τις αὐτῷ δοκεῖ εἶναι, 'μέγας' ἔφη 'κηλητὰς ἐν μικρῷ πράγματι.'

7. Ἐπαινοῦντος δέ τινος τὰς Ἀθήνας, ἔφη 'καὶ

4 ἄρτι] ἔτι?   7 cf. p. 192 b   12 γε W: δὲ

τίς ἂν ταύτην τὴν πόλιν δεόντως ἐπαινοίη, ἣν οὐδεὶς ἔστερξε γενόμενος βελτίων;’

8. Ἀργείου δέ τινος λέγοντος, ὡς φαυλότεροι γίνονται κατὰ τὰς ἀποδημίας οἱ Λάκωνες ἐξιστάμε-
221 νοι τῶν πατρίων νόμων, ‘ἀλλ’ οὐχ ὑμεῖς γε’ ἔφη ‘εἰς τὴν Σπάρτην ἐλθόντες χείρονες ἀλλὰ βελτίονες γίνεσθε.’

9. Ἀλεξάνδρου δὲ κηρύξαντος ἐν Ὀλυμπίᾳ κατιέναι τοὺς φυγάδας ἅπαντας εἰς τὴν ἰδίαν πλὴν Θηβαίων, ‘ἀτυχὲς μέν’ ἔφη ‘ὦ Θηβαῖοι τὸ κήρυγμα ἀλλ’ ἔνδοξον· μόνους γὰρ ὑμᾶς φοβεῖται Ἀλέξανδρος.’

10. Ἐρωτηθεὶς δὲ τίνος ἕνεκα πρὸ τῶν κινδύνων ταῖς Μούσαις σφαγιάζουσιν, ‘ὅπως’ ἔφη ‘αἱ πράξεις λόγων ἀγαθῶν τυγχάνωσιν.’

ΕΥΡΥΚΡΑΤΙΔΟΥ ΤΟΥ ΑΝΑΞΑΝΔΡΙΔΟΥ.

B Εὐρυκρατίδας ὁ Ἀναξανδρίδου, πυθομένου τινὸς διὰ τί τὰ περὶ τῶν συμβολαίων δίκαια ἑκάστης ἡμέρας κρίνουσιν οἱ ἔφοροι, ‘ὅπως’ ἔφη ‘καὶ ἐν τοῖς πολεμίοις πιστεύωμεν ἀλλήλοις.’

ΖΕΥΞΙΔΑΜΟΥ.

1. Ζευξίδαμος, πυνθανομένου τινὸς διὰ τί τοὺς περὶ τῆς ἀνδρείας νόμους ἀγράφους τηροῦσι καὶ τοῖς νέοις ἀπογραψάμενοι οὐ διδόασιν ἀναγινώσκειν, ‘ὅτι’ ἔφη ‘συνεθίζεσθαι δεῖ ταῖς ἀνδραγαθίαις κρεῖττον ἢ ταῖς γραφαῖς προσέχειν.’

16 τὰ W   18 πολεμίοις] malim πολέμοις   22 aut δεῖ aut κρεῖττον delendum censet W

2. *Αἰτωλοῦ δέ τινος λέγοντος ὅτι τοῖς ἀνδρα-* C *γαθεῖν δυναμένοις κρείσσων τῆς εἰρήνης ὁ πόλεμος, ‘οὐ μὰ τοὺς θεούς’ ἔφη ‘ἀλλὰ τούτοις κρείσσων ὁ θάνατος τῆς ζωῆς.’*

ΗΡΩΝΔΟΥ.

Ἡρώνδας, Ἀθήνησιν ἁλόντος τινὸς γραφὴν ἀργίας, παρὼν καὶ πυθόμενος ἐκέλευσεν ἐπιδεῖξαι αὐτῷ τὸν τὴν ἐλευθερίαν δίκην ἡττηθέντα.

ΘΕΑΡΙΔΟΥ.

Θεαρίδας ξίφος ἀκονῶν καὶ ἐρωτώμενος, εἰ ὀξύ ἐστιν, εἶπεν ‘ὀξύτερον διαβολῆς.’

ΘΕΜΙΣΤΕΟΥ.

Θεμιστέας προεῖπε μὲν Λεωνίδᾳ τῷ βασιλεῖ τὴν γενησομένην ἀπώλειαν περὶ Θερμοπύλας αὐτοῦ τε D *καὶ τῶν συστρατευομένων αὐτῷ, μάντις ὤν· ἀποπεμπόμενος δὲ ὑπὸ τοῦ Λεωνίδα εἰς τὴν Λακεδαίμονα προφάσει τοῦ ἀπαγγεῖλαι τὰ συμβησόμενα, ταῖς δ’ ἀληθείαις ἵνα μὴ παραπόληται, οὐκ ἠνέσχετο ἀλλ’ εἶπε ‘μαχητὴς ἐπέμφθην οὐκ ἀγγελιαφόρος.’*

ΘΕΟΠΟΜΠΟΥ.

1. *Θεόπομπος πρὸς τὸν ἐρωτήσαντα πῶς ἄν τις ἀσφαλέστατα τηροίη τὴν βασιλείαν, ‘εἰ τοῖς μὲν φίλοις’ ἔφη ‘μεταδιδοίη παρρησίας δικαίας, τοὺς δὲ ἀρχομένους κατὰ δύναμιν μὴ περιορῴη ἀδικουμένους.’*

2. *Πρὸς δὲ τὸν ξένον τὸν λέγοντα ὅτι παρὰ τοῖς*

10 *Θεμιστέας*] *Μεγιστίην* vocat Herod. 7, 221

E αὐτοῦ πολίταις καλεῖται φιλολάκων, ‘κρεῖσσον’ ἔφη ‘ἦν σε φιλοπολίτην ἢ φιλολάκωνα καλεῖσθαι.’

3. Τοῦ δ’ ἐκ τῆς Ἤλιδος πρεσβευτοῦ εἰπόντος ὅτι διὰ τοῦτ’ αὐτὸν ἐξαπέστειλαν οἱ πολῖται, ὅτι μόνος τὸν Λακωνικὸν ἐζήλωσε βίον, ‘καὶ πότερον’ ἔφη ‘ὁ σὸς ἢ ὁ τῶν ἄλλων πολιτῶν βίος βελτίων ἐστί;’ τοῦ δὲ εἰπόντος τὸν αὑτοῦ, ‘πῶς οὖν ἄν’ ἔφη ‘αὕτη ἡ πόλις σῴζοιτο, ἐν ᾗ πολλῶν ὄντων εἷς μόνος ἀγαθός ἐστι;’

4. Λέγοντος δέ τινος ὅτι ἡ Σπάρτη σῴζεται διὰ τοὺς βασιλεῖς ἀρχικοὺς ὄντας, ‘οὔκ’ ἔφη ‘ἀλλὰ διὰ τοὺς πολίτας πειθαρχικοὺς ὄντας.’

F 5. Πυλίων δὲ αὐτῷ μείζονας τιμὰς ψηφισαμένων, ἀντέγραψεν ὅτι ‘τὰς μὲν μετρίας ὁ χρόνος αὔξει, τὰς δ’ ὑπεραιρούσας ἀφανίζει.’

6. Ἐπιδεικνυμένου δέ τινος αὐτῷ τεῖχος καὶ πυνθανομένου εἰ καρτερὸν καὶ ὑψηλόν, ‘οὐδ’ εἰ γυναικῶν’ εἶπεν ‘ἦν.’

ΘΩΡΥΚΙΩΝΟΣ.

Θωρυκίων ἐκ Δελφῶν παραγενόμενος, ἰδὼν τὸ Φιλίππου στρατόπεδον ἐν Ἰσθμῷ τὰ στενὰ κατειληφότος, ‘κακούς’ ἔφη ‘πυλωροὺς ὑμᾶς, ὦ Κορίνθιοι, ἡ Πελοπόννησος ἔχει.’

ΘΕΚΤΑΜΕΝΟΥΣ.

Θεκταμένης, καταγνόντων αὐτοῦ θάνατον τῶν ἐφόρων, ἀπῄει μειδιῶν· καί τινος τῶν παρόντων

14 ἀντέγραψεν W: ἐνέγραψεν 19 Θωρυκίων] Θηρικίων aut Θηρικύων Vit. Cleom. c. 8. c. 31

ἐρωτήσαντος εἰ καὶ καταφρονεῖ τῶν τῆς Σπάρτης νομίμων, 'οὐχί' εἶπεν 'ἀλλὰ γέγηθα, ὅτι δεῖ με τὴν ζημίαν ἐκτῖσαι ταύτην, παρ' οὐδενὸς οὔτε τι αἰτήσαντα οὔτε δανεισάμενον.'

ΙΠΠΟΔΑΜΟΥ.

Ἱππόδαμος, ὅτε Ἆγις Ἀρχιδάμῳ παρετάσσετο, 222 συμπεμφθεὶς τῷ Ἄγιδι εἰς Σπάρτην ἐκεῖ τὰς χρείας παρέχεσθαι, 'ἀλλ' οὗτος' ἔφη 'οὔτοι κάλλιον θάνατον ἀποθανοῦμαι ὑπὲρ Σπάρτας ἀνδραγαθῶν;' ἦν δὲ βεβιωκὼς ὑπὲρ τὰ ὀγδοήκοντα ἔτη· καὶ μετὰ ταῦτα λαβὼν τὰ ὅπλα καὶ στὰς ἐν δεξιᾷ τοῦ βασιλέως, μαχόμενος ἀποθνήσκει.

ΙΠΠΟΚΡΑΤΙΔΟΥ.

1. Ἱπποκρατίδας πρὸς τὸν τῆς Καρίας σατράπην ἐπιστείλαντα, διότι Λακεδαιμόνιος ἀνὴρ ἐπιβουλευόντων τινῶν συνειδὼς τὴν ἐπιβουλὴν κατεσιώ- B πησε, καὶ προσθέντος πῶς χρήσηται αὐτῷ, ἀντέγραψεν 'εἰ μὲν μέγα τι ἀγαθὸν αὐτὸν πεποίηκας, κατάκτανε· εἰ δὲ μή, ἐκ τῆς χώρας ἔκβαλε δειλὸν πρὸς ἀρετὴν ὄντα.'

2. Ἀπαντήσαντος δέ ποτε αὐτῷ μειρακίου, ᾧ ἠκολούθει ἐραστής τις, καὶ διατραπέντος, 'μετὰ τοιούτων' ἔφη 'βαδίζειν δεῖ, μεθ' ὧν ὀφθεὶς τὴν αὐτὴν χρόαν τηρήσεις.'

3 τι αἰτήσαντα Madvigius: διαιτήσαντά με 5 Ἀρχιδάμῳ] Ἀντιπάτρῳ W 6 συμπεμφθεὶς] πεμφθεὶς idem 7 οὗτος] i. e. ὦ οὗτος θάνατον] deleverim 15 προσθέντος] προθέντα? χρήσηται *: χρήσεται

ΚΑΛΛΙΚΡΑΤΙΔΟΥ.

1. *Καλλικρατίδας ναύαρχος*, τῶν Λυσάνδρου φίλων ἀξιούντων ἐπιτρέψαι αὐτοῖς ἕνα τινὰ τῶν ἐχθρῶν C ἀνελεῖν καὶ λαβεῖν πεντήκοντα τάλαντα, καίτοι σφόδρα δεόμενος χρημάτων εἰς ὀψώνια τοῖς ναύταις, οὐ συνεχώρησε. Κλέανδρος δὲ σύμβουλος ὢν ‘ἀλλ’ ἔγωγ’ ἂν ἔλαβον’ εἶπεν ‘εἰ σὺ ἤμην·’ ‘καὶ γὰρ αὐτός’ εἶπεν ‘εἰ σὺ ἦν.’

2. *Παραγενόμενος* δὲ πρὸς Κῦρον τὸν νεώτερον εἰς Σάρδεις, σύμμαχον ὄντα Λακεδαιμονίοις, ἐπὶ χρήματα τῷ ναυτικῷ, τῇ μὲν πρώτῃ ἡμέρᾳ ἐκέλευσεν εἰσαγγεῖλαι ὅτι βούλεται Κύρῳ ἐντυχεῖν· ὡς δ’ ἤκουσε πίνειν, ‘προσμενῶ’ εἶπεν ‘ἕως ἂν πίῃ.’ καὶ D τότε μὲν ἀπηλλάγη, ὡς ἔγνω οὐχ οἷόν τε εἶναι συμβαλεῖν αὐτῷ ἐκείνῃ τῇ ἡμέρᾳ, δόξας ἀγροικότερος εἶναι. τῇ δ’ ἐχομένῃ, ὡς πάλιν αὐτὸν πίνειν ἤκουσε καὶ οὐ προϊόντα, φήσας ‘οὐχ οὕτω σπουδαστέον χρήματα λαβεῖν ὡς μηδὲν ἀνάξιον τῆς Σπάρτης ποιεῖν’, ἀπηλλάγη εἰς Ἔφεσον, πολλὰ μὲν ἐπαρώμενος κακὰ τοῖς πρώτοις ἐντρυφηθεῖσιν ὑπὸ βαρβάρων καὶ διδάξασιν αὐτοὺς ὑβρίζειν διὰ πλοῦτον· ὤμνυε δὲ πρὸς τοὺς παρόντας ὡς, ὅταν πρῶτον εἰς Σπάρτην παραγένηται, πάντα ποιήσει ὑπὲρ τοῦ διαλλάξαι τοὺς Ἕλληνας, ὡς φοβερώτεροι τοῖς βαρβάροις εἶεν καὶ παύ- E σαιντο τῆς ἐκείνων ἐπ’ ἀλλήλους δεόμενοι δυνάμεως.

3. *Ἐρωτηθεὶς* δὲ ὁποῖοι ἄνδρες εἰσὶν οἱ Ἴωνες, ‘ἐλεύθεροι μέν’ ἔφη ‘κακοί, δοῦλοι δὲ ἀγαθοί.’

16 οὐχ del W 20 ὀμνὺς? δὲ *: τε 22 ποιήσει] ποιήσειν mei codd.

4. Τοῦ δὲ Κύρου τὸν μισθὸν προπέμψαντος τοῖς στρατιώταις καὶ ξένια αὐτῷ, μόνον ἔλαβε τὸν μισθὸν τὰ δὲ ξένια ἀντέπεμψε, φήσας ‘μὴ δεῖν φιλίαν αὐτῷ ἰδίαν πρὸς αὐτὸν εἶναι, ἀλλὰ τὴν κοινὴν πρὸς ἅπαντας Λακεδαιμονίους γεγονυῖαν καὶ αὐτῷ ὑπάρχειν.’

5. Μέλλων δὲ περὶ τὰς Ἀργινούσας ναυμαχεῖν, Ἕρμωνος τοῦ κυβερνήτου εἰπόντος ὅτι καλῶς ἔχει ἀποπλεῦσαι, αἱ γὰρ τριήρεις τῶν Ἀθηναίων πολλῷ F πλείους εἰσίν, εἶπε ‘καὶ τί τοῦτο; ἀλλὰ φεύγειν αἰσχρὸν καὶ βλαβερὸν τῇ Σπάρτῃ· μένοντα δὲ ἢ ἀποθανεῖν ἢ νικᾶν ἄριστον.’

6. Προθυσάμενος δέ, ὡς ἤκουσε τοῦ μάντεως σημαίνεσθαι διὰ τῶν ἐμπύρων τῷ μὲν στρατῷ νίκην τῷ δὲ στρατηγοῦντι θάνατον, οὐδὲν καταπλαγεὶς εἶπεν ‘οὐ παρ’ ἕνα τὰ Σπάρτας· ἀποθανόντος γάρ μου οὐδὲν ἡ πατρὶς ἐλαττωθήσεται· εἴξαντος δὲ τοῖς πολεμίοις, ἐλαττωθήσεται.’ ἀποδείξας οὖν ἀνθ’ ἑαυτοῦ Κλέανδρον ἡγεμόνα ὥρμησεν ἐπὶ τὴν ναυμαχίαν, καὶ μαχόμενος ἐτελεύτα.

ΚΛΕΟΜΒΡΟΤΟΥ ΤΟΥ ΠΑΥΣΑΝΙΟΥ.

Κλεόμβροτος ὁ Παυσανίου, ξένου τινὸς διαφε- 223 ρομένου πρὸς τὸν πατέρα περὶ ἀρετῆς, ‘μέχρι τούτου’ εἶπεν ‘κρείσσων σού ἐστιν ὁ πατήρ, μέχρι ἂν καὶ σὺ γεννήσῃς.’

ΚΛΕΟΜΕΝΟΥΣ ΤΟΥ ΑΝΑΞΑΝΔΡΙΔΟΥ.

1. Κλεομένης ὁ Ἀναξανδρίδεω τὸν μὲν Ὅμηρον Λακεδαιμονίων εἶναι ποιητὴν ἔφη, τὸν δὲ Ἡσίοδον

15 τὰ Σπάρτας *: τᾶ Σπάρτᾳ

τῶν εἱλώτων· ‘τὸν μὲν γὰρ ὡς χρὴ πολεμεῖν, τὸν δὲ ὡς χρὴ γεωργεῖν παρηγγελκέναι.’

2. Ἀνοχὰς δὲ ἐφθημέρους πρὸς Ἀργείους ποιησάμενος, φυλάξας αὐτοὺς τῇ τρίτῃ νυκτὶ κοιμωμένους διὰ τὸ πεποιθέναι ταῖς σπονδαῖς, ἐπέθετο· καὶ
B τοὺς μὲν ἀπέκτεινε, τοὺς δὲ αἰχμαλώτους ἔλαβεν.

3. Ὀνειδιζόμενος δὲ ἐπὶ τῇ παραβάσει τῶν ὅρκων, οὐκ ἔφη προσομωμοκέναι ταῖς ἡμέραις τὰς νύκτας· ‘ἄλλως τε καὶ ὅ τι ἂν κακόν τις ποιῇ τοὺς πολεμίους, τοῦτο καὶ παρὰ θεοῖς καὶ παρὰ ἀνθρώποις δίκης ὑπέρτερον νομίζεσθαι.’

4. Συνέβη δ’ αὐτῷ τοῦ μὲν Ἄργους, δι’ ὃ παρεσπόνδησεν, ἀποπεσεῖν διὰ τὸ τὰς γυναῖκας τὰ ἀπὸ τῶν ἱερῶν καθελούσας ὅπλα τούτοις αὐτὸν ἀμύνεσθαι· καὶ ὕστερον δὲ τῶν φρενῶν ἔξω γενόμενον
C δράξασθαί τινος μαχαιρίου καὶ αὐτὸν ἀνατεμεῖν ἀπὸ τῶν σφυρῶν ἕως ἐπὶ τοὺς καιρίους τόπους, καὶ οὕτως ἐκλιπεῖν τὸν βίον γελῶντα καὶ σεσηρότα.

5. Τοῦ δὲ μάντεως ἀποτρέποντος μὴ ἄγειν ἐπὶ τὴν Ἀργείων πόλιν τὸ στράτευμα· τὴν γὰρ ἐπάνοδον αἰσχρὰν γενήσεσθαι· προσελθὼν τῇ πόλει ὡς τὰς μὲν πύλας κεκλεισμένας εἶδε, τὰς δὲ γυναῖκας ἐπὶ τῶν τειχῶν, ‘αὕτη σοι’ ἔφη ‘ἡ ἐπάνοδος αἰσχρὰ φαίνεται εἶναι, ἐν ᾗ τῶν ἀνδρῶν τεθνηκότων αἱ γυναῖκες τὰς πύλας κεκλείκασι;’

6. Πρὸς δὲ τοὺς λοιδοροῦντας αὐτὸν τῶν Ἀργείων ὡς ἐπίορκον καὶ ἀσεβῆ ‘τοῦ μὲν κακῶς λέγειν’ ἔφη ‘ὑμεῖς κύριοι, τοῦ δὲ κακῶς ὑμᾶς ποιεῖν ἐγώ.’

D 7. Τοῖς δὲ ἀπὸ τῆς Σάμου πρέσβεσι παρακαλοῦ-

σιν αὐτὸν Πολυκράτει τῷ τυράννῳ πολεμεῖν καὶ διὰ τοῦτο μακρολογοῦσιν, 'ὧν εἰρήκατε' ἔφη 'τὰ μὲν ἐξ ἀρχῆς οὐ μέμνημαι, διὰ τοῦτο δὲ καὶ τὰ μέσα οὐ συνίημι· τὰ δ' ἐπὶ πᾶσιν οὐ δοκιμάζω.'

8. Πειρατοῦ δὲ καταδραμόντος τὴν χώραν καί, ὡς ἑάλω, λέγοντος ὅτι 'τροφὴν οὐκ εἶχον τοῖς στρατιώταις παρέχειν, πρὸς τοὺς ἔχοντας οὖν ἑκοντὶ δ' οὐ διδόντας βίᾳ ληψόμενος ἦλθον·' ἔφη 'σύντομος ἡ πονηρία.'

9. Φαύλου δέ τινος αὐτὸν κακῶς λέγοντος 'ἆρα διὰ τοῦτο' ἔφη 'πάντας σὺ κακῶς λέγεις, ἵνα ἀπολογούμενοι μὴ εὐκαιρῶμεν περὶ τῆς σῆς κακίας λέγειν;' E

10. Τῶν δὲ πολιτῶν τινος λέγοντος, ὅτι τὸν ἀγαθὸν βασιλέα πάντῃ πάντως πρᾶον εἶναι δεῖ, 'οὐκοῦν' ἔφη 'ἄχρι τοῦ μὴ εὐκαταφρόνητον εἶναι.'

11. Ἑλκυσθεὶς δὲ νόσῳ μακρᾷ, ἐπεὶ καθαρταῖς καὶ μάντεσι προσεῖχε τὸ πρὶν οὐ προσέχων, θαυμάζοντός τινος, 'τί θαυμάζεις;' ἔφη 'οὐ γάρ εἰμι ὁ αὐτὸς νῦν καὶ τότε· οὐκ ὢν δὲ ὁ αὐτὸς οὐδὲ τὰ αὐτὰ δοκιμάζω.'

12. Σοφιστοῦ δέ τινος περὶ ἀνδρείας λέγοντος, F πλείω ἐγέλασε· τοῦ δὲ εἰπόντος 'τί γελᾷς, Κλεόμενες, περὶ ἀνδρείας λέγοντος ἀκούων, καὶ ταῦτα βασιλεὺς ὤν;' 'ὅτι' ἔφη 'ξένε καὶ ἡ χελιδὼν εἰ περὶ αὐτῆς ἔλεγε, τὸ αὐτὸ τοῦτο ἂν ἐποίουν· εἰ δὲ ἀετός, πολλὴν ἂν εἶχον ἠρεμίαν.'

13. Τῶν δὲ Ἀργείων τὴν προτέραν ἧτταν φασκόντων ἀναμαχεῖσθαι, 'θαυμάζω' ἔφη 'εἰ δύο συλ-

10 ἆρα *: ἄρα   12 λέγειν; *: λέγειν.

λαβῶν προσθήκῃ νῦν κρείσσονες ἐγένεσθε ἢ πρόσθεν ἦτε.'

14. *Λοιδοροῦντος δέ τινος αὐτὸν καὶ φήσαντος 'θρυπτικὸς εἶ, ὦ Κλεόμενες,' 'ἀλλὰ κρεῖσσον' ἔφη 'ἢ ἄδικον εἶναι· σὺ δὲ φιλοχρήματος καίπερ ἱκανὰ κεκτημένος.'*

15. *Ψάλτην δέ τις αὐτῷ βουλόμενος συστῆσαι*
224 *τά τε ἄλλα τὸν ἄνδρα ἐπῄνει καὶ ψάλτην αὐτὸν ἔφη κράτιστον εἶναι τῶν Ἑλλήνων· ὁ δὲ δείξας τινὰ τῶν πλησίον 'νὴ τοὺς θεούς' ἔφη 'οὗτος παρ' ἐμοὶ ζωμοποιός.'*

16. *Μαιάνδρου δὲ τοῦ τῆς Σάμου τυράννου διὰ τὴν Περσῶν ἔφοδον εἰς Σπάρτην φυγόντος καὶ ἐπιδείξαντος ὅσα κεκομίκει χρύσεά τε καὶ ἀργύρεα ἐκπώματα χαριζομένου τε ὅσα βούλεται, ἔλαβε μὲν οὐδέν, εὐλαβούμενος δὲ μὴ ἑτέροις τισὶ τῶν ἀστῶν διαδῷ, πορευθεὶς ἐπὶ τοὺς ἐφόρους 'ἄμεινον' ἔφη 'εἶναι τῇ Σπάρτῃ τὸν ξένον ἑαυτοῦ Σάμιον ἀπαλλάττεσθαι τῆς Πελοποννήσου, ἵνα μὴ πείσῃ τινὰ*
B *τῶν Σπαρτιατῶν κακὸν γενέσθαι.' οἱ δὲ ὑπακούσαντες ἐξεκήρυξαν τὸν Μαίανδρον αὐτῆς ἡμέρας.*

17. *Εἰπόντος δέ τινος 'διὰ τί πολεμοῦντας ὑμῖν Ἀργείους πολλάκις κρατήσαντες οὐκ ἀνῃρήκατε;' 'οὐδ' ἂν ἀνέλοιμεν' ἔφη 'ὡς ἂν γυμναστὰς τοῖς νέοισιν ἔχοιμεν.'*

18. *Πυνθανομένου δέ τινος αὐτοῦ διὰ τί Σπαρτιᾶται τοῖς θεοῖς οὐκ ἀνατιθέασι τὰ ἀπὸ τῶν πολεμίων σκῦλα, 'ὅτι' ἔφη 'ἀπὸ δειλῶν ἐστι.'*

10 *πλησίον* *: *πλησίων* 12 *Μαιανδρίου* Herod. 3, 148

ΚΛΕΟΜΕΝΟΥΣ ΤΟΥ ΚΛΕΟΜΒΡΟΤΟΥ.

Κλεομένης ὁ Κλεομβρότου, διδόντος αὐτῷ τινος C *μαχίμους ἀλεκτρυόνας καὶ λέγοντος ὅτι μαχόμενοι ἀποθνήσκουσι περὶ νίκης, 'τῶν κατακτεινόντων τοίνυν αὐτούς' ἔφη 'τινάς δός μοι, ἐκεῖνοι γὰρ τούτων ἀμείνους.'*

ΛΑΒΩΤΟΥ.

Λάβωτος, μακρολογοῦντός τινος, εἶπε 'τί μοι μικρῶν πέρι μεγάλα φροιμιάζῃ; ὅσον γὰρ εἴη πρᾶγμα, τοσοῦτον καὶ ὁ λόγος ᾧ χρῆσαι.'

ΛΕΩΤΥΧΙΔΟΥ.

1. *Λεωτυχίδας ὁ πρῶτος, λέγοντός τινος ὡς ἔστιν εὐμετάβολος, 'διὰ τοὺς καιρούς' ἔφη 'οὐχ ὡς* D *ὑμεῖς διὰ τὴν αὐτῶν κακίαν.'*

2. *Πρὸς δὲ τὸν ἐρωτῶντα πῶς ἄν τις μάλιστα διαφυλάσσοι τὰ παρόντα τῶν ἀγαθῶν, εἶπεν 'εἰ μὴ πάντα τῇ τύχῃ πιστεύοι.'*

3. *Ἐρωτηθεὶς δὲ τί δεῖ μάλιστα μανθάνειν τοὺς ἐλευθέρους παῖδας, 'ταῦτ'' ἔφη 'ὅσαπερ ἂν αὐτοὺς ὠφελήσειαν ἄνδρας γενομένους.'*

4. *Πυνθανομένου δέ τινος διὰ τίνα αἰτίαν ὀλιγοποτοῦσιν οἱ Σπαρτιᾶται, ἔφη 'ἵνα μὴ ἄλλοι ὑπὲρ ἡμῶν βουλεύωνται, ἀλλ' ἡμεῖς ὑπὲρ ἄλλων.'*

ΛΕΩΤΥΧΙΔΟΥ ΤΟΥ ΑΡΙΣΤΩΝΟΣ.

1. *Λεωτυχίδας ὁ Ἀρίστωνος πρὸς τὸν εἰπόντα ὅτι κακῶς αὐτὸν οἱ τοῦ Δημαράτου λέγουσι 'μὰ* E

τοὺς θεούς' ἔφη 'οὐ θαυμάζω, καλῶς γὰρ λέγειν οὐδεὶς ἂν αὐτῶν δυνηθείη.'

2. Τῇ δ' ἐγγυτέρω πύλῃ δράκοντος περὶ τὴν κλεῖν ἑλιχθέντος καὶ τῶν μάντεων τέρας ἀποφαινομένων εἶναι, 'οὔτι ἔμοιγ'' ἔφη 'δοκεῖ, ἀλλ' εἰ ἡ κλεὶς τῷ δράκοντι περιειλίχθη, τέρας ἂν ἦν.'

3. Πρὸς Φίλιππον τὸν ὀρφεοτελεστὴν παντελῶς πτωχὸν ὄντα, λέγοντα δ' ὅτι οἱ παρ' αὐτῷ μυηθέντες μετὰ τὴν τοῦ βίου τελευτὴν εὐδαιμονοῦσι, 'τί οὖν, ὦ ἀνόητε' εἶπεν 'οὐ τὴν ταχίστην ἀπο-
F θνήσκεις, ἵν' ἅμα παύσῃ κακοδαιμονίαν καὶ πενίαν κλαίων;'

4. Πυθομένου δέ τινος διὰ τί τὰ ἀπὸ τῶν πολεμίων ὅπλα τοῖς θεοῖς οὐκ ἀνατιθέασιν, ἔφη ὅτι 'τὰ διὰ τὴν δειλίαν τῶν κεκτημένων θηραθέντα οὔτε τοὺς νέους ὁρᾶν καλὸν οὔτε τοῖς θεοῖς ἀνατιθέναι.'

ΛΕΟΝΤΟΣ ΤΟΥ ΕΥΡΥΚΡΑΤΙΔΑ.

1. Λέων ὁ Εὐρυκρατίδα ἐρωτηθείς, ποίαν τις ἂν πόλιν οἰκήσας ἀσφαλῶς οἰκοίη, 'ὅπου' ἔφη 'μήτε πλείω μήτε ἐλάσσονα κεκτήσονται οἱ ἐνοικοῦντες· καὶ ὅπου τὸ μὲν δίκαιον ἰσχύσει, τὸ δὲ ἄδικον ἀσθενὲς ἔσται.'

2. Ὁρῶν δὲ τοὺς ἐν Ὀλυμπίᾳ δρομεῖς σπουδάζοντας περὶ τὴν ἄφεσιν ἵνα πλεονεκτήσωσιν, 'ὅσῳ μᾶλλον' ἔφη 'οἱ δρομεῖς σπουδάζουσι περὶ τῆς ταχυτῆτος ἢ περὶ τῆς δικαιοσύνης.'

11 ἵν' ἅμα παύσῃ *: ἵνα ἀναπαύσῃ

3. Ἀκαίρως δέ τινος περὶ πραγμάτων οὐκ ἀχρήστων διαλεχθέντος, 'ὦ ξένε' εἶπεν 'οὐκ ἐν δέοντι χρῇ τῷ δέοντι.'

ΛΕΩΝΙΔΟΥ ΤΟΥ ΑΝΑΞΑΝΔΡΙΔΑ.

1. Λεωνίδας ὁ Ἀναξανδρίδα, ἀδελφὸς δὲ Κλεομένους, πρός τινα εἰπόντα 'πλὴν τοῦ βασιλεύειν 225 ἡμῶν οὐδὲν διαφέρεις,' 'ἀλλ' οὐκ ἄν' ἔφη 'εἰ μὴ βελτίων ὑμῶν ἤμην, ἐβασίλευον.'

2. Τῆς δὲ γυναικὸς αὐτοῦ Γοργοῦς πυνθανομένης, ὅτε εἰς Θερμοπύλας ἐξῄει τῷ Πέρσῃ μαχούμενος, εἴ τι αὐτῇ ἐντέλλεται, ἔφη 'ἀγαθοῖς γαμεῖσθαι καὶ ἀγαθὰ τίκτειν.'

3. Λεγόντων δὲ τῶν ἐφόρων ὀλίγους ἄγειν αὐτὸν εἰς Θερμοπύλας, 'οὐκ ἄλλας' ἔφη 'πρὸς ἣν βαδίζομεν πρᾶξιν.'

4. Πάλιν δὲ αὐτῶν εἰπόντων 'μή τι ἕτερόν διέγνωκας ποιεῖν ἢ τὰς παρόδους τῶν βαρβάρων κωλύειν;' 'τῷ λόγῳ' ἔφη 'τῷ δ' ἔργῳ ἀποθανούμενος ὑπὲρ τῶν Ἑλλήνων.'

5. Γενόμενος δὲ ἐν Θερμοπύλαις πρὸς τοὺς B συστρατιώτας εἶπε 'λέγοντι τὸν βάρβαρον ἐγγύθι γενόμενον * *, ἄμμε δὲ χρονοτριβέειν· ἤδη γὰρ ἢ κτάμεν τὼς βαρβάρως ἢ αὐτοὶ τεθνάμεν θέλομες.'

6. Λέγοντος δέ τινος 'ἀπὸ τῶν οἰστευμάτων

13 οὐκ ἄλλας] οὐκ ὀλίγους m. s. V^2. οὔκ, ἀλλ' ἅλις an οὔκ, ἀλλὰ πολλούς? 16 τῶν βαρβάρων] delevit Madvigius κωλύειν] ἰέναι κωλύσων idem 17 ἀποθανούμενος] ἄπειμι ἀποθανούμενος? 21 lacuna 9 litt. in V^2 ἢ κτάμεν *: ηκαμεν vel ἥκαμες

τῶν βαρβάρων οὐδὲ τὸν ἥλιον ἰδεῖν ἔστιν,' 'οὐκοῦν' ἔφη 'χάριεν, εἰ ὑπὸ σκιὰν αὐτοῖς μαχεσόμεθα.'

7. Ἄλλου δὲ εἰπόντος 'πάρεισιν ἐγγὺς ἡμῶν,' 'οὐκοῦν' ἔφη 'καὶ ἡμεῖς αὐτῶν ἐγγύς.'

8. Εἰπόντος δέ τινος 'ὦ Λεωνίδα, πρὸς πολλοὺς μετ' ὀλίγων διακινδυνεύσων οὕτω πάρει;' 'εἰ μὲν οἴεσθέ με' ἔφη 'τῷ πλήθει, οὐδὲ ἡ πᾶσα Ἑλλὰς
C ἀρκεῖ· βραχεῖα γὰρ μοῖρα τοῦ ἐκείνων πλήθους ἐστίν· εἰ δὲ ταῖς ἀρεταῖς, καὶ οὗτος ὁ ἀριθμὸς ἱκανός.'

9. Ἄλλου δὲ τὰ αὐτὰ λέγοντος, 'καὶ μήν' εἶπεν 'πολλοὺς ἐπάγομαι ὡς ἀποθανουμένους.'

10. Ξέρξου δὲ γράψαντος αὐτῷ 'ἔξεστί σοι μὴ θεομαχοῦντι, μετ' ἐμοῦ δὲ τασσομένῳ τῆς Ἑλλάδος μοναρχεῖν' ἀντέγραψεν 'εἰ τὰ καλὰ τοῦ βίου γινώσκοις, ἀπέστης ἂν τῆς τῶν ἀλλοτρίων ἐπιθυμίας· ἐμοὶ δὲ κρείσσων ὁ ὑπὲρ τῆς Ἑλλάδος θάνατος τοῦ μοναρχεῖν τῶν ὁμοφύλων.'

11. Πάλιν δὲ τοῦ Ξέρξου γράψαντος 'πέμψον
D τὰ ὅπλα', ἀντέγραψε 'μολὼν λάβε.'

12. Βουλομένου δ' αὐτοῦ ἤδη τοῖς πολεμίοις ἐπιτίθεσθαι, οἱ πολέμαρχοι πρὸς αὐτὸν ἔφασαν ὅτι δεῖ προσμένειν αὐτὸν τοὺς ἄλλους συμμάχους, 'οὐ γάρ' ἔφη 'πάρεισιν οἱ μάχεσθαι μέλλοντες; ἢ οὐκ ἴστε, ὅτι μόνοι πρὸς τοὺς πολεμίους μάχονται οἱ τοὺς βασιλέας αἰδούμενοι καὶ φοβούμενοι;'

13. Τοῖς δὲ στρατιώταις παρήγγειλεν ἀριστοποιεῖσθαι ὡς ἐν Ἅιδου δειπνοποιησομένους.

7 οἴεσθέ με] intelleg. διακινδυνεύσειν 14 γινώσκοις] malim ἐγίνωσκες

14. Ἐρωτηθεὶς δὲ διὰ τί οἱ ἄριστοι τὸν ἔνδοξον θάνατον τῆς ἀδόξου προκρίνουσι ζωῆς, 'ὅτι' ἔφη 'τὸ μὲν τῆς φύσεως ἴδιον, τὸ δὲ αὑτῶν εἶναι νομίζουσιν.'

15. Τοὺς δὲ ἠιθέους βουλόμενος σῶσαι καὶ E ἐπιστάμενος ἄντικρυς οὐκ ἀνεξομένους, σκυτάλας δοὺς καθ' ἕνα αὐτῶν πρὸς τοὺς ἐφόρους ἔπεμψε. καὶ τῶν τελείων δὲ τρεῖς ἐβουλήθη διασῶσαι· οἱ δὲ συννοήσαντες οὐκ ἠνέσχοντο λαβεῖν τὰς σκυτάλας· ὧν ὁ μὲν εἶπεν 'οὐ κῆρυξ ἀλλὰ μαχητὰς ἀκολούθησα'· ὁ δὲ δεύτερος 'αὐτοῦ μένων κρέσσων ἂν εἴην'· ὁ δὲ τρίτος 'οὐχ ὕστερος τούτων, πρῶτος δὲ μαχήσομαι.'

ΛΟΧΑΓΟΥ.

Λοχαγὸς ὁ Πολυαινίδου καὶ Σείρωνος πατήρ, ἀπαγγείλαντός τινος αὐτῷ ὅτι τῶν υἱῶν τεθνήκοι ὁ ἕτερος, 'πάλαι ᾔδειν' ἔφη 'ὅτι ἀποθανεῖν αὐτὸν F ἔδει.'

ΛΥΚΟΥΡΓΟΥ.

1. Λυκοῦργος ὁ νομοθέτης βουλόμενος ἐκ τῆς προϋπαρχούσης διαίτης τοὺς πολίτας εἰς σωφρονεστέραν βίου τάξιν μετάγειν καὶ καλοκαγαθικοὺς ἀπεργάζεσθαι (ἁβροδίαιτοι γὰρ ἦσαν) δύο σκύλακας ἀνέθρεψε ταὐτοῦ πατρὸς καὶ μητρὸς γενομένους· καὶ τὸν μὲν εἴθισε περὶ λιχνείας οἴκοι ἐάσας· τὸν δὲ ἐπαγόμενος ἤσκησε περὶ κυνηγέσια. ἔπειτα ἀγαγὼν εἰς τὴν ἐκκλησίαν ἔθηκεν ἀκάνθας καὶ λιχνείας

24 ἀκάνθας] τενθείας? cf. λιχνείας = λιχνεύματα

τινάς, ἀφῆκε δὲ καὶ λαγών· ἑκατέρου δ' ἐπὶ τὰ συνήθη ὁρμήσαντος καὶ θατέρου τὸν λαγὼν χειρωσαμένου, εἶπεν 'ὁρᾶτε, ὦ πολῖται, ὅτι ταὐτοῦ γένους
226 ὑπάρχοντες ἐν τῇ τοῦ βίου ἀγωγῇ παρὰ πολὺ ἀλλήλων διάφοροι ἀπέβησαν, καὶ ποιητικωτέρα τῆς φύσεως ἡ ἄσκησις πρὸς τὰ καλὰ τυγχάνει;' τινὲς δέ φασιν, ὡς οὐ παρῆγε σκύλακας, οἳ ἐκ τῶν αὐτῶν γεγονότες ἐτύγχανον, ἀλλ' ὁ μὲν ἐξ οἰκουρῶν, ἕτερος δ' ἐκ κυνηγετικῶν· κἄπειτα τὸν μὲν ἐκ τοῦ χείρονος γένους πρὸς τὰ κυνηγέσια ἤσκησε, τὸν δὲ ἐκ τοῦ ἀμείνονος περὶ λιχνείας μόνον εἴθισεν· εἶθ' ἑκατέρου ἐφ' ἃ εἴθιστο ὁρμήσαντος, φανερὸν ποιήσας ὅσον ἡ ἀγωγὴ πρὸς τὰ ἀμείνω καὶ χείρω συλλαμβάνεται, εἶπεν 'οὐκοῦν καὶ ἡμᾶς, ὦ πολῖται, οὐδὲν ἡ παρὰ τοῖς πολλοῖς θαυμαζομένη εὐγένεια καὶ τὸ ἀφ' Ἡρακλέους
B εἶναι ὀνίνησιν, εἰ μὴ πράττομεν δι' ἃ ἐκεῖνος ἁπάντων ἀνθρώπων ἐπιδοξότερος καὶ εὐγενέστερος ἐφάνη, ἀσκούμενοι καὶ μανθάνοντες καλὰ δι' ὅλου τοῦ βίου.'

2. Ἀναδασμὸν δὲ τῆς γῆς ποιήσας καὶ ἅπασιν ἴσον κλῆρον τοῖς πολίταις νείμας, λέγεται ὕστερόν ποτε χρόνῳ τὴν χώραν διερχόμενος ἐξ ἀποδημίας ἄρτι τεθερισμένην, ἰδὼν τοὺς σωροὺς κειμένους παρ' ἀλλήλους καὶ ὁμαλοὺς ἡσθῆναι, καὶ μειδιάσαντα εἰπεῖν πρὸς τοὺς παρόντας ὡς 'ἡ Λακωνικὴ φαίνεται πᾶσα πολλῶν ἀδελφῶν εἶναι νεωστὶ νενεμημένων.'

3. Καὶ τῶν χρεῶν δὲ ἀποκοπὰς εἰσηγησάμενος
C ἐπεχείρησε καὶ τὰ κατ' οἶκον ὄντα πάντα ἐξ ἴσου

5 ποιητικωτέρα] πρακτικωτέρα Cobetus 7 ὡς] om. mei codd.

διαιρεῖν, ὅπως παντάπασιν ἐξέλοι τὸ ἄνισον καὶ ἀνώμαλον. ἐπεὶ δὲ χαλεπῶς ἑώρα προσδεξομένους τὴν ἄντικρυς ἀφαίρεσιν, τό τε χρυσοῦν καὶ ἀργυροῦν νόμισμα ἠκύρωσε, μόνῳ δὲ τῷ σιδηρῷ προσέταξε χρῆσθαι· καὶ μέχρις οὗ δεῖ ἔχειν τὴν ὅλην ὕπαρξιν πρὸς ἀμοιβὴν τούτου, περιώρισε. τούτου δὲ D γενομένου, ἐξέπεσε τῆς Λακεδαίμονος ἀδικία πᾶσα· οὔτε γὰρ κλέπτειν οὔτε δωροδοκεῖν οὔτε ἀποστερεῖν ἢ ἁρπάζειν ἔτι ἐδύνατό τις, ὃ μήτε κατακρύψαι δυνατὸν ἦν μήτε κτήσασθαι ζηλωτὸν μήτε χρήσασθαι ἀκίνδυνον, μήτε ἐξάγειν ἢ ἐπάγειν ἀσφαλές. πρὸς δὲ τούτοις καὶ ἁπάντων τῶν περισσῶν ξενηλασίαν ἐποιήσατο· διὸ οὔτε ἔμπορος οὔτε σοφιστὴς οὔτε μάντις ἢ ἀγύρτης οὔτε τῶν κατασκευασμάτων δημιουργὸς εἰσῄει εἰς τὴν Σπάρτην. οὐδὲ γὰρ νόμισμα παρ' αὐτοῖς εὔχρηστον εἴασε, μόνον δὲ τὸ σιδηροῦν εἰσηγήσατο, ὅ ἐστι μνᾶ ὁλκῇ Αἰγιναία, δυνάμει δὲ χαλκοῖ τέσσαρες.

4. Ἐπιθέσθαι δὲ τῇ τρυφῇ καὶ τὸν ζῆλον ἀφελέσθαι τοῦ πλούτου διανοηθεὶς τὰ συσσίτια εἰσηγήσατο. πρὸς γοῦν τοὺς ἐπιζητοῦντας, διὰ τί ταῦτα E συνεστήσατο καὶ μεθ' ὅπλων κατ' ὀλίγους τοὺς πολίτας διῄρηκεν, 'ὅπως' εἶπεν 'ἐξ ἑτοίμου τὰ παραγγελλόμενα δέχωνται, καὶ ἐάν τι νεωτερίζωσιν, ἐν ὀλίγοις ᾖ τὸ ἀμπλάκημα· ἰσομοιρία τε τῆς τροφῆς καὶ πόσεως ᾖ, καὶ μήτε πόσει τινὶ ἢ βρώσει ἀλλὰ μηδὲ στρωμνῇ ἢ σκεύεσιν ἢ ἄλλῳ τινὶ τὸ σύνολον πλέον ἔχῃ ὁ πλούσιος τοῦ πένητος.'

5. Ἄζηλον δὲ ποιήσας τὸν πλοῦτον, οὐδενὸς

οὐδὲ χρῆσθαι οὐδὲ ἐπιδεῖξαι δυναμένου, ἔλεγε πρὸς τοὺς συνήθεις ‘ὡς καλόν ἐστιν, ὦ ἑταῖροι, διὰ τῶν
F *ἔργων ἐπιδεῖξαι τὸν πλοῦτον ὁποῖός ἐστι τῇ ἀληθείᾳ, ὅτι τυφλός.’*

6. *Παρεφύλαξε δὲ ὥστε μηδὲ οἴκοι προδειπνήσαντας ἐξεῖναι βαδίζειν ἐπὶ τὰ συσσίτια, πεπληρωμένους ἑτέρων ἐδεσμάτων ἢ πωμάτων· ἐκάκιζον δὲ οἱ λοιποὶ τὸν μὴ πιόντα ἢ φαγόντα μετ᾽ αὐτῶν, ὡς ἀκρατῆ καὶ πρὸς τὴν κοινὴν ἀπομαλακιζόμενον δίαιταν· ἐξημιοῦτο δὲ καὶ ὁ φανερὸς γενόμενος. Ἄγιδος γοῦν μετὰ πολὺν χρόνον τοῦ βασιλέως ἐπανελθόντος ἀπὸ στρατείας (καταπεπολεμήκει δὲ Ἀθηναίους), βουλο-*
227 *μένου παρὰ τῇ γυναικὶ μιᾷ ἡμέρᾳ δειπνῆσαι καὶ μεταπεμπομένου τὰς μερίδας, οὐκ ἔπεμψαν οἱ πολέμαρχοι· μεθ᾽ ἡμέραν δὲ φανεροῦ γενομένου τοῖς ἐφόροις, ἐξημιώθη ὑπ᾽ αὐτῶν.*

7. *Πρὸς οὖν τὰ τοιαῦτα τῶν νομοθετημάτων χαλεπήναντες οἱ εὔποροι ἐπισυνέστησαν καὶ ἐβλασφήμουν αὐτὸν καὶ ἔβαλλον, καταλεῦσαι βουλόμενοι· διωκόμενος δὲ διέπεσε διὰ τῆς ἀγορᾶς· καὶ τοὺς μὲν ἄλλους ἔφθασεν εἰς τὸ ἱερὸν τῆς χαλκιοίκου Ἀθηνᾶς καταφυγών· Ἄλκανδρος δὲ ἐπιστραφέντος αὐτοῦ διώκων τῇ βακτηρίᾳ τὸν ὀφθαλμὸν ἐξέκοψεν αὐτοῦ. τοῦτον δὲ κοινῷ δόγματι παραλαβὼν ἐπὶ τιμωρίᾳ*
B *οὔτε κακῶς διέθηκεν οὔτε ἐμέμψατο, συνδιαιτώμενον δὲ ἔχων ἀπέδειξεν ἐπαινέτην αὐτοῦ τε καὶ τῆς διαίτης ἣν εἶχε σὺν αὐτῷ, καὶ καθόλου τῆς ἀγωγῆς ἐραστήν. τοῦ δὲ πάθους ὑπόμνημα ἱδρύσατο ἐν τῷ*

7 *πωμάτων* *: *πομάτων*

τῆς Χαλκιοίκου τεμένει ἱερὸν Ἀθηνᾶς, Ὀπτιλλέτιν προσαγορεύσας· τοὺς γὰρ ὀφθαλμοὺς ὀπτίλλους οἱ τῇδε Δωριεῖς λέγουσιν.

8. Ἐρωτηθεὶς δὲ διὰ τί οὐκ ἐχρήσατο νόμοις ἐγγράφοις, ‘ὅτι’ ἔφη ‘οἱ πεπαιδευμένοι καὶ ἀχθέντες τῇ προσηκούσῃ ἀγωγῇ τὸ τοῦ καιροῦ χρήσιμον δοκιμάζουσι.’

9. Πάλιν δ’ ἐπιζητούντων τινῶν, διὰ τί ὀροφὴν ἀπὸ πελέκεως ταῖς οἰκίαις ἐπιτιθέναι προσέταξε, C θύραν δὲ ἀπὸ πρίονος μόνου καὶ μηδενὸς τῶν ἄλλων ἐργαλείων, ‘ὅπως ἂν’ ἔφη ‘μετριάζοιεν οἱ πολῖται περὶ πάντα, ὅσα εἰς τὴν οἰκίαν εἰσάγουσι, καὶ μηδὲν τῶν παρ’ ἄλλοις ζηλουμένων ἔχωσιν.’

10. Ἐκ δὲ ταύτης τῆς συνηθείας φασὶ καὶ Λεωτυχίδην τὸν πρῶτον βασιλέα δειπνοῦντα παρά τινι καὶ θεασάμενον τῆς στέγης τοῦ οἴκου τὴν παρασκευὴν πολυτελῆ καὶ φατνωματικήν, ἐρωτῆσαι τὸν ξένον ‘εἰ τετράγωνα παρ’ αὐτοῖς ξύλα φύεται.’

11. Ἐρωτηθεὶς δὲ διὰ τί ἐκώλυσεν ἐπὶ τοὺς αὐτοὺς πολεμίους πολλάκις στρατεύεσθαι, ἔφη ‘ἵνα μὴ πολλάκις ἀμύνεσθαι συνεθιζόμενοι ἔμπειροι πολέμου γένωνται.’ διὸ καὶ Ἀγησιλάῳ ἔγκλημα οὐ βραχὺ ἔδοξεν εἶναι, ταῖς εἰς τὴν Βοιωτίαν συνεχέσιν εἰσβο- D λαῖς καὶ στρατείαις τοὺς Θηβαίους ἀντιπάλους Λακεδαιμονίοις κατασκευάσαντος. τετρωμένον γοῦν ἰδὼν αὐτὸν Ἀνταλκίδας ‘καλά’ εἶπε ‘τροφεῖα ἀπέχεις, μὴ βουλομένους αὐτοὺς μηδὲ εἰδότας μάχεσθαι διδάξας.’

12. Ἄλλου δὲ ἐπιζητοῦντος, διὰ τί τὰ σώματα

27 μηδὲ *: μήτε

τῶν παρθένων δρόμοις καὶ πάλαις καὶ βολαῖς δίσκων καὶ ἀκοντίων διεπόνησεν, ‘ἵν’ ’ ἔφη ‘ἡ τῶν γεννωμένων ῥίζωσις ἰσχυρὰν ἐν ἰσχυροῖς σώμασιν ἀρχὴν λαβοῦσα καλῶς βλαστάνῃ· αὐταί τε μετὰ ῥώμης τοὺς τόκους ὑπομένουσαι ῥᾳδίως τε ἅμα καὶ καλῶς ἀγωνίζωνται πρὸς τὰς ὠδῖνας· καὶ εἴ τις ἀνάγκη γένοιτο, δύνωνται ὑπὲρ αὑτῶν καὶ τέκνων καὶ τῆς πατρίδος μάχεσθαι.’

E 13. *Μεμφομένων δέ τινων τὴν γύμνωσιν τῶν παρθένων ἐν ταῖς πομπαῖς καὶ τὴν αἰτίαν ζητούντων, ‘ἵν’ ’ ἔφη ‘τὰ αὐτὰ τοῖς ἀνδράσιν ἐπιτηδεύουσαι μηδὲν μεῖον ἔχωσι μήτε κατὰ σώματος ἰσχὺν καὶ ὑγίειαν μήτε κατὰ ψυχῆς φιλοτιμίαν καὶ ἀρετήν· δόξης δὲ τῆς παρὰ τοῖς πολλοῖς ὑπερφρονῶσιν. ὅθεν καὶ περὶ Γοργοῦς ἱστορεῖται τῆς Λεωνίδου γυναικὸς τοιοῦτον· εἰπούσης γάρ τινος, ὡς ἔοικε, ξένης πρὸς αὐτὴν ὡς ‘μόναι τῶν ἀνδρῶν ἄρχετε ὑμεῖς αἱ Λάκαιναι’ ἀπεκρίνατο ‘μόναι γὰρ ἡμεῖς ἄνδρας τίκτομεν.’*

F

14. *Εἴρξας δὲ τοὺς ἀγάμους τῆς ἐν ταῖς γυμνοπαιδίαις θέας καὶ ἀτιμίαν προσθείς, πολλὴν πρόνοιαν ἐποιήσατο τῆς παιδοποιίας· τιμῆς δὲ καὶ θεραπείας, ἣν νέοι πρεσβυτέροις παρεῖχον, ἐστέρησε. καὶ τὸ πρὸς Δερκυλλίδαν ῥηθὲν οὐδεὶς ἐμέμψατο, καίπερ εὐδόκιμον ὄντα στρατηγόν· ἐπιόντι γὰρ αὐτῷ τῶν νεωτέρων τις ἕδρας οὐχ ὑπεῖξεν εἰπὼν ‘οὐδὲ γὰρ ἐμοὶ σὺ τὸν ὑπείξοντα ἐγέννησας.’*

15. *Πυνθανομένου δέ τινος, διὰ τί τὰς κόρας ἐνομοθέτησεν ἀπροίκους ἐκδίδοσθαι, ‘ὅπως’ ἔφη*

ʽμήτε δι᾽ ἔνδειαν ἄγαμοί τινες ἐαθῶσι μήτε διὰ περιουσίαν σπουδάζωνται, ἕκαστος δὲ εἰς τὸν τρόπον τῆς παιδὸς ἀφορῶν ἀρετῇ τὴν αἵρεσιν ποιῆται.᾽ διὰ τοῦτο δὲ καὶ τὸν καλλωπισμὸν τῆς πόλεως 228
ἀπήλασεν.

16. Ὁρίσαντος δὲ αὐτοῦ καὶ τὸν χρόνον τῶν τε γαμουμένων καὶ τῶν γαμούντων, πρὸς τὸν ζητοῦντα, ʽἵν᾽᾽ ἔφη ʽτὰ γεννώμενα ἰσχυρὰ ᾖ ἐκ τελείων γεννώμενα.᾽

17. Πρὸς δὲ τὸν θαυμάζοντα, διότι τὸν γεγαμηκότα ἀπεῖρξε μὴ συγκοιμᾶσθαι τῇ γεγαμημένῃ, προσέταξε δὲ τὸ πλεῖστον τῆς ἡμέρας συνεῖναι τοῖς ἡλικιώταις καὶ τὰς νύκτας ὅλας συναναπαύεσθαι, τῇ δὲ νύμφῃ κρύφα καὶ μετ᾽ εὐλαβείας συνεῖναι, ʽὅπως᾽ ἔφη ʽκαὶ τοῖς σώμασιν ἰσχυροὶ ὦσι διακορεῖς μὴ γινόμενοι, καὶ τῷ φιλεῖν ἀεὶ καινοὶ ὑπάρχωσι καὶ B
τὰ ἔκγονα ἐρρωμενέστερα παρέχωσι.᾽

18. Καὶ τὸ μὲν μύρον ἐξήλασεν ὡς τοῦ ἐλαίου φθορὰν καὶ ὄλεθρον, τὴν δὲ βαφικὴν ὡς κολακείαν αἰσθήσεως.

19. Πᾶσι δὲ τοῖς περὶ τὸν τοῦ σώματος καλλωπισμὸν δημιουργοῖς ἀνεπίβατον ἐποίησε τὴν Σπάρτην, ὡς διὰ τῆς κακοτεχνίας τὰς τέχνας λυμαινομένοις.

20. Τοσαύτη δ᾽ ἦν κατ᾽ ἐκείνους τοὺς χρόνους σωφροσύνη τῶν γυναικῶν καὶ τοσοῦτον ἀπεῖχε τῆς ὕστερον περὶ αὐτὰς εὐχερείας, ὡς πρότερον ἄπιστον εἶναι τὸ τῆς μοιχείας παρ᾽ αὐταῖς. καὶ λόγος ἀπομνη-

3 ποιῆται *: ποιεῖται 7 ζητοῦντα] add. τὴν αἰτίαν X

C *μονεύεται Γεραδάτα τινὸς Σπαρτιάτου τῶν σφόδρα παλαιῶν, ὃς ἐρωτηθεὶς ὑπὸ ξένου, τί πάσχουσιν οἱ μοιχοὶ παρ' αὐτοῖς, οὐδὲν γὰρ ὁρᾶν περὶ τούτου νενομοθετημένον ὑπὸ Λυκούργου· εἶπεν 'οὐδείς, ὦ ξένε, γίνεται μοιχὸς παρ' ἡμῖν.' ἐκείνου δὲ ὑπολαβόντος 'ἂν οὖν γένηται', 'ταῦρον' ἔφη ὁ Γεραδάτας 'ἐκτίνει μέγαν, ὃς ὑπερκύψας τὸ Ταΰγετον ἀπὸ τοῦ Εὐρώτα πίεται.' θαυμάσαντος δ' ἐκείνου καὶ φήσαντος 'πῶς δὲ ἂν γένοιτο βοῦς τηλικοῦτος;' γελάσας ὁ Γεραδάτας 'πῶς γὰρ ἄν' ἔφη 'μοιχὸς ἐν Σπάρτῃ γένοιτο, ἐν ᾗ πλοῦτος μὲν καὶ τρυφὴ καὶ καλλωπισμὸς ἀτιμάζονται, αἰδὼς δὲ καὶ εὐκοσμία καὶ τῶν ἡγουμένων πειθὼ πρεσβεύονται;'*

21. *Πρὸς δὲ τὸν ἀξιοῦντα δημοκρατίαν ἐν τῇ* D *πόλει καταστήσασθαι ὁ Λυκοῦργος εἶπε 'σὺ πρῶτος ἐν τῇ οἰκίᾳ σου ποίησον δημοκρατίαν.'*

22. *Πυνθανομένου δέ τινος διὰ τί μικρὰς οὕτω καὶ εὐτελεῖς ἔταξε τῶν θεῶν τὰς θυσίας, 'ὅπως' ἔφη 'μηδέποτε τιμῶντες τὸ θεῖον διαλείπωμεν.'*

23. *Μόνα δὲ ταῦτα τῶν ἀθλημάτων ἐφέντος αὐτοῦ τοῖς πολίταις ἀγωνίζεσθαι, ὅπου ἡ χεὶρ οὐκ ἀνατείνεται, ἐπύθετό τις τὴν αἰτίαν· ὁ δέ 'ὅπως' εἶπε 'μηδεὶς αὐτῶν ἐν τῷ πονεῖν ἀπαυδᾶν ἐθίζηται.'*

24. *Ἐρωτῶντος δέ τινος, διὰ τί πυκνὰ μεταστρατοπεδεύειν κελεύει, 'ὅπως' εἶπε 'πλείω τοὺς ἐχθροὺς βλάπτοιμεν.'*

1 *Γεραδάτα*] *Γεράδα* Vit. Lyc. c. 15 6 *ταῦρον* *: *ταὐτὸν* 7 *ἐκτίνει μέγαν — — — γελάσας ὁ Γεραδάτας* addidi ex l. l. nisi quod pro *Γεράδας* scripsi *Γεραδάτας*

25. Ἄλλου δ' ἐπιζητοῦντος διὰ τί πυργομαχεῖν
ἀπεῖπε, 'ἵνα' ἔφη 'μὴ ὑπὸ γυναικὸς ἢ παιδὸς ἤ
τινος παραπλησίου ἀνθρώπου οἱ ἀμείνονες ἀποθνή- E
σκωσιν.'

26. Τοῖς δὲ συμβουλευομένοις τῶν Θηβαίων περὶ τῆς ἱερουργίας καὶ τοῦ πένθους, ἣν ποιοῦνται τῇ Λευκοθέᾳ, συνεβούλευσεν 'εἰ μὲν θεὸν ἡγοῦνται, μὴ θρηνεῖν· εἰ δὲ ἄνθρωπον, μὴ ἱερουργεῖν ὡς θεῷ.'

27. Πρὸς δὲ τοὺς ἐπιζητοῦντας τῶν πολιτῶν 'πῶς ἂν πολεμίων ἔφοδον ἀλεξοίμεθα;' 'ἐὰν πτωχοί' ἔφη 'ἦτε καὶ μὴ μείζων ἅτερος θατέρου ἐρέῃ εἶναι.'

28. Καὶ πάλιν ἐπιζητούντων περὶ τειχῶν, 'οὐκ' ἔφη 'πόλιν εἶναι ἀτείχιστον, ἥτις ἀνδράσι καὶ οὐ πλίνθοις ἐστεφάνωται.'

29. Ἐπεμέλοντο δὲ οἱ Σπαρτιᾶται καὶ τῆς κό- F
μης, ἀπομνημονεύοντές τινα Λυκούργου λόγον περὶ
τούτου, ὅτι τοὺς μὲν καλοὺς εὐπρεπεστέρους ποιεῖ,
τοὺς δὲ αἰσχροὺς φοβερωτέρους.

30. Παρήγγειλε δὲ ἐν τοῖς πολέμοις τρεψαμένους καὶ νικήσαντας μέχρι τοῦ βεβαιώσασθαι τὸ νίκημα ἐπιδιώκειν, εἶτα εὐθὺς ἀναχωρεῖν· οὔτε γενναῖον οὔτε Ἑλληνικὸν φονεύειν τοὺς παρακεχωρηκότας φάσκων, ἀλλὰ φείδεσθαι. ἦν δ' οὐ μόνον καλὸν τοῦτο καὶ μεγαλόψυχον ἀλλὰ καὶ χρήσιμον· εἰδότας γὰρ τοὺς μαχομένους πρὸς αὐτοὺς ὅτι φείδονται μὲν

12 μείζων *: μεῖζον ἐρέῃ εἶναι Sintenisius: ἐρεείνῃ 22 οὔτε γενναῖον supplevi ex Vit. Lyc. c. 22 24 ἀλλὰ φείδεσθαι — — μεγαλόψυχον ex eodem fonte addidi

τῶν ἐνδιδόντων, ἀναιροῦσι δὲ τοὺς ὑφισταμένους, τοῦ μένειν τὸ φεύγειν ὠφελιμώτερον ἡγήσεσθαι.

31. *Πυνθανομένου δέ τινος, διὰ τί τοὺς τῶν πολεμίων νεκροὺς ἀπηγόρευσε σκυλεύειν, ‘ὅπως’*
229 *ἔφη ‘μὴ κυπτάζοντες περὶ τὰ σκῦλα τῆς μάχης ἀμελῶσιν, ἀλλὰ καὶ τὴν πενίαν ἅμα τῇ τάξει διασῴζωσι.’*

ΛΥΣΑΝΔΡΟΥ.

1. *Λύσανδρος, Διονυσίου τοῦ τῆς Σικελίας τυράννου πέμψαντος αὐτοῦ ταῖς θυγατράσιν ἱμάτια πολυτελῆ, οὐκ ἔλαβεν εἰπὼν ‘δεδιέναι, μὴ διὰ ταῦτα μᾶλλον αἰσχραὶ φανῶσιν.’ ἀλλ’ ὀλίγον ὕστερον πρὸς τὸν αὐτὸν τύραννον ἐκ τῆς αὐτῆς πόλεως ἀποσταλεὶς πρεσβευτής, προσπέμψαντος αὐτῷ τοῦ Διονυσίου δύο στολὰς καὶ κελεύσαντος ἣν βούλεται ταύτην ἑλόμενον τῇ θυγατρὶ κομίζειν, ‘αὐτὴν ἐκείνην’ ἔφη ‘βέλτιον αἱρήσεσθαι·’ καὶ λαβὼν ἀμφοτέρας ἀπῆλθεν.*

2. *Ὁ δὲ Λύσανδρος, δεινὸς σοφιστὴς γενόμενος καὶ ἀπάταις τὰ πολλὰ ποικίλλων, τὸ δίκαιον ἐν μόνῳ τῷ λυσιτελεῖ τιθέμενος καὶ τὸ καλὸν ἐν τῷ συμφέροντι, ‘τὸ ἀληθὲς’ ἔλεγε ‘τοῦ ψεύδους κρεῖττον εἶναι, ἑκατέρου δὲ τῇ χρείᾳ τὴν ἀξίαν καὶ τὴν*
B *τιμὴν ὁρίζεσθαι.*

3. *Πρὸς δὲ τοὺς ψέγοντας αὐτὸν ἐπὶ τῷ δι’ ἀπάτης τὰ πλεῖστα πράττειν ὡς ἀνάξιον τοῦ Ἡρα-*

11 *ἀλλ’ ὀλίγον ὕστερον — — πρεσβευτής*] vid. Praefat. p. XXXIII

κλέους καὶ δόλῳ, οὐκ ἄντικρυς κατορθοῦντα, γελῶν ἔλεγεν ‘ὅπου μὴ ἐφικνεῖται τῇ λεοντῇ, προσραπτέον εἶναι τὴν ἀλωπεκῆν.’

4. Ἐπιμεμφομένων δ’ ἑτέρων αὐτὸν ἐπὶ ταῖς παραβάσεσι τῶν ὅρκων, οὓς ἐν Μιλήτῳ ἐποιήσατο, ἔλεγε ‘τοὺς μὲν παῖδας ἀστραγάλοις δεῖ ἐξαπατᾶν, τοὺς δὲ ἄνδρας ὅρκοις.’

5. Νικήσας δὲ τοὺς Ἀθηναίους ἐξ ἐνέδρας περὶ Αἰγὸς ποταμοὺς καὶ λιμῷ πιέσας αὐτοὺς παρεστήσατο τὴν πόλιν, καὶ ἔγραψε τοῖς ἐφόροις ‘ἑαλώκασιν αἱ Ἀθῆναι.’

6. Πρὸς Ἀργείους δὲ περὶ γῆς ὅρων ἀμφισβη- C τοῦντας πρὸς Λακεδαιμονίους καὶ δικαιότερα λέγειν αὐτῶν φάσκοντας σπασάμενος τὴν μάχαιραν ‘ὁ ταύτης’ ἔφη ‘κρατῶν βέλτιστα περὶ γῆς ὅρων διαλέγεται.’

7. Τοὺς δὲ Βοιωτοὺς ἐπαμφοτερίζοντας, ὅτε διῄει τὴν χώραν, ὁρῶν, προσέπεμψε πυνθανόμενος πότερον ὀρθοῖς τοῖς δόρασιν ἢ κεκλιμένοις διαπορεύηται τὴν χώραν αὐτῶν.’

8. Μεγαρέως δὲ ἀνδρὸς ἐν τῷ κοινῷ συλλόγῳ παρρησίᾳ χρησαμένου πρὸς αὐτόν, ‘οἱ λόγοι σου’ εἶπεν ‘ὦ ξένε, πόλεως δέονται.’

9. Ἐπεὶ δὲ Κορινθίων ἀφεστώτων διερχόμενος D παρὰ τὰ τείχη τοὺς Λακεδαιμονίους ἑώρα προσβάλλειν ὀκνοῦντας, καὶ λαγώς τις ὤφθη διαπηδῶν τὴν τάφρον, ‘οὐκ αἰσχύνεσθε’ εἶπεν ‘ὦ Σπαρτιᾶται,

2 τῇ λεοντῇ] ἡ λεοντῆ Car. Schmidtius 4 ἐπιμεμφομένων W: ἀπομεμφομένων

τοιούτους φοβούμενοι πολεμίους, ὧν οἱ λαγωοὶ δι' ἀργίαν τοῖς τείχεσιν ἐγκαθεύδουσιν;'

10. Ἐν δὲ Σαμοθρᾴκῃ χρηστηριαζομένῳ αὐτῷ ὁ ἱερεὺς ἐκέλευσεν εἰπεῖν, ὅ τι ἀνομώτατον ἔργον αὐτῷ ἐν τῷ βίῳ πέπρακται. ἐπηρώτησεν οὖν 'πότερον σοῦ τοῦτο κελεύοντος ἢ τῶν θεῶν τοῦτο δεῖ ποιεῖν;' φαμένου δέ 'τῶν θεῶν,' 'σὺ τοίνυν' ἔφη 'ἐκποδών μοι κατάστηθι, κἀκείνοις ἐρῶ, ἐὰν πυνθάνωνται.'

E 11. Πέρσου δ' ἐρωτήσαντος ποίαν μάλιστα ἐπαινεῖ πολιτείαν, 'ἥτις' ἔφη 'τοῖς ἀνδρείοις καὶ δειλοῖς τὰ προσήκοντα ἀποδίδωσι.'

12. Πρὸς δὲ τὸν εἰπόντα, ὅτι ἐπαινοίη αὐτὸν καὶ ὑπερασπάζοιτο, 'δύο βοῦς ἔχω' ἔφη 'ἐν ἀγρῷ· σιγώντων δ' ἀμφοτέρων, ἀκριβῶς ἐπίσταμαι τόν τε ἀργὸν καὶ τὸν ἐργαζόμενον.'

13. Λοιδορουμένου δέ τινος αὐτῷ, εἶπε 'λέγε πυκνῶς, ὦ ξενύλλιον, λέγε μηδὲν ἐλλείπων, ἄν σου δύνῃ τὰν ψυχὰν κενῶσαι κακῶν, ὧν ἔοικας πλήρης εἶναι.'

F 14. Χρόνῳ δ' ὕστερον μετὰ τὴν τελευτὴν ἀντιλογίας συμμαχικῆς γενομένης, Ἀγησίλαος ἦλθεν ἐπὶ τὴν τοῦ Λυσάνδρου οἰκίαν, ὅπως τὰ περὶ αὐτῆς γράμματα διασκέψηται· ταῦτα γὰρ παρ' αὐτῷ κατέσχεν ὁ Λύσανδρος. εὗρε δὲ καὶ βιβλίον γεγραμμένον τῷ Λυσάνδρῳ περὶ τῆς πολιτείας, ὡς χρὴ τῶν Εὐρυπωντιδῶν καὶ Ἀγιαδῶν τὴν βασιλείαν ἀφελομένους εἰς μέσον θεῖναι καὶ ποιεῖσθαι τὴν αἵρεσιν ἐκ τῶν

26 Εὐρυπωντιδῶν W: εὐρυπρωτιδῶν

ἀρίστων, ἵνα μὴ τῶν ἀφ᾽ Ἡρακλέους, ἀλλ᾽ οἷος Ἡρακλῆς τῇ ἀρετῇ κρινομένων, τὸ γέρας ᾖ, ᾗ κἀκεῖνος εἰς θεῶν τιμὰς ἀνήχθη. καὶ τοῦτον τὸν λόγον ὥρμησε μὲν εἰς τοὺς πολίτας ἐξενεγκεῖν καὶ παραδεικνύναι τὸν Λύσανδρον οἷος ὢν πολίτης διαλανθάνοι, καὶ ἐπὶ διαβολῇ τῶν Λυσάνδρου φίλων. Κρατίδην δέ φασι τότε προεστῶτα τῶν ἐφόρων, εὐλαβηθέντα μὴ πείσῃ ἀναγνωσθεὶς ὁ λόγος, ἐπιλαβέσθαι τοῦ Ἀγησιλάου καὶ εἰπεῖν ὡς ‘οὐ δεῖ ἀνορύττειν τὸν Λύσανδρον, ἀλλὰ καὶ τὸν λόγον 230 αὐτῷ συγκατορύττειν, πανούργως καὶ πιθανῶς συντεταγμένον.’

15. Τοὺς δὲ μνηστεύσαντας αὐτοῦ τὰς θυγατέρας, εἶτα μετὰ τὴν τελευτὴν πένητος εὑρεθέντος ἀπειπαμένους, ἐζημίωσαν οἱ ἔφοροι, ὅτι πλούσιον μὲν νομίζοντες ἐθεράπευον, δίκαιον δὲ καὶ χρηστὸν ἐκ τῆς πενίας ἐπιγνόντες ὑπερεῖδον.

ΝΑΜΕΡΤΟΥ.

Ναμέρτης πρεσβευτὴς ἀποσταλείς, μακαρίζοντός τινος αὐτὸν τῶν ἐκεῖθι διότι πολύφιλος εἴη, ἠρώτησεν εἰ δοκίμιον ἔχει τίνι τρόπῳ πειράζεται ὁ πολύ- B φιλος· ἐπιζητοῦντος δὲ θατέρου μαθεῖν, ‘ἀτυχίᾳ’ εἶπεν.

ΝΙΚΑΝΔΡΟΥ.

1. Νίκανδρος, εἰπόντος τινὸς ὅτι κακῶς αὐτὸν λέγουσιν Ἀργεῖοι, ‘οὐκοῦν’ ἔφη ‘δίκην τίνουσι τοὺς ἀγαθοὺς κακῶς λέγοντες.’

1 οἷος] τῶν οἷος Vit. Lys. c. 24   7 Κρατίδην] Λακρατίδαν Vit. Lys. c. 30

2. *Πυθομένου δέ τινος διὰ τί κομῶσι καὶ πωγωνοτροφοῦσιν, ‘ὅτι’ ἔφη ‘πάντων κάλλιστος καὶ ἀδαπανώτατος ἀνδρὶ ὁ ἴδιος κόσμος.’*

3. *Τῶν Ἀθηναίων δὲ εἰπόντος τινός ‘λίαν ἀντέχεσθε, ὦ Νίκανδρε, τοῦ σχολάζειν’, ‘ἀληθίζῃ’ ἔφη ‘ἀλλ’ οὐχ ὥσπερ ὑμεῖς ὅπως τύχοι σπουδάζομεν.’*

C

ΠΑΝΘΟΙΔΟΥ.

1. *Πανθοίδας πρεσβεύων εἰς τὴν Ἀσίαν, ἐπιδεικνύντων αὐτῷ τεῖχος ἐχυρόν, εἶπε ‘νὴ τοὺς θεούς, ὦ ξένοι, καλὴ γυναικωνῖτις.’*

2. *Ἐν Ἀκαδημείᾳ δὲ τῶν φιλοσόφων διαλεγομένων πολλὰ καὶ σπουδαῖα, ἐπερωτώντων δὲ τὸν Πανθοίδαν μετὰ ταῦτα τί δοκοῦσιν αὐτῷ οἱ λόγοι οὗτοι εἶναι, ‘τί δ’ ἄλλο’ ἔφη ‘ἢ σπουδαῖοι; ὄφελος δ’ οὐδέν, μὴ χρωμένων ὑμῶν αὐτοῖς.’*

ΠΑΥΣΑΝΙΟΥ ΤΟΥ ΚΛΕΟΜΒΡΟΤΟΥ.

1. *Παυσανίας ὁ Κλεομβρότου, Δηλίων δικαιολογουμένων περὶ τῆς νήσου πρὸς Ἀθηναίους καὶ λεγόντων, ὅτι κατὰ τὸν νόμον τὸν παρ’ αὐτοῖς οὔθ’* D *αἱ γυναῖκες ἐν τῇ νήσῳ τίκτουσιν οὔθ’ οἱ τελευτήσαντες θάπτονται, ‘πῶς ἂν οὖν’ ἔφη ‘αὕτη πατρὶς ὑμῶν εἴη, ἐν ᾗ οὔτε γέγονέ τις ὑμῶν οὔτ’ ἔσται;’*

2. *Τῶν δὲ φυγάδων αὐτὸν προτρεπομένων ἐπὶ τοὺς Ἀθηναίους ἄγειν τὴν στρατιὰν λεγόντων τε ὅτι τοῖς Ὀλυμπίοις ἀνακηρυττομένου αὐτοῦ, ἐσύριτ-*

6 *τύχῃ*? 10 *Ἀκαδημείᾳ* *: *ἀκαδημίᾳ* 17 *οὔθ’* *: *οὐδ’* vel *οὔτε* 19 *ἂν* Cobetus 20 *ἔσται*] *κείσεται* Herwerdenus

τον αὐτὸν μόνοι, ‘τί οὖν οἴεσθε’ ἔφη ‘τοὺς ὅτε εὖ ἔπασχον συρίττοντας παθόντας κακῶς ποιήσειν;’

3. *Πυνθανομένου δέ τινος διὰ τί Τυρταῖον τὸν ποιητὴν ἐποιήσαντο πολίτην, ‘ὅπως’ ἔφη ‘μηδέποτε ξένος φαίνηται ἡμῶν ἡγεμών.’*

4. *Πρὸς δὲ τὸν ἀσθενῆ μὲν τῷ σώματι, συμ-* E *βουλεύοντα δὲ πρὸς τοὺς πολεμίους κατὰ γῆν καὶ κατὰ θάλατταν διακινδυνεύειν, ‘θέλεις οὖν’ ἔφη ‘δεῖξαι σεαυτὸν ἐκδύς, οἷος ὢν ἡμῖν μάχεσθαι συμβουλεύεις;’*

5. *Θαυμαζόντων δέ τινων ἐν τοῖς λαφύροις τῶν βαρβάρων τὴν πολυτέλειαν τῆς ἐσθῆτος, ‘κρεῖσσον’ ἔφη ‘αὐτοὺς εἶναι πολλοῦ ἀξίους ἢ κεκτῆσθαι πολλοῦ ἄξια.’*

6. *Μετὰ δὲ τὴν ἐν Πλαταιαῖς κατὰ Μήδων γενομένην νίκην τοῖς ἀμφ’ αὐτὸν ἐκέλευσε τὸ προητοιμασμένον Περσικὸν δεῖπνον παραθεῖναι· τούτου δὲ θαυμαστὴν πολυτέλειαν ἔχοντος, ‘νὴ τοὺς θεούς’* F *ἔφη ‘λίχνος ἦν ὁ Πέρσης, ὅτι τοσαῦτα ἔχων ἐπὶ τὴν ἡμετέραν ἦλθε μᾶζαν.’*

ΠΑΥΣΑΝΙΟΥ ΤΟΥ ΠΛΕΙΣΤΩΝΑΚΤΟΣ.

1. *Παυσανίας ὁ Πλειστώνακτος πρὸς τὸν ἐρωτήσαντα, διὰ τί τῶν ἀρχαίων νόμων οὐδένα κινεῖν ἔξεστι παρ’ αὐτοῖς, ‘ὅτι τοὺς νόμους’ ἔφη ‘τῶν ἀνδρῶν, οὐ τοὺς ἄνδρας τῶν νόμων κυρίους εἶναι δεῖ.’*

2. *Ἐπαινοῦντος δὲ αὐτοῦ ἐν Τεγέᾳ μετὰ τὴν φυγὴν τοὺς Λακεδαιμονίους, εἶπέ τις ‘διὰ τί οὖν οὐκ ἔμενες ἐν Σπάρτῃ ἀλλ’ ἔφυγες;’ ‘ὅτι οὐδ’ οἱ*

ἰατροί᾽ ἔφη ‘παρὰ τοῖς ὑγιαίνουσιν, ὅπου δὲ οἱ νοσοῦντες, διατρίβειν εἰώθασιν.’

3. Πυνθανομένου δέ τινος αὐτοῦ, πῶς ἂν δυνηθεῖεν τοὺς Θρᾷκας νικῆσαι, ‘εἰ τὸν ἄριστον’ εἶπε ‘στρατηγὸν καταστήσαιμεν.’

231 4. Ἰατροῦ δ᾽ ἐπισκεπτομένου αὐτὸν καὶ εἰπόντος ‘οὐδὲν κακὸν ἔχεις’, ‘οὐ γάρ σοι’ ἔφη ‘ἰατρῷ χρῶμαι.’

5. Μεμφομένου δέ τινος αὐτὸν τῶν φίλων, διότι ἰατρόν τινα κακῶς λέγει, πεῖραν οὐκ ἔχων αὐτοῦ οὐδὲ ἀδικηθείς τι, ‘ὅτι’ εἶπεν ‘εἰ ἔλαβον αὐτοῦ πεῖραν, οὐκ ἂν ἔζων.’

6. Τοῦ δὲ ἰατροῦ εἰπόντος αὐτῷ ‘γέρων γέγονας’, ‘διότι’ εἶπεν ‘οὐκ ἐχρησάμην σοὶ ἰατρῷ.’

7. ‘Κράτιστον δέ’ ἔλεγε ‘τοῦτον ἰατρὸν εἶναι, τὸν μὴ κατασήποντα τοὺς ἀρρωστοῦντας ἀλλὰ τάχιστα θάπτοντα.’

ΠΑΙΔΑΡΗΤΟΥ.

B 1. Παιδάρητος, λέγοντός τινος ὅτι πολλοὶ εἴησαν οἱ πολέμιοι, ‘οὐκοῦν’ ἔφη ‘ἡμεῖς εὐκλεέστεροι ἐσόμεθα· πλείους γὰρ ἀποκτενοῦμεν.’

2. Ἰδὼν δέ τινα τῇ μὲν φύσει μαλακὸν δι᾽ ἐπιείκειαν δὲ ἐπαινούμενον ὑπὸ τῶν πολιτῶν, ἔφη ‘οὔτε ἄνδρας γυναιξὶν ὁμοίους ὄντας ἐπαινεῖν δεῖ οὔτε γυναῖκας ἀνδράσιν, ἐὰν μὴ τὴν γυναῖκα χρεία τις καταλάβῃ.’

3. Οὐκ ἐγκριθεὶς δ᾽ εἰς τοὺς τριακοσίους, ἥτις ἐν τῇ πόλει πρωτεύουσα τιμὴ τῇ τάξει ἦν, ἱλαρὸς καὶ μειδιῶν ἀπῄει· ἀνακαλεσαμένων δ᾽ αὐτὸν τῶν

ἐφόρων καὶ πυνθανομένων διότι γελᾷ, εἶπε ‘*διότι συγχαίρω τῇ πόλει τριακοσίους κρείττονάς μου πολίτας ἐχούσῃ.*’ C

ΠΛΕΙΣΤΑΡΧΟΥ.

1. *Πλείσταρχος ὁ Λεωνίδου πρὸς τὸν ἐπερωτήσαντα, διὰ τίνα αἰτίαν οὐκ ἀπὸ τῶν πρώτων βασιλέων προσαγορεύονται,* ‘*ὅτι*’ *ἔφη* ‘*ἐκεῖνοι μὲν ἄγειν ἢ βασιλεύειν ἔχρῃζον, οἱ δ’ ἐκείνων ὕστεροι οὐδαμῶς.*’

2. *Συνηγόρου δέ τινος γελοῖα λέγοντος,* ‘*οὐ φυλάξῃ ὦ ξένε*’ *ἔφη* ‘*συνεχῶς γελοιάζων, ὅπως μὴ γελοῖος γένῃ, ὥσπερ καὶ οἱ συνεχῶς παλαίοντες παλαισταί;*’

3. *Πρὸς δὲ τὸν ἀηδόνα μιμούμενον* ‘*ἥδιον*’ *ἔφη* ‘*ὦ ξένε αὐτῆς ἄκουσα τῆς ἀηδόνος.*’

4. *Λέγοντος δέ τινος, ὅτι κακολόγος τις αὐτὸν* D *ἐπῄνει* ‘*θαυμάζω*’ *ἔφη* ‘*εἰ μή τις αὐτῷ εἶπεν ὅτι ἀπέθανον· ζῶντα γὰρ ἐκεῖνος οὐδένα καλῶς λέξαι δύναται.*’

ΠΛΕΙΣΤΩΝΑΚΤΟΣ.

Πλειστῶναξ ὁ Παυσανίου, Ἀττικοῦ τινος ῥήτορος τοὺς Λακεδαιμονίους ἀμαθεῖς ἀποκαλοῦντος, ‘*ὀρθῶς*’ *ἔφη* ‘*λέγεις· μόνοι γὰρ Ἑλλήνων ἡμεῖς οὐδὲν κακὸν μεμαθήκαμεν παρ’ ὑμῶν.*’

ΠΟΛΥΔΩΡΟΥ.

1. *Πολύδωρος ὁ Ἀλκαμένους, ἀπειλοῦντός τινος*

4 *ὁ Λεωνίδου* *: *Λεωνίδου* 6 *μὲν*] *μὲν μᾶλλον?*

τοῖς ἐχθροῖς συχνά, ‘οὐ συνίης’ ἔφη ‘τῆς τιμωρίας τὸ πλεῖστον καταναλίσκων μέρος;’

E 2. Ἐξάγοντος δ’ αὐτοῦ τὸ στράτευμα ἐπὶ Μεσσήνην, ἤρετό τις εἰ τοῖς ἀδελφοῖς μάχεσθαι μέλλει, ‘οὔκ’ ἔφη ‘ἀλλ’ ἐπὶ τὴν ἀκλήρωτον τῆς χώρας βαδίζει.’

3. Ἀργείων δὲ πάλιν μετὰ τὴν τῶν τριακοσίων μάχην ἐκ παρατάξεως πανδημεὶ κρατηθέντων, τὸν Πολύδωρον οἱ σύμμαχοι παρεκελεύοντο μὴ παρεῖναι τὸν καιρόν, ἀλλ’ ἐπελθόντα τῷ τείχει τῶν πολεμίων τὴν πόλιν ἑλεῖν· ῥᾷστον γὰρ ἔσεσθαι, τῶν μὲν ἀνδρῶν ἀπολωλότων, τῶν γυναικῶν δὲ ἀπολελειμμένων· ἔφη οὖν πρὸς αὐτούς ‘τὸ μὲν ἐκ τοῦ ἴσου μαχόμενον νικᾶν τοὺς ἐναντιουμένους ἐστί μοι καλόν, τὸ δ’ ὑπὲρ τῶν ὅρων τῶν τῆς χώρας μεμαχημένον τὴν πόλιν ἐπιθυμεῖν λαβεῖν οὐ δίκαιον τίθε- F μαι εἶναι· ἦλθον γὰρ χώραν ἀπολαβεῖν οὐ καταλαβέσθαι πόλιν.’

4. Ἐρωτηθεὶς δὲ διὰ τί Σπαρτιᾶται κατὰ πόλεμον κινδυνεύουσιν ἀνδρείως, ‘ὅτι’ ἔφη ‘αἰδεῖσθαι τοὺς ἡγεμόνας ἔμαθον οὐ φοβεῖσθαι.’

ΠΟΛΥΚΡΑΤΙΔΟΥ.

Πολυκρατίδας πρεσβεύων πρὸς τοὺς βασιλέως στρατηγοὺς μεθ’ ἑτέρων, ἐρομένων αὐτῶν πότερον ἰδίᾳ πάρεισιν ἢ δημοσίᾳ ἐπέμφθησαν, ‘αἴκε τύχωμεν, δημοσίᾳ’ εἶπεν ‘εἰ δὲ μή, ἰδίᾳ.’

4 μέλλει — βαδίζει] malim μέλλοι — βαδίζοι 15 ὅρων τῶν *: ὁρώντων 22 Πολυκρατίδας] Πεισιστρατίδας Vit. Lyc. c. 25 24 αἴκε τύχωμεν — εἰ δὲ] αἴκα τύχωμες —

ΦΟΙΒΙΔΟΥ.

Φοιβίδας, πρὸ τοῦ κινδύνου τοῦ Λευκτρικοῦ λεγόντων τινῶν δείξειν τὴν ἡμέραν ταύτην τὸν ἀγαθόν, 'πολλοῦ τὴν ἡμέραν' ἔφησεν 'ἀξίαν εἶναι, δυναμένην τὸν ἀγαθὸν δεῖξαι.'

ΣΟΟΥ.

Σόον λέγεται ἐν χωρίῳ χαλεπῷ καὶ ἀνύδρῳ πο- 232
λιορκούμενον ὑπὸ Κλειτορίων ὁμολογῆσαι τὴν δορίκτητον αὐτοῖς ἂν ἀφεῖναι γῆν, εἰ πίοιεν οἱ μετ' αὐτοῦ πάντες ἀπὸ τῆς πλησίον πηγῆς· ἐφρούρουν δ' αὐτὴν οἱ πολέμιοι. γενομένων δὲ τῶν ὅρκων, συναγαγόντα τοὺς μεθ' ἑαυτοῦ διδόναι τῷ μὴ πιόντι τὴν βασιλείαν· οὐδενὸς δὲ καρτερήσαντος ἀλλὰ πάντων πιόντων, αὐτὸν ἐπὶ πᾶσι καταβάντα καὶ περιρρανάμενον, ἔτι τῶν πολεμίων παρόντων, ἀπελθεῖν καὶ τὴν χώραν κατασχεῖν ὡς μὴ πιόντα.

ΤΗΛΕΚΛΟΥ.

1. Τήλεκλος πρὸς τὸν εἰπόντα, ὅτι ὁ πατὴρ λέ- B
γει κακῶς αὐτόν, 'εἰ μὴ αὐτῷ' ἔφη 'λεκτέον ἦν, οὐκ ἂν ἔλεγεν.'

2. Εἰπόντος δὲ τοῦ ἀδελφοῦ, ὅτι οὐχ ὁμοίως αὐτῷ προσφέρονται οἱ πολῖται ὡς ἐκείνῳ ὄντι ἐκ τῶν αὐτῶν, ἀγνωμονέστερον δέ, εἶπε 'σὺ γὰρ οὐκ οἶδας ἀδικεῖσθαι, ἐγὼ δέ.'

αἱ δὲ Cobetus   5 Σόον X: σῶον   7 ἂν * οἱ Turnebus   13 ἀπελθεῖν idem: ἐπελθεῖν   15 Τήλεκλος X: τήλεκρος   16 λεκτέον *: λεκτὸν

3. Ἐρωτηθεὶς δὲ διὰ τί ἔθος παρ' αὐτοῖς ἐστι τοὺς νεωτέρους τοῖς πρεσβυτέροις ἐξανίστασθαι, 'ὅπως' ἔφη 'περὶ τοὺς μὴ προσήκοντας οὕτως ἔχοντες τιμῆς μᾶλλον τιμῶσι τοὺς γονέας.'

4. Πυθομένου δέ τινος πόσην κέκτηται οὐσίαν, ἔφη 'οὐ πλείω τῆς ἱκανῆς.'

ΧΑΡΙΛΛΟΥ.

1. Χάριλλος ἐρωτηθεὶς διὰ τί τοὺς νόμους ὁ Λυκοῦργος οὕτως ὀλίγους ἔθηκεν, 'ὅτι' ἔφη 'τοῖς
C ὀλίγα λέγουσιν ὀλίγων καὶ νόμων ἐστὶ χρεία.'

2. Πυνθανομένου δέ τινος διὰ τί τὰς μὲν κόρας ἀκαλύπτους, τὰς δὲ γυναῖκας ἐγκεκαλυμμένας εἰς τοὐμφανὲς ἄγουσιν, 'ὅτι' ἔφη 'τὰς μὲν κόρας ἄνδρας εὑρεῖν δεῖ, τὰς δὲ γυναῖκας σῴζειν τοὺς ἔχοντας.'

3. Τῶν δὲ εἱλώτων τινὸς θρασύτερον αὐτῷ προσφερομένου, 'εἰ μὴ ὠργιζόμην' εἶπε 'κατέκτανον ἄν σε.'

4. Ἐρωτήσαντος δέ τινος αὐτὸν τίνα νομίζει πολιτείαν ἀρίστην, ἔφη 'ἐν ᾗ ἂν περὶ ἀρετῆς πλεῖστοι πολιτευόμενοι πρὸς ἀλλήλους ἄνευ στάσεως ἀγωνίζεσθαι θέλωσι.'

D 5. Πυνθανομένου δέ τινος διὰ τί πάντα τὰ τῶν θεῶν ξόανα μεθ' ὅπλων ἵδρυται παρ' αὐτοῖς, 'ὅπως' ἔφη 'μήτε τὰ κατὰ τῶν ἀνθρώπων ὀνείδη λεγόμενα διὰ τὴν δειλίαν ἐπὶ τοὺς θεοὺς ἀναφέρωμεν, μήτε οἱ νέοι ἄοπλοι τοῖς θεοῖς εὔχωνται.'

6. Πρὸς δὲ τὸν πυθόμενον διὰ τί κομῶσιν εἶπεν ὅτι 'τῶν κόσμων ὁ φυσικὸς καὶ ἀδάπανος οὗτός ἐστι.'

*ΔΙΑΦΟΡΑ ΤΩΝ ΕΝ ΤΟΙΣ ΛΑΚΩΣΙΝ ΑΔΟΞΩΝ ΑΠΟΦΘΕΓΜΑΤΑ.

1. *Σαμίων πρεσβευταῖς μακρολογοῦσιν ἔφασαν οἱ Σπαρτιᾶται ʽτὰ μὲν πρῶτα ἐπιλελάθαμες, τὰ δὲ ὕστερα οὐ συνείκαμες διὰ τὸ τὰ πρῶτα ἐπιλελᾶσθαι.ʼ*

2. *ʽΡήτορος μακρὸν κατατείναντος λόγον καὶ τὰς* E *ἀποκρίσεις αἰτοῦντος, ἵνα τοῖς πολίταις ἀπαγγείλῃ, ʽἀπάγγελλε τοίνυνʼ ἔφασαν ʽὅτι μόλις μὲν σὺ ἐπαύσω λέγων, μόλις δὲ ἡμεῖς ἀκούοντες.ʼ*

3. *Πρὸς Θηβαίους περί τινων ἀντιλέγοντας ʽἢ φρονεῖνʼ εἶπον ʽδεῖ ἔλασσον ἢ δύνασθαι μεῖζον.ʼ*

4. *Λάκων ἐρωτηθεὶς διʼ ἣν αἰτίαν τὰς τοῦ πώγωνος τρίχας ἐπὶ πολὺ κομᾷ; εἶπεν ʽἵνα βλέπων τὰς πολιὰς μηδὲν ἀνάξιον αὐτῶν πράττω.ʼ*

5. *Ἄλλος πυθομένου τινός ʽδιὰ τί ἐγχειριδίοις βραχέσι χρῆσθε;ʼ ʽἵνα πλησίονʼ εἶπε ʽτοῖς πολεμίοις εἰς χεῖρας ἵκωμες.ʼ*

6. *Ἐπαινοῦντός τινος τοὺς ἀρίστους μαχητάς, Λάκων εἶπεν ʽἐν Τροίᾳ.ʼ*

7. *Ἕτερος ἀκούσας δειπνήσαντάς τινας βιάζεσθαι πίνειν ʽμὴ καὶ ἐσθίεινʼ εἶπε ʽβιάζονται;ʼ*

8. *Πινδάρου γράψαντος ʽʽἙλλάδος ἔρεισμʼ Ἀθῆναιʼ, Λάκων ἔφη ʽκαταπεσεῖν ἂν τὴν Ἑλλάδα ὀχουμένην ἐρείσματι τοιούτῳ.ʼ*

9. *Ἐπεὶ δὲ ἰδών τις ἐν πίνακι γραπτῷ Λάκωνας* F

ΔΙΑΦΟΡΑ — ΑΠΟΦΘΕΓΜΑΤΑ addidit S 2. 3 *πρῶτα*] *πρᾶτα* Cobetus 2 *ἐπιλελάθαμες*] *ἐπιλελάσμεθα* idem 3 *συνείκαμες* idem: *συνήκαμες*

ὑπὸ Ἀθηναίων σφαττομένους ἔλεγεν 'ἀνδρεῖοί γ' Ἀθηναῖοι', Λάκων ὑποτυχὼν 'ἐν τῷ πίνακι' εἶπε.

10. *Πρὸς δέ τινα προσιέμενον τὰς ἐκ διαβολῆς βλασφημίας Λάκων εἶπε 'παῦσαι κατ' ἐμοῦ τὰ ὦτα χορηγῶν.'*

11. *Πρὸς δὲ τὸν κολαζόμενον καὶ λέγοντα 'ἄκων ἥμαρτον' εἶπέ τις 'ἄκων τοίνυν καὶ κολάζου.'*

12. *Ἰδών τις ἐν ἀποχωρήσει θακέοντας ἐπὶ δίφρων ἀνθρώπους 'μὴ γένοιτο' εἶπεν 'ἐνταῦθα καθίσαι, ὅθεν οὐκ ἔστιν ἐξαναστῆναι πρεσβυτέρῳ.'*

13. *Χίων ποτὲ κατ' ἐπιδημίαν ἀπὸ δείπνου*
ἐμεσάντων ἐν τῷ ἐφορείῳ καὶ χεσάντων ἐπὶ τῶν
233 *δίφρων, ἔνθα οἱ ἔφοροι ἐκάθηντο, τὸ μὲν πρῶτον*
ἰσχυρῶς ἀνεζήτουν τοὺς ποιήσαντας μὴ πολῖται τυγχάνωσιν· ὡς δ' ᾔσθοντο ὅτι Χῖοι ἦσαν, ἐκήρυξαν 'τοῖς Χίοις ἐφιᾶσιν ἀσελγαίνειν.'

14. *Ἐπεὶ δέ τις τὰς ἀμυγδαλᾶς τῶν σκληρῶν ἑώρα διπλασίου πωλουμένας, 'μὴ σπάνιοι' ἔφη 'οἱ λίθοι;'*

15. *Τίλας τις ἀηδόνα καὶ βραχεῖαν πάνυ σάρκα εὑρὼν εἶπε 'φωνά τύ τίς ἐσσι καὶ οὐδὲν ἄλλο.'*

16. *Ἰδών τις τῶν Λακώνων Διογένη τὸν κύνα περιλαμβάνοντα ἀνδριάντα χάλκεον, ψύχους ὄντος σφοδροῦ, ἐπύθετο εἰ ῥιγοῖ· ἀρνησαμένου δέ, 'τί οὖν' ἔφη 'μέγα ποιεῖς;'*

17. *Ὀνειδισθείς τις τῶν Μεταποντίων εἰς δειλίαν*
B *ὑπὸ Λάκωνος, 'ἀλλὰ μήν' ἔφη 'οὐκ ὀλίγα τῆς ἀλλοτρίας ἔχομεν·' ὁ δέ 'οὐ μόνον ἄρα' ἔφη 'δειλοὶ ἀλλὰ καὶ ἄδικοί ἐστε.'*

8 *θακέοντας*] *θακεύοντας* Vit. Lyc. c. 20

18. *Κατ' ἐπιδημίαν τις ἐν Σπάρτῃ κρηπιδούμενος ὀρθὸς ἐπὶ θατέρου σκέλους εἶπε πρὸς Λάκωνα 'οὐκ ἂν οἶμαί σε, ὦ Λάκων, τοσοῦτον χρόνον ἐπὶ τοῦ ποδὸς ὅσον ἐγὼ στῆναι.' καὶ ὃς ὑπολαβὼν 'οὐ γάρ' ἔφη· 'τῶν μέντοι χηνῶν οὐκ ἔστιν ὅστις οὔ.'*

19. *Μεγαλυνομένου τινὸς ἐπὶ τῇ ῥητορικῇ τέχνῃ, εἶπέ τις Λάκων 'ἀλλὰ νὴ τὼ σιὼ τέχνη ἄνευ τοῦ ἀληθείας ἧφθαι οὔτε ἐστὶν οὔτε μήποτε γένηται.'*

20. *Ἀργείου ποτὲ εἰπόντος 'πολλοὶ τάφοι παρ'* C *ἡμῖν εἰσὶ Σπαρτιατῶν', Λάκων εἶπεν 'ἀλλὰ μὴν παρ' ἡμῖν Ἀργείων οὐδὲ εἷς', ὡς αὐτῶν μὲν πολλάκις Ἄργους ἐπιβεβηκότων Ἀργείων δὲ τῆς Σπάρτης οὐδέποτε.*

21. *Λάκων αἰχμαλωτισθεὶς καὶ πιπρασκόμενος, τοῦ κήρυκος λέγοντος 'Λάκωνα πωλῶ', ἐπεστόμισεν εἰπών 'αἰχμάλωτον κήρυσσε.'*

22. *Τῶν παρὰ Λυσιμάχῳ στρατευομένων ἐρωτηθείς τις ὑπ' αὐτοῦ, μή τις τῶν εἱλώτων ἐστί, 'σὺ δ' οἴει' ἔφη 'ἐπὶ τὸ παρὰ σοῦ τετρώβολον Λάκωνα ἥξειν;'*

23. *Ὅτε Θηβαῖοι νικήσαντες τοὺς Λάκωνας ἐν Λεύκτροις πρὸς αὐτὸν παρῆσαν τὸν Εὐρώταν, καί τις μεγαλαυχῶν εἶπε 'ποῦ νῦν εἰσὶν οἱ Λάκωνες;' Σπαρτιάτης ληφθεὶς ὑπ' αὐτῶν 'οὐ πάρεισιν' ἔφη· 'οὐ γὰρ ἂν ὑμεῖς δεῦρο ἤλθετε.'* D

24. *Ἀθηναίων ἀξιούντων, ὅτε παρέδωκαν τὸ ἄστυ, Σάμον αὐτοῖς μόνον ἐᾶσαι, εἶπον 'ὅταν αὐτῶν*

7 *νὴ*] *ναὶ* Cobetus

οὐκ ἦτε, τότε καὶ ἄλλους ἔχειν ζητεῖτε;’ ἀφ’ οὗ καὶ ἡ παροιμία

‘ὃς αὐτὸς αὑτὸν οὐκ ἔχει Σάμον θέλει.’

25. Πόλιν τινὰ κατὰ κράτος ἑλόντων Λακεδαιμονίων, οἱ ἔφοροι εἶπον ‘οἴχεται τὸ πάλαισμα τῶν νέων· οὐκέτι ἕξουσιν ἀνταγωνιστὰς οἱ νέοι.’

26. Ἄλλην πόλιν ὑπισχνουμένου τοῦ βασιλέως αὐ-
E τῶν τέλεον ἀφανίσειν ᾗ συμβεβήκει πράγματα πολλάκις παρεσχῆσθαι τοῖς Λάκωσιν, οὐκ ἐπέτρεψαν, φάμενοι ‘μηδαμῶς ἀφανίσῃς μηδ’ ἀνέλῃς τὴν ἀκόνην τῶν νέων.’

27. Τοῖς παλαίουσι παιδοτρίβας οὐκ ἐφίστανον, ἵνα μὴ τέχνης ἀλλ’ ἀρετῆς ἡ φιλοτιμία γένηται. διὸ καὶ Λύσανδρος ἐρωτώμενος, ὅπως ὁ Χάρων ἐνίκησεν αὐτόν, ‘τῇ πολυμηχανίᾳ’ εἶπε.

28. Φιλίππου γράφοντος, ὅτε εἰς τὴν χώραν αὐτῶν παρεγένετο, πότερον βούλεται φίλιον ἐλθεῖν ἢ πολέμιον αὐτόν, ἀντεφώνησαν ‘οὐδέτερον.’

29. Πρεσβευτήν τινα διαπεμψάμενοι πρὸς Ἀντίγονον τὸν Δημητρίου, πυθόμενοι ὅτι ἐκάλεσεν αὐτὸν
F βασιλέα, ἐζημίωσαν, καίτοι μέδιμνον πυρῶν ἑκάστῳ παρ’ αὐτοῦ σιτοδείας οὔσης κομίζοντα.

30. Δημητρίου ἐγκαλοῦντος ὅτι ἕνα πρεσβευτὴν ἔπεμψαν πρὸς αὐτόν, ‘οὐχ ἱκανὸς οὖν’ εἶπον ‘εἰ πρὸς ἕνα εἷς;’

31. Ἐνέγκαντός τινος ἀρίστην γνώμην μοχθηροῦ, ταύτην μὲν ἀπεδέξαντο, περιελόμενοι δὲ τούτου περιέθηκαν ἑτέρῳ καλῶς βεβιωκότι.

3 Leutsch. Paroem. 2 p. 571 8 ᾗ *: ἣ 16 παρεγένετο *: παρεγίνετο

32. Ἀδελφῶν πρὸς ἀλλήλους διαφερομένων τὸν πατέρα ἐζημίωσαν, ὅτι τοὺς υἱεῖς στασιάζοντας περιορᾷ.

33. Ψάλτην ἐπιδημήσαντα ἐζημίωσαν, ὅτι δακτύλοις κιθαρίζει.

34. Δύο παῖδες ἐμάχοντο, ἅτερος δὲ αὐτῶν τὸν ἕτερον ἔτρωσε δρεπάνῳ πληγῇ θανασίμῳ· τῶν δὲ συνήθων παίδων, ἐπεὶ διαλύεσθαι ἔμελλον, ἐπαγγελλομένων ἀμυνεῖσθαι καὶ ἀναιρήσειν τὸν πλήξαντα, ‘μηδαμῶς’ εἶπε ‘πρὸς θεῶν, οὐ γὰρ δίκαιον· καὶ γὰρ 234
ἂν ἐγὼ ἐποίησα τοῦτο, εἰ ἔφθασα καὶ ἀγαθὸς ἐγενόμην.’

35. Ἕτερον παιδάριον, ἐπεὶ παρῆν ὁ καιρός, ἐν ᾧ κλέπτειν νενόμιστο τοὺς ἐλευθέρους παῖδας ὅ τι τις δύναιτο καὶ μὴ λαθεῖν αἰσχρὸν ἦν, ὡς οἱ σὺν αὐτῷ παῖδες ζῶν ἔκλεψαν ἀλωπέκιον καὶ ἔδοσαν αὐτῷ φυλάττειν, παραγενομένων τῶν ἀπολωλεκότων ἐπὶ ζήτησιν, ἔτυχε μὲν ὑποβαλὼν τὸ ἀλωπέκιον ὑπὸ τὸ αὑτοῦ ἱμάτιον, ἀγριαίνοντος δὲ τοῦ θηρίου καὶ τὴν αὐτοῦ πλευρὰν κατεσθίοντος μέχρι τῶν σπλάγχνων, ἠρέμει, ἵνα μὴ γένηται καταφανής. ὡς δὲ ὕστερον ἐκείνων ἀπελθόντων ἐθεάσαντο τὸ γεγονὸς οἱ παῖδες καὶ ἐμέμφοντο, λέγοντες ἄμεινον εἶναι φανερὸν B
ποιῆσαι τὸ ἀλωπέκιον ἢ μέχρι θανάτου κρύπτειν, ‘οὐ μὲν οὖν’ εἶπεν ‘ἀλλὰ κρεῖττον ταῖς ἀλγηδόσι μὴ ἐνδόντα τελευτᾶν ἢ περίφωρον γενόμενον διὰ μαλακίαν τὸ ζῆν αἰσχρῶς περιποιήσασθαι.’

36. Περιτυχόντες τινὲς Λάκωσι καθ’ ὁδὸν εἶπον

25 ἀλγηδόσι μὴ ἐνδόντα *: ἀλγηδόσιν ἢ εὔδοντα

‘εὐτυχήκατε, ἀρτίως ἐντεῦθεν ληστῶν ἀπιόντων.’ οἱ δέ ‘οὐ μὰ τὸν Ἐνυάλιον, ἀλλ’ ἐκεῖνοι μὴ περιτυχόντες ἡμῖν.’

37. *Λάκων ἐρωτηθεὶς τί ἐπίσταται, εἶπεν* ‘ἐλεύθερος εἶναι.’

38. *Παῖς Σπαρτιάτης αἰχμαλωτισθεὶς ὑπ’ Ἀντι-*
C *γόνου τοῦ βασιλέως καὶ πραθεὶς* τὰ μὲν ἄλλα πάντα ὑπήκοος ἦν τῷ πριαμένῳ, ὅσα ᾤετο προσήκειν ἐλευθέρῳ ποιεῖν· ὡς δὲ προσέταξεν ἀμίδα κομίζειν, οὐκ ἠνέσχετο εἰπὼν ‘οὐ δουλεύσω.’ ἐνισταμένου δὲ ἐκείνου, ἀναβὰς ἐπὶ τὸν κέραμον καὶ εἰπών ‘εἴσῃ τῆς ὠνῆς’, ἔβαλεν ἑαυτὸν κάτω καὶ ἐτελεύτα.

39. *Ἕτερος πωλούμενος, εἰπόντος τινός* ‘ἐὰν ἀγοράσω σε, χρήσιμος ἔσῃ;’ ‘κἂν μὴ ἀγοράσῃς’ εἶπεν.

40. *Ἄλλος αἰχμάλωτος πιπρασκόμενος, τοῦ κήρυκος ἐπιλέγοντος ἀνδράποδον πωλεῖν,* ‘κατάρατε’ εἶπεν ‘οὐκ ἐρεῖς αἰχμάλωτον;’

41. *Λάκων ἐπὶ τῆς ἀσπίδος μυῖαν ἔχων ἐπίσημον, καὶ ταύτην οὐ μείζω τῆς ἀληθινῆς, ὡς κατα-*
D *γελῶντές τινες ἔλεγον* ‘ὑπὲρ τοῦ λανθάνειν τοῦτο πεποιήκει’, ‘ἵνα μὲν οὖν’ εἶπε ‘φανερὸς ὦ· οὕτω γὰρ τοῖς πολεμίοις πλησίον προσέρχομαι, ὥστε τὸ ἐπίσημον ἡλίκον ἐστὶν ὑπ’ αὐτῶν ὁρᾶσθαι.’

42. *Ἕτερος, ἐν συμποσίῳ προσενεχθείσης λύρας,* ‘οὐ Λακωνικόν’ εἶπε ‘τὸ φλυαρεῖν.’

43. *Σπαρτιάτης ἐρωτηθεὶς εἰ ἀσφαλὴς ἡ εἰς Σπάρτην ὁδὸς εἶπεν* ‘ὁποῖος καθίσῃς· οἱ μὲν γὰρ

11 εἴσῃ] *οἰμώξῃ* M. *οὐκ ὀνήσῃ* Cobetus. *οἴ σοι* vaeh tibi?

λέοντες βαδίζοντι ὅπα κα λέωντι, τὼς δὲ λαγὼς ἐπὶ τᾷ σκηνᾷ θηρεύομες.'

44. Ἐν χειραψίᾳ περικρούοντος τοῦ προστραχηλίζοντος κενοσπούδως καὶ κατασπῶντος ἐπὶ τὴν γῆν, E ἐπειδὴ τῷ σώματι ἐλείπετο ὁ προσπεσών, ἔδακε τὸν βραχίονα· καὶ ὁ ἕτερος εἶπε 'δάκνεις, ὦ Λάκων, ὥσπερ αἱ γυναῖκες· 'οὐ μὲν οὖν' εἶπεν ἅτερος 'ἀλλ' ὥσπερ οἱ λέοντες.'

45. Χωλὸς ἐπὶ πόλεμον ἐξιών, ἐπακολουθούντων αὐτῷ τινων καὶ γελώντων, ἐπιστραφεὶς εἶπε 'κακαὶ κεφαλαί, οὐ φεύγοντα δεῖ τοῖς πολεμίοις μάχεσθαι, ἀλλὰ μένοντα καὶ τὴν τάξιν φυλάττοντα.'

46. Ἕτερος τοξευθεὶς καὶ ἐκλείπων τὸν βίον 'οὐχὶ τοῦτο' ἔφησεν 'αὐτῷ μέλειν, ὅτι ἀποθανεῖται, ἀλλ' ὅτι ὑπὸ γύννιδος τοξότου καὶ μηδὲν πράξας.'

47. Εἰς πανδοκεῖόν τις καταλύσας καὶ δοὺς ὄψον τῷ πανδοκεῖ σκευάσαι, ὡς ἅτερος τυρὸν ᾔτει καὶ ἔλαιον, 'εἶτ'' ἔφη 'εἰ τυρὸν εἶχον, ἔτι ἂν ἐδεόμην F ὄψου;'

48. Πρὸς δὲ τὸν μακαρίζοντα Λάμπιν τὸν Αἰγινήτην, διότι ἐδόκει πλουσιώτατος εἶναι ναυκλήρια πολλὰ ἔχων, Λάκων εἶπεν 'οὐ προσέχω εὐδαιμονίᾳ ἐκ σχοινίων ἀπηρτημένῃ.'

49. Εἰπόντος δέ τινος Λάκωνι ὅτι ψεύδεται, ἀπεκρίνατο 'ἐλεύθεροι γάρ εἰμές· οἱ δ' ἄλλοι, αἴκα μὴ τἀληθῆ λέγωντι, οἰμώξονται.'

50. Προθέμενός τις νεκρὸν στῆσαι ὀρθόν, ὡς

1 ὅπα κα λέωντι *: ἄπο καλέοντι 2 τᾷ σκηνᾷ] τᾷ εὐνᾷ? 14 μέλειν *: μένειν 18 εἶτ' *: εἴτ'

πάντα ποιῶν οὐκ ἐδύνατο, ‘νὴ τὼ σιώ’ εἶπεν ‘ἔνδον τι εἶναι δεῖ.’

51. Τύννιχος, Θρασυβούλου τοῦ παιδὸς ἀποθανόντος, εὐρώστως ἤνεγκε· καὶ ἐπίγραμμα εἰς τοῦτον ἐγένετο

235 ‘τὰν Πιτάναν Θρασύβουλος ἐπ’ ἀσπίδος ἤλυθεν ἄπνους
ἑπτὰ πρὸς Ἀργείων τραύματα δεξάμενος,
δεικνὺς ἀντία πάντα· τὸν αἱματόεντα δ’ ὁ πρέσβυς
θεὶς ἐπὶ πυρκαϊὴν Τύννιχος εἶπε τάδε,
Δειλοὶ κλαιέσθωσαν· ἐγὼ δέ σε τέκνον ἄδακρυς
θάψω, τὸν καὶ ἐμὸν καὶ Λακεδαιμόνιον.’

52. Ἀλκιβιάδῃ τῷ Ἀθηναίῳ βαλανέως ἐπὶ πλεῖστον παραχέοντος ὕδωρ, Λάκων εἶπε ‘τί τοῦτο ὡς καθαρῷ; σφόδρα δὲ ῥυπαρῷ πλεῖον παράχει.’

53. Φιλίππου τοῦ Μακεδόνος προστάσσοντός
B τινα δι’ ἐπιστολῆς, ἀντέγραψαν οἱ Λακεδαιμόνιοι ‘περὶ ὧν ἄμμιν ἔγραψας οὔ.’ ὅτε δὲ ἐνέβαλεν εἰς τὴν Λακωνικὴν καὶ ἐδόκουν ἅπαντες ἀπολεῖσθαι, εἶπε δὲ πρός τινα τῶν Σπαρτιατῶν ‘τί νῦν ποιήσετε, ὦ Λάκωνες;’ ‘τί γάρ’ ἔφη ‘ἄλλο ἢ ἀνδρείως ἀποθανούμεθα; μόνοι γὰρ ἡμεῖς Ἑλλήνων ἐλεύθεροι εἶναι καὶ μὴ ὑπακούειν ἄλλοις ἐμάθομεν.’

54. Μετὰ δὲ τὴν Ἄγιδος ἧτταν, ὁμήρους αἰτοῦντος Ἀντιπάτρου πεντήκοντα παῖδας, Ἐτεοκλῆς ἐφορεύων εἶπε ‘παῖδας μὲν οὐ δώσειν, ἵνα μὴ ἀπαίδευτοι

10 θεὶς — τάδε] παῖδ’ — τιθείς Anthol. Pal. VII 229
13 ἐπὶ πλεῖστον] ὅτι πλεῖστον? 15 σφόδρα] ὡς σφόδρα?

γένωνται, τῆς πατρίου ἀγωγῆς ἀτευκτήσαντες· οὐδὲ
πολῖται γὰρ ἂν εἴησαν· πρεσβύτας δ' ἢ γυναῖκας,
εἰ βούλοιτο, διπλασίους δώσειν.' ἀπειλοῦντος δ'
αὐτοῦ δεινά, εἰ μὴ λάβοι, ἀπεκρίναντο κοινῇ 'ἐὰν C
χαλεπώτερα θανάτου ἐπιτάττῃς, εὐκολώτερον ἀπο-
θανούμεθα.'

55. Πρεσβύτης ἐν Ὀλυμπίᾳ συντελουμένου τοῦ
ἀγῶνος προθυμούμενος θεάσασθαι, καθέδρας ἠπόρει·
πολλοὺς δ' ἐπιπορευόμενος τόπους ὑβρίζετο καὶ
ἐσκώπτετο, μηδενὸς αὐτὸν παραδεχομένου· ὡς δὲ κατὰ
τοὺς Λακεδαιμονίους ἧκεν, ἀνέστησαν πάντες οἱ
παῖδες καὶ πολλοὶ τῶν ἀνδρῶν τοῦ τόπου ἐκχω-
ροῦντες· τῶν δὲ Πανελλήνων ἐπισημηναμένων κρότῳ
τὸ ἔθος καὶ ὑπερεπαινούντων, ὁ πρεσβύτης κινήσας

'πολιόν τε κάρη πολιόν τε γένειον'

καὶ δακρύσας 'οἴμοι τῶν κακῶν' φησίν 'ὡς ἅπαντες D
μὲν οἱ Ἕλληνες ἐπίστανται τὰ καλά, χρῶνται δ' αὐ-
τοῖς μόνοι Λακεδαιμόνιοι.' φασὶ δέ τινες, ὅτι καὶ
Ἀθήνησι τὸ αὐτὸ ἐγένετο· Παναθηναίων γὰρ ὄντων
οἱ Ἀττικοὶ γέροντα προεπηλάκιζον, προσκαλούμενοι
μὲν ὡς παραδεξόμενοι, εἰ δὲ παραγένοιτο, οὐ προσδε-
χόμενοι· ὡς δὲ διεξιὼν σχεδὸν ἅπαντας ἐγένετο κατὰ
τοὺς Λακεδαιμονίων θεωρούς, ἅπαντες τῶν βάθρων
ἀναστάντες τοῦ τόπου παρεχώρουν· ἀγασθεὶς δὲ ὁ
ὄχλος ἐπὶ τῷ γεγονότι ἐκρότησε μετὰ πολλῆς ἐπιση-
μασίας, καί τις εἶπε τῶν Σπαρτιατῶν 'νὴ τὼ σιώ, E
ἴσασι μὲν οἱ Ἀθηναῖοι τὰ καλά, οὐ πράσσουσι δέ.'

13 ἐπισημηναμένων Cobetus: ἐπισημειωσαμένων 15 Hom. *Χ* 74. *Ω* 516 26 νὴ] ναὶ Cobetus

56. Ἐπαίτης ᾔτησε Λάκωνα· 'ἀλλὰ εἰ δοίην σοι' ἔφη 'μᾶλλον πτωχεύσεις, τῆς δὲ ἀσχημοσύνης σου ταύτης ὁ πρῶτος μεταδοὺς αἴτιος, ἀργόν σε ποιήσας.'

57. Λάκων ἰδὼν ἀγείροντά τινα θεοῖς 'οὐδέν' εἶπε 'φροντίζειν θεῶν πτωχοτέρων ἑαυτοῦ.'

58. Λαβών τις μοιχὸν ἐπ' αἰσχρᾷ γυναικί 'ἄθλιε' εἶπε 'τίς τοι ἀνάγκα;'

59. Ἄλλος ἀκούων ῥήτορος μεγάλας στρέφοντος περιόδους, 'ἀλλὰ νὴ τὼ σιώ' εἶπεν 'ἀνδρεῖός γε ὁ ἄνθρωπος, πρὸς οὐδὲν ὑποκείμενον εὖ στροβιλοῖ τὴν γλῶσσαν.'

F 60. Εἰς Λακεδαίμονα παραγενόμενός τις καὶ τὴν πρὸς τοὺς πρεσβύτας τῶν νέων τιμὴν θεασάμενος, 'ἐν Σπάρτῃ μόνῃ' εἶπε 'λυσιτελεῖ γηράσκειν.'

61. Ἐρωτηθεὶς Λάκων ὁποῖός ἐστι Τυρταῖος ὁ ποιητής, 'ἀγαθός' εἶπε 'κακκονῆν νέων ψυχάς.'

62. Ἕτερος ἀλγῶν τοὺς ὀφθαλμοὺς ἐξῄει ἐπὶ πόλεμον· λεγόντων δὲ αὐτῷ τινων 'ποῖ ἄπει οὕτως ἔχων ἢ τί ποιήσων;' 'κἂν μηδὲν ἕτερον πράξω' ἔφη 'πολεμίου γε μάχαιραν ἀμβλυνῶ.'

63. Βοῦλις καὶ Σπέρχις Λακεδαιμόνιοι πορευθέντες ἐθελονταὶ πρὸς Ξέρξην τὸν Περσῶν βασιλέα ἐπὶ τιμωρίᾳ (ἣν ὤφλεν ἡ Λακεδαίμων κατὰ χρη-
236 σμόν, διότι κήρυκας πεμφθέντας ὑπὸ τοῦ Πέρσου ὡς αὐτοὺς ἀπέκτειναν) ἐλθόντες πρὸς τὸν Ξέρξην ἐκέλευον ᾧ βούλεται τρόπῳ διαχρήσασθαι αὐτοὺς ὑπὲρ Λακεδαιμονίων. ὡς δὲ ἐκεῖνος ἀγασθεὶς ἀπέ-

15 κακκονῆν *: κακάνειν 17 ποῖ *: ποῦ 20 Βοῦλις καὶ Σπέρχις *: βοῦρις καὶ σπέρτις

λυσε τοὺς ἄνδρας καὶ ἠξίου μένειν παρ' αὐτῷ, ‘καὶ πῶς ἄν’ ἔφασαν ‘δυναίμεθα ζῆν ἐνταῦθα, πατρίδα καταλιπόντες καὶ νόμους καὶ τούτους τοὺς ἄνδρας, ὑπὲρ ὧν τοσαύτην ἤλθομεν ὁδὸν ἀποθανούμενοι;’ Ἰνδάρνου δὲ τοῦ στρατηγοῦ ἐπὶ πλέον δεομένου καὶ λέγοντος τεύξεσθαι αὐτοὺς τῆς ἴσης τιμῆς τοῖς μάλιστα ἐν προαγωγῇ φίλοις τοῦ βασιλέως, ἔφησαν ‘ἀγνοεῖν ἡμῖν δοκεῖς, ἡλίκον ἐστὶ τὸ τῆς ἐλευθερίας, B *ἧς οὐκ ἂν ἀλλάξαιτό τις νοῦν ἔχων τὴν Περσῶν βασιλείαν.’*

64. *Λάκων, ἐπεὶ τῇ μὲν προτέρᾳ ἡμέρᾳ ὁ ξένος αὐτὸν ἐξέκλινε, τῇ δ' ἑξῆς στρώματα χρησάμενος δαψιλῶς ὑπεδέχετο, ἐπιβὰς τοῖς στρώμασι κατεπάτει, ἐπιλέγων ‘διὰ ταῦτα ἐχθὲς οὐδ' ἐπὶ ψιάθου ὑπνωκέναι.’*

65. *Ἕτερος ἐλθὼν εἰς Ἀθήνας καὶ ὁρῶν τοὺς Ἀθηναίους τὸ τάριχος ἀποκηρύττοντας καὶ τὸ ὄψον καὶ τελωνοῦντας καὶ πορνοβοσκοῦντας, καὶ ἕτερα ἔργα ἀσχήμονα πράττοντας καὶ μηδὲν αἰσχρὸν ἡγουμένους· ὅτε ἐπανῆλθεν εἰς τὴν πατρίδα, τῶν πολιτῶν πυνθανομένων αὐτοῦ ποῖά τινά ἐστι τὰ ἐν Ἀθήναις, ‘πάντα’ εἶπε ‘καλά,’ εἰρωνευόμενος καὶ* C *παριστὰς ὅτι πάντα παρὰ τοῖς Ἀθηναίοις καλὰ νομίζεται, αἰσχρὸν δὲ οὐδέν.*

66. *Ἄλλος ἐρωτώμενος περί τινος ἀπεκρίνατο ‘οὔ·’ ὡς δὲ ὁ ἐρωτήσας ἀπεκρίνατο ὅτι ‘ψεύδῃ’, ‘ὁρᾷς οὖν’ ἔφη ‘ὅτι μάταιος εἶ περὶ ὧν ἐπίστασαι ἐρωτῶν.’*

67. *Ἧκόν ποτε κατὰ πρεσβείαν Λάκωνες πρὸς*

Λύγδαμιν τὸν τύραννον· ὡς δ' ἐκεῖνος ὑπερτιθέμενος πολλάκις συντυχεῖν ἀνεβάλλετο, τὸ δ' ἐπὶ πᾶσι μαλακῶς ἔχειν αὐτὸν ἔφη τις, οἱ πρέσβεις 'λέγε αὐτῷ' εἶπον 'ὅτι μὰ τοὺς θεοὺς οὐ παλαισόμενοι πρὸς αὐτὸν ἐληλύθαμεν, ἀλλὰ διαλεχθησόμενοι.'

D 68. *Λάκωνά τινά τις μυσταγωγῶν ἠρώτα τί πράξας ἑαυτῷ σύνοιδεν ἀσεβέστατον, ὁ δέ 'γινώσκουσιν οἱ θεοί' ἔφη· ἐπικειμένου δὲ μᾶλλον καὶ λέγοντος 'πάντως σε δεῖ εἰπεῖν', ὁ Λάκων ἀντηρώτησε 'τίνι με δεῖ εἰπεῖν, σοὶ ἢ τῷ θεῷ;' τοῦ δὲ εἰπόντος 'τῷ θεῷ', 'σὺ τοίνυν' ἔφη 'ἀποχώρησον.'*

69. *Ἕτερος νυκτὸς μνῆμα παριὼν καὶ φαντασιωθεὶς δαιμόνιόν τι ἐπέδραμε τῇ λόγχῃ διαράμενος, καὶ ἐναπερείδων εἶπε 'πῆ με φεύγεις, δὶς ἀποθανουμένη ψυχή;'*

70. *Ἄλλος εὐξάμενος ἀπὸ τοῦ Λευκάτα ῥίπτειν ἑαυτὸν ἀνέβη καὶ ὑπέστρεψεν ἰδὼν τὸ ὕψος· ὀνει-*
E *διζόμενος δὲ εἶπεν 'οὐκ ᾤμαν τὰν εὐχὰν ἄλλας μείζονος εὐχᾶς δεῖσθαι.'*

71. *Ἄλλος ἐπὶ παρατάξεως τῷ πολεμίῳ τὸ ξίφος καταφέρειν μέλλων, ἐπεὶ τὸ ἀνακλητικὸν ἐσήμηνεν, οὐκέτι κατήνεγκε· πυθομένου δέ τινος, διὰ τί τὸν ἐχθρὸν ἔχων ὑποχείριον οὐκ ἀπέκτεινεν; 'ὅτι' ἔφη 'βέλτιόν ἐστι τοῦ φονεύειν τὸ πείθεσθαι τῷ ἄρχοντι.'*

72. *Λάκωνί τινι ἡττωμένῳ ἐν Ὀλυμπίᾳ εἶπέ τις 'ὁ ἀνταγωνιστής, ὦ Λάκων, ἐγένετό σου κρείσσων·' 'οὐ μὲν οὖν' ἔφη 'ἀλλὰ καββαλικώτερος.'*

* ΤΑ ΠΑΛΑΙΑ ΤΩΝ ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΕΠΙΤΗΔΕΥΜΑΤΑ.

1. *Τῶν εἰσιόντων εἰς τὰ συσσίτια ἑκάστῳ δεικνύων ὁ πρεσβύτατος τὰς θύρας, ‘διὰ τούτων’ φησίν ‘οὐδεὶς ἐξέρχεται λόγος.’*

2. *Δοκιμαζομένου μάλιστα παρ’ αὐτοῖς τοῦ μέλανος λεγομένου ζωμοῦ, ὥστε μὴ κρεαδίου δεῖσθαι τοὺς πρεσβυτέρους, παραχωρεῖν δὲ τοὺς νεανίσκους, λέγεται Διονύσιος ὁ τῆς Σικελίας τύραννος τούτου χάριν Λακωνικὸν μάγειρον πρίασθαι καὶ προστάξαι σκευάσαι αὐτῷ μηδενὸς φειδόμενον ἀναλώματος· ἔπειτα γευσάμενον καὶ δυσχεράναντα ἀποπτύσαι· καὶ τὸν μάγειρον εἰπεῖν ‘ὦ βασιλεῦ, τοῦτον δεῖ τὸν* 237 *ζωμὸν γυμνασάμενον Λακωνικῶς, τῷ Εὐρώτᾳ δὲ λελουμένον ἐποψᾶσθαι.’*

3. *Πιόντες οἱ Λάκωνες ἐν τοῖς συσσιτίοις μετρίως ἀπίασι δίχα λαμπάδος· οὐ γὰρ ἔξεστι πρὸς φῶς βαδίζειν οὔτε ταύτην οὔτε ἄλλην ὁδόν, ὅπως ἐθίζωνται σκότους καὶ νυκτὸς εὐθαρσῶς καὶ ἀδεῶς ὁδεύειν.*

4. *Γράμματα ἕνεκα τῆς χρείας ἐμάνθανον· τῶν δὲ ἄλλων παιδευμάτων ξενηλασίαν ἐποιοῦντο, οὐ*

ΤΑ ΠΑΛΑΙΑ — ΕΠΙΤΗΔΕΥΜΑΤΑ] om. mei codd. vid. adnot. ad p. 172 e 6 *τοὺς νεανίσκους*] *τοῖς νεανίσκοις* Turnebus 12 *δὲ* *

μᾶλλον ἀνθρώπων ἢ λόγων. ἡ δὲ παιδεία ἦν αὐτοῖς πρὸς τὸ ἄρχεσθαι καλῶς καὶ καρτερεῖν πονοῦντα καὶ μαχόμενον νικᾶν ἢ ἀποθνήσκειν.

B 5. *Διετέλουν δὲ καὶ ἄνευ χιτῶνος, ἓν ἱμάτιον εἰς τὸν ἐνιαυτὸν λαμβάνοντες, αὐχμηροὶ τὰ σώματα καὶ λουτρῶν καὶ ἀλειμμάτων κατὰ τὸ πλεῖστον ἀπεχόμενοι.*

6. *Ἐκάθευδον δὲ οἱ νέοι ὁμοῦ κατ' ἴλην καὶ κατὰ ἀγέλην ἐπὶ στιβάδων, ἃς αὐτοὶ συνεφόρουν, τοῦ παρὰ τῷ Εὐρώτᾳ πεφυκότος καλάμου τὰ ἄκρα ταῖς χερσὶν ἄνευ σιδήρου κατακλάσαντες· ἐν δὲ τῷ χειμῶνι τοὺς λεγομένους λυκοφάνους ὑπεβάλλοντο καὶ κατεμίγνυσαν ταῖς στιβάσι, θερμαντικὸν ἔχειν τι τῆς ὕλης δοκούσης.*

7. *Ἐρᾶν τῶν τὴν ψυχὴν σπουδαίων παίδων*
C *ἐφεῖτο· τὸ δὲ πλησιάζειν αἰσχρὸν νενόμιστο, ὡς τοῦ σώματος ἐρῶντας ἀλλ' οὐ τῆς ψυχῆς· ὁ δὲ ἐγκληθεὶς ὡς ἐπ' αἰσχύνῃ πλησιάζων ἄτιμος διὰ βίου ἦν.*

8. *Ἔθος ἦν καὶ τοὺς νεωτέρους ὑπὸ τῶν πρεσβυτέρων ἐρωτᾶσθαι, ποῖ πορεύονται καὶ ἐπὶ τί· καὶ τὸν μὴ ἀποκρινόμενον ἢ προφάσεις πλέκοντα ἐπιπλήττειν· ὁ δὲ μὴ ἐπιπλήττων παρόντος αὐτοῦ ἁμαρτάνοντα ἔνοχος ἦν τῷ ἴσῳ ἐπιτιμίῳ ᾧπερ καὶ ὁ ἁμαρτών· καὶ ὁ δυσχεραίνων δέ, εἰ ἐπιτιμῷτο, ἐν μεγάλῳ ὀνείδει ἦν.*

9. *Εἴ τις φωραθείη ἁμαρτάνων, ἔδει τοῦτον βωμόν τινα τῶν ἐν τῇ πόλει κύκλῳ περιιέναι, ψόγον*

9 αὐτοὶ] αὐτοῖς Vit. Lyc. c. 16 12 λυκοφάνους *: λυκοφάνας 20 ποῖ *: που 23 ᾧπερ Herwerdenus: ὥσπερ

ᾄδοντα πεποιημένον εἰς ἑαυτόν· ὅπερ ἦν οὐδὲν ἕτερον D ἢ ἐπιπλήττειν αὐτὸν αὑτῷ.

10. Καὶ τοὺς νέους δὲ οὐ μόνον τοὺς ἰδίους αἰδεῖσθαι πατέρας καὶ ὑπηκόους τούτοις εἶναι, ἀλλὰ πάντας τοὺς πρεσβυτέρους ἐντρέπεσθαι, καὶ ὁδῶν ὑποχωροῦντας καὶ καθέδρας ὑπεξισταμένους καὶ παρόντων ἡσυχάζοντας. διὸ καὶ ἦρχεν ἕκαστος οὐχ ὥσπερ ἐν ταῖς ἄλλαις πόλεσι τῶν αὑτοῦ τέκνων καὶ δούλων καὶ κτημάτων, ἀλλ' ὅπως τῶν αὑτοῦ καὶ τῶν τοῦ πλησίον, ὅπως ὅτι μάλιστα κοινωνῶσι καὶ φροντίζωσιν ὡς οἰκείων.

11. Παῖς δὲ ὑπό τινος κολασθείς, εἰ τῷ πατρὶ ἐξήγγειλεν, αἰσχρὸν ἦν τῷ πατρὶ μὴ προσεντεῖναι ἀκούσαντα πάλιν ἑτέρας· ἐπίστευον γὰρ αὐτοῖς ἐκ E τῆς πατρίου ἀγωγῆς μηδὲν ἂν αἰσχρὸν προστάξαι τοῖς τέκνοις.

12. Κλέπτουσι δὲ οἱ νέοι καὶ τῶν σιτίων ὅ τι ἂν δύνωνται, μανθάνοντες εὐφυῶς ἐπιτίθεσθαι τοῖς καθεύδουσιν ἢ ῥᾳθύμως φυλάσσουσι· τῷ δὲ ἁλόντι ζημία πληγαὶ καὶ τὸ πεινῆν. γλίσχρον γὰρ αὐτοῖς ἐστι δεῖπνον, ὅπως δι' αὑτῶν ἀμυνόμενοι τὴν ἔνδειαν ἀναγκάζωνται τολμᾶν καὶ πανουργεῖν.

13. Τὸ δὲ ἔργον τῆς συσσιτίας διά τε ταῦτα γλίσχρον ἦν καὶ ἵν' ἐθίζωνται μηδέποτε γίνεσθαι πλήρεις, δύνασθαι δὲ πεινῆν· οὕτω γὰρ ᾤοντο καὶ εἰς τὸν F πόλεμον χρησιμωτέρους ἔσεσθαι, εἰ δύναιντο καὶ ἀσιτήσαντες ἐπιπονῆσαι· καὶ ἐγκρατεστέρους δὲ καὶ εὐτελεστέρους, εἰ πλείω χρόνον διάγοιεν ἀπὸ μικρᾶς

6 παρόντων X: παριόντων 15 ἂν Cobetus

δαπάνης· τὴν δ' ἀνοψίαν ὑποφέρειν, ὡς βρῶμα τὸ τυχὸν προσφέρεσθαι, ᾤοντο ὑγιεινότερα τὰ σώματα καὶ εὐαυξῆ ἀπὸ τῆς ἐλλειπούσης ποιεῖν τροφῆς, νομίζοντες εἰς βάθος τε καὶ πλάτος μὴ πιεζόμενον ἐπαίρειν εἰς ὕψος τὰ σώματα· καὶ καλὰ δὲ ποιεῖν· τὰς γὰρ ἰσχνὰς καὶ διακένους ἕξεις ὑπακούειν πρὸς τὴν διάρθρωσιν, τὰς δὲ πολυτρόφους διὰ βάρος ἀντιβαίνειν.

238 14. Ἐσπούδαζον δὲ καὶ περὶ τὰ μέλη καὶ τὰς ᾠδὰς οὐδὲν ἧττον· κέντρον δ' εἶχε ταῦτα ἐγερτικὸν θυμοῦ καὶ παραστατικὸν ὁρμῆς ἐνθουσιώδους καὶ πρακτικῆς. καὶ ἡ λέξις ἦν ἀφελὴς καὶ ἄθρυπτος· οὐδὲν δ' ἕτερον εἶχεν ἢ ἐπαίνους τῶν γεννικῶς ζησάντων καὶ ὑπὲρ τῆς Σπάρτης ἀποθανόντων καὶ εὐδαιμονιζομένων, καὶ ψόγους τῶν τρεσάντων ὡς ἀλγεινὸν καὶ κακοδαίμονα βιούντων βίον· ἐπαγγελία τε καὶ μεγαλαυχία πρὸς ἀρετὴν πρέπουσα ταῖς ἡλικίαις.

15. Τριῶν οὖν χορῶν ὄντων κατὰ τὰς τρεῖς ἡλικίας καὶ συνισταμένων ἐν ταῖς ἑορταῖς, ὁ μὲν τῶν γερόντων ἀρχόμενος ᾖδεν

'ἄμμες ποτ' ἦμες ἄλκιμοι νεανίαι·'

B εἶτα ὁ τῶν ἀκμαζόντων ἀνδρῶν ἔλεγεν ἀμειβόμενος

'ἄμμες δέ γ' ἐσμέν· αἰ δὲ λῇς, αὐγάζεο·'

ὁ δὲ τρίτος ὁ τῶν παίδων

'ἄμμες δέ γ' ἐσσόμεσθα πολλῷ κάρρονες.'

1 ὑποφέρειν M: ἀποφέρειν 3 εὐαυξῆ *: εὐεξῆ 4 πιεζόμενον] πιεζόμενον τὸ πνεῦμα? 7 πολυτρόφους X: πολυτρόπους 22 ἄμμες *: ἄμες. cf. Bergk. 3 p. 661

16. *Καὶ οἱ ἐμβατήριοι δὲ ῥυθμοὶ* παρορμητικοὶ πρὸς ἀνδρείαν καὶ θαρραλεότητα καὶ ὑπερφρόνησιν θανάτου, οἷς ἐχρῶντο ἔν τε χοροῖς καὶ πρὸς αὐλὸν ἐπάγοντες τοῖς πολεμίοις. ὁ γὰρ Λυκοῦργος παρέζευξε τῇ κατὰ πόλεμον ἀσκήσει τὴν φιλομουσίαν, ὅπως τὸ ἄγαν πολεμικὸν τῷ ἐμμελεῖ κερασθὲν συμφωνίαν καὶ ἁρμονίαν ἔχῃ· διὸ καὶ ἐν ταῖς μάχαις προεθύετο ταῖς Μούσαις ὁ βασιλεύς, ἵνα λόγου ἀξίας παρέχωσι τὰς πράξεις οἱ μαχόμενοι καὶ μνή- C μης εὐκλεοῦς.

17. *Εἰ δέ τις παραβαίνοι* τι τῆς ἀρχαίας μουσικῆς, οὐκ ἐπέτρεπον· ἀλλὰ καὶ τὸν Τέρπανδρον ἀρχαϊκώτατον ὄντα καὶ ἄριστον τῶν καθ' ἑαυτὸν κιθαρῳδῶν καὶ τῶν ἡρωικῶν πράξεων ἐπαινέτην, ὅμως οἱ ἔφοροι ἐζημίωσαν καὶ τὴν κιθάραν αὐτοῦ προσεπαττάλευσαν φέροντες, ὅτι μίαν μόνην χορδὴν ἐνέτεινε περισσοτέραν τοῦ ποικίλου τῆς φωνῆς χάριν· μόνα γὰρ τὰ ἁπλούστερα τῶν μελῶν ἐδοκίμαζον. Τιμοθέου δὲ ἀγωνιζομένου τὰ Κάρνεια, εἷς τῶν ἐφόρων μάχαιραν λαβὼν ἠρώτησεν αὐτόν, ἐκ ποτέρου D τῶν μερῶν ἀποτέμῃ τὰς πλείους τῶν ἑπτὰ χορδῶν.

18. *Τῶν δὲ ταφῶν* ἀνεῖλε τὴν δεισιδαιμονίαν ἅπασαν ὁ Λυκοῦργος, ἐν τῇ πόλει θάπτειν τοὺς νεκροὺς καὶ πλησίον ἔχειν τὰ μνημεῖα τῶν ἱερῶν συγχωρήσας. περιεῖλε δὲ καὶ τοὺς μιασμούς, συνθάπτειν δὲ οὐδὲν ἐπέτρεψεν, ἀλλ' ἐν φοινικίδι καὶ φύλλοις ἐλαίας θέντας τὸ σῶμα περιστέλλειν κατ' ἴσον ἅπαντας. ἀνεῖλε δὲ καὶ τὰς ἐπιγραφὰς τὰς ἐπὶ

2 ἀνδρείαν] ἀνδρείαν ἦσαν? 22 ταφῶν *: τάφων

τῶν μνημείων, πλὴν τῶν ἐν πολέμῳ τελευτησάντων, καὶ τὰ πένθη καὶ τοὺς ὀδυρμούς.

19. Ἀποδημεῖν δὲ οὐκ ἐξῆν αὐτοῖς, ἵνα μὴ ξενι-
E κῶν ἐθῶν καὶ βίων ἀπαιδεύτων μετέχωσι.

20. Καὶ ξενηλασίας δὲ εἰσηγήσατο, ὅπως οἱ παρεισρέοντες μὴ διδάσκαλοι κακοῦ τινος τοῖς πολίταις ὑπάρχωσι.

21. Τῶν πολιτῶν ὃς ἂν μὴ ὑπομείνῃ τὴν τῶν παίδων ἀγωγὴν οὐ μετεῖχε τῶν τῆς πόλεως δικαίων.

22. Ἔνιοι δ' ἔφασαν, ὅτι καὶ τῶν ξένων ὃς ἂν ὑπομείνῃ τὴν τοιαύτην ἄσκησιν τῆς πολιτείας κατὰ τὸ βούλημα τοῦ Λυκούργου μετεῖχε τῆς ἀρχῆθεν διατεταγμένης μοίρας· πωλεῖν δ' οὐκ ἐξῆν.

23. Τοῖς τῶν πλησίον οἰκέταις ὡς ἰδίοις χρῆσθαι ἔθος ἦν, εἴ που δέοιντο, καὶ κυσὶ καὶ ἵπποις, εἰ μὴ
F οἱ δεσπόται χρῄζοιεν· καὶ ἐν ἀγρῷ δὲ εἴ τίς τινος ἐλλιπὴς γενόμενος δεηθείη, ἀνοίξας καὶ βαστάσας τὰ ἐπιτήδεια τοῦ ἔχοντος, τὰ σημεῖα σημηνάμενος κατέλειπεν.

24. Ἐν τοῖς πολέμοις φοινικίσιν ἐχρῶντο· ἅμα μὲν γὰρ ἡ χρόα ἐδόκει αὐτοῖς ἀνδρικὴ εἶναι, ἅμα δὲ τὸ αἱματῶδες τοῦ χρώματος πλείονα τοῖς ἀπείροις φόβον παρεῖχεν· καὶ τὸ μὴ εὐπερίφωρον δὲ τοῖς πολεμίοις εἶναι, ἐάν τις αὐτῶν πληγῇ, ἀλλὰ διαλανθάνειν διὰ τὸ ὁμόχρουν χρήσιμον.

25. Ὅταν στρατηγήματι τοὺς πολεμίους νικήσωσι, βοῦν τῷ Ἄρει θύουσιν· ὅταν δ' ἐκ τοῦ φανεροῦ,

18 τὰ σημεῖα] collocaverim post ἀνοίξας. cf. Xen. Reip. Lac. VI 4   23 παρεῖχεν *: παρέχειν

ἀλεκτρυόνα· ἐθίζοντες τοὺς ἡγουμένους οὐ μόνον πολεμικοὺς ἀλλὰ καὶ στρατηγικοὺς εἶναι.

26. Ταῖς εὐχαῖς προστιθέασι τὸ ἀδικεῖσθαι δύ- 239
νασθαι.

27. Εὐχὴ δ' αὐτῶν διδόναι τὰ καλὰ ἐπὶ τοῖς ἀγαθοῖς, καὶ πλέον οὐδέν.

28. Ἀφροδίτην σέβουσι τὴν ἐνόπλιον· καὶ πάντας δὲ τοὺς θεοὺς θήλεις καὶ ἄρρενας λόγχας ἔχοντας ποιοῦνται, ὡς ἁπάντων τὴν πολεμικὴν ἀρετὴν ἐχόντων.

29. Ἐπιλέγουσι δὲ καὶ οἱ παροιμιαζόμενοι

'τὰν χεῖρα ποτιφέροντα τὰν τύχαν καλεῖν,'

ὡς δέον ἐπικαλεῖσθαι τοὺς θεοὺς μετὰ τοῦ ἐγχειρεῖν τι καὶ πράττειν, ἄλλως δὲ μή.

30. Τοῖς παισὶν ἐπεδείκνυον τοὺς εἵλωτας μεθύσαντες εἰς ἀποτροπὴν πολυοινίας.

31. Ἔθος ἦν αὐτοῖς μηδὲ κόπτειν τὰς αὐλείους ἀλλ' ἔξωθεν βοᾶν.

32. Στλεγγίσιν οὐ σιδηραῖς ἀλλὰ καλαμίναις B
ἐχρῶντο.

33. Κωμῳδίας καὶ τραγῳδίας οὐκ ἠκροῶντο, ὅπως μήτε ἐν σπουδῇ μήτε ἐν παιδιᾷ ἀκούωσι τῶν ἀντιλεγόντων τοῖς νόμοις.

34. Ἀρχίλοχον τὸν ποιητὴν ἐν Λακεδαίμονι γενόμενον αὐτῆς ὥρας ἐδίωξαν, διότι ἐπέγνωσαν αὐτὸν πεποιηκότα ὡς κρεῖττόν ἐστιν ἀποβαλεῖν τὰ ὅπλα ἢ ἀποθανεῖν·

12 Leutsch. 2 p. 653 15 μεθύσαντες W: μεθύσαντας

'ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν περὶ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων·
αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος· ἀσπὶς ἐκείνη
C ἐρρέτω· ἐξαῦθις κτήσομαι οὐ κακίω.'

35. Κόραις καὶ κόροις κοινὰ τὰ ἱερά.

36. Σκιραφίδαν ἐζημίωσαν οἱ ἔφοροι, ὅτι ὑπὸ πολλῶν ἠδικεῖτο.

37. Σακκοφόρον ἀνεῖλον, διότι παρυφὴν εἰς τὸν σάκκον ἐνέβαλε.

38. Τὸν ἐκ τοῦ γυμνασίου νεανίσκον ἐπετίμων, ὅτι τὴν εἰς Πυλαίαν ὁδὸν ἠπίστατο.

39. Κηφισοφῶντα, εἰπόντα περὶ τοῦ τυχόντος δύνασθαι ὅλην τὴν ἡμέραν λέγειν, ἐξέβαλον, φάμενοι τὸν ἀγαθὸν μυθητὰν δεῖν τοῖς πράγμασιν ἴσον τὸν λόγον ἔχειν.

40. Οἱ παῖδες παρ' αὐτοῖς ξαινόμενοι μάστιξι D δι' ὅλης τῆς ἡμέρας ἐπὶ τοῦ βωμοῦ τῆς Ὀρθίας Ἀρτέμιδος μέχρι θανάτου πολλάκις διακαρτεροῦσιν ἱλαροὶ καὶ γαῦροι, ἁμιλλώμενοι περὶ νίκης πρὸς ἀλλήλους, ὅστις αὐτῶν ἐπὶ πλέον τε καὶ μᾶλλον καρτερήσειε τυπτόμενος· καὶ ὁ περιγενόμενος ἐν τοῖς μάλιστα ἐπίδοξός ἐστι. καλεῖται δὲ ἡ ἅμιλλα διαμαστίγωσις· γίνεται δὲ καθ' ἕκαστον ἔτος.

41. Ἓν δέ τι τῶν καλῶν καὶ μακαρίων ἐδόκει παρεσκευακέναι τοῖς πολίταις ὁ Λυκοῦργος ἀφθονίαν σχολῆς· τέχνης μὲν γὰρ ἅψασθαι βαναύσου τὸ παράπαν οὐκ ἐξῆν· χρηματισμοῦ δὲ συναγωγὴν ἔχοντος

1 Bergk. 2 p. 384 2 ἔντος Brunckius: ἐντὸς 3 αὐτὸς — τέλος add. Sextus Emp. Hypot. 3 p. 182

ἐργώδη καὶ πραγματείας οὐδ᾽ ὁτιοῦν ἔδει διὰ τὸ κομιδῇ τὸν πλοῦτον ἄζηλον πεποιηκέναι καὶ ἄτιμον. E οἱ δὲ εἵλωτες αὐτοῖς εἰργάζοντο τὴν γῆν ἀποφέροντες ἀποφορὰν τὴν ἄνωθεν ἱσταμένην. ἐπάρατον δ᾽ ἦν πλείονός τινα μισθῶσαι, ἵνα ἐκεῖνοι μὲν κερδαίνοντες ἡδέως ὑπηρετῶσιν, οὗτοι δὲ μὴ πλέον ἐπιζητῶσιν.

42. Ἀπείρητο δ᾽ αὐτοῖς ναύταις εἶναι καὶ ναυμαχεῖν· ὕστερον μέντοι ἐναυμάχησαν, καὶ τῆς θαλάσσης κρατήσαντες πάλιν ἀπέστησαν, διαφθειρόμενα τὰ ἤθη τῶν πολιτῶν θεωροῦντες. ἀλλὰ πάλιν μετεβάλοντο καθάπερ ἐν τοῖς ἄλλοις πᾶσι· καὶ γὰρ χρημάτων συναχθέντων τοῖς Λακεδαιμονίοις, οἱ συναγαγόντες F θανάτῳ κατεδικάσθησαν. Ἀλκαμένει γὰρ καὶ Θεοπόμπῳ τοῖς βασιλεῦσι χρησμὸς ἐδόθη

'ἁ φιλοχρηματία Σπάρταν ὀλεῖ.'

ἀλλ᾽ ὅμως Λύσανδρος ἑλὼν Ἀθηναίους πολὺν χρυσὸν καὶ ἄργυρον εἰσήγαγε, καὶ παρεδέξαντο καὶ ἐτίμησαν τὸν ἄνδρα. τοῖς μὲν οὖν Λυκούργου χρωμένη νόμοις ἡ πόλις καὶ τοῖς ὅρκοις ἐμμείνασα ἐπρώτευε τῆς Ἑλλάδος εὐνομίᾳ καὶ δόξῃ χρόνον ἐτῶν πεντακοσίων· κατ᾽ ὀλίγον δὲ παραβαινομένων καὶ πλεονεξίας καὶ φιλοπλουτίας παρεισδυομένης, καὶ τὰ τῆς δυνάμεως 240 ἠλαττοῦτο· καὶ οἱ σύμμαχοι διὰ ταῦτα δυσμενῶς εἶχον πρὸς αὐτούς. ἀλλ᾽ ὅμως οὕτως ἔχοντες μετὰ τὴν Φιλίππου τοῦ Μακεδόνος ἐν Χαιρωνείᾳ νίκην,

1 πραγματείας] πραγματείαν Vit. Lyc. c. 24 3 ἀποφέροντες Turnebus 4 ἐπάρατον] ἀπόρρητον W 16 Leutsch. 2 p. 150

πάντων αὐτὸν τῶν Ἑλλήνων ἡγεμόνα κατά τε γῆν καὶ κατὰ θάλατταν ἀναγορευσάντων, καὶ μεταξὺ δ' Ἀλέξανδρον τὸν υἱὸν μετὰ τὴν Θηβαίων καταστροφήν, μόνοι Λακεδαιμόνιοι, καίπερ ἀτείχιστον πόλιν ἔχοντες καὶ ὀλίγοι πάνυ ὄντες διὰ τοὺς συνεχεῖς πολέμους καὶ πολὺ ἀσθενέστεροι καὶ εὐχείρωτοι γενόμενοι, πάνυ βραχέα τινὰ ζώπυρα διασῴζοντες τῆς Λυκούργου B *νομοθεσίας, οὔτε συνεστράτευσαν οὔτε τούτοις οὔτε τοῖς μεταξὺ Μακεδονικοῖς βασιλεῦσιν, οὔτ' εἰς συνέδριον κοινὸν εἰσῆλθον οὔτε φόρον ἤνεγκαν· ἕως οὗ παντάπασιν ὑπεριδόντες τὴν Λυκούργου νομοθεσίαν ὑπὸ τῶν ἰδίων πολιτῶν ἐτυραννεύθησαν μηδὲν ἔτι σῴζοντες τῆς πατρίου ἀγωγῆς, καὶ παραπλήσιοι τοῖς ἄλλοις γενόμενοι τὴν πρόσθεν εὔκλειαν καὶ παρρησίαν ἀπέθεντο καὶ εἰς δουλείαν μετέστησαν, καὶ νῦν ὑπὸ Ῥωμαίοις καθάπερ οἱ ἄλλοι Ἕλληνες ἐγένοντο.*

10 *οὔτε* *: *οὐδὲ*

* ΛΑΚΑΙΝΩΝ ΑΠΟΦΘΕΓΜΑΤΑ.

ΑΡΓΙΛΕΩΝΙΔΟΣ.

Ἀργιλεωνὶς ἡ Βρασίδου μήτηρ, τελευτήσαντος αὐτῇ τοῦ υἱοῦ, ὡς παραγενόμενοί τινες τῶν Ἀμφιπολιτῶν εἰς Σπάρτην ἧκον πρὸς αὐτήν, ἠρώτησεν εἰ καλῶς καὶ ἀξίως τῆς Σπάρτης ὁ υἱὸς ἐτελεύτα· μεγαλυνόντων δ' ἐκείνων καὶ λεγόντων ἄριστον ἐν τοῖς τοιούτοις ἔργοις ἁπάντων Λακεδαιμονίων εἶναι, εἶπεν 'ὦ ξένοι, καλὸς μὲν ἦν κἀγαθὸς ὁ παῖς μου, πολλοὺς δ' ἄνδρας Λακεδαίμων ἔχει τήνου κάρρονας.' D

ΓΟΡΓΟΥΣ.

1. Γοργὼ βασιλέως Κλεομένους θυγάτηρ, Ἀρισταγόρου τοῦ Μιλησίου παρακαλοῦντος αὐτὸν ἐπὶ τὸν πρὸς βασιλέα πόλεμον ὑπὲρ Ἰώνων καὶ ὑπισχνουμένου χρημάτων πλῆθος καὶ ὅσῳ ἀντέλεγε πλείονα προστιθέντος, 'καταφθερεῖ σε' ἔφη 'ὦ πάτερ τὸ ξενύλλιον, ἐὰν μὴ τάχιον αὐτὸν τῆς οἰκίας ἐκβάλῃς.'

2. Προστάξαντος δέ ποτε αὐτῇ τοῦ πατρὸς δοῦναί τινι σῖτον εἰς μισθοῦ λόγον, καὶ προστιθέντος

ΛΑΚΑΙΝΩΝ ΑΠΟΦΘΕΓΜΑΤΑ] deinde *ΑΡΓΙΛΕΩΝΙΔΟΣ* sim. vid. adnot. ad p. 172 e. Lemma autem p. 241 a *ΛΑΚΑΙΝΩΝ ΑΔΗΛΩΝ* add. W 5 *ἐκείνων* *: *ἐκεῖνον*. cf. p. 219 d

‘ἐδίδαξε γάρ με τὸν οἶνον χρηστὸν ποιεῖν’, ‘οὐκοῦν,
E ὦ πάτερ’ ἔφη ‘ὅ τ’ οἶνος πλείων ἐκποθήσεται καὶ οἱ πίνοντες θρυπτικώτεροι καὶ χείρονες ἔσονται.’

3. Τὸν δ’ Ἀρισταγόραν ὑπό τινος τῶν οἰκετῶν ὑποδούμενον θεασαμένη ‘πάτερ’ ἔφη ‘ὁ ξένος χεῖρας οὐκ ἔχει.’

4. Ξένου δέ τινος μαλακῶς καὶ σχολῇ προσάγοντος, παρωσαμένη αὐτόν ‘οὐκ ἄπει ἐντεῦθεν’ εἶπεν ‘οὐδὲ τὰ τῆς γυναικὸς δυνάμενος;’

5. Ἐρωτηθεῖσα δὲ ὑπό τινος Ἀττικῆς ‘διὰ τί ὑμεῖς ἄρχετε μόναι τῶν ἀνδρῶν αἱ Λάκαιναι;’ ‘ὅτι’ ἔφη ‘καὶ τίκτομεν μόναι ἄνδρας.’

6. Προτρεπομένη δὲ τὸν ἄνδρα Λεωνίδαν ἐξιόντα εἰς Θερμοπύλας ἄξιον τῆς Σπάρτης φανῆναι, ἠρώτα τί χρὴ πράττειν· ὁ δὲ ἔφη ‘ἀγαθὸν γαμεῖν καὶ ἀγαθὰ τίκτειν.’

ΓΥΡΤΙΑΔΟΣ.

1. Γυρτιάς, Ἀκροτάτου ποτὲ τοῦ θυγατριδοῦ αὐτῆς ἔκ τινος τῶν παίδων μάχης πολλὰς πληγὰς λαβόντος καὶ ἀπενεχθέντος οἴκαδε ὡς τεθνηκότος, κλαιόντων τῶν οἰκείων τε καὶ γνωρίμων, ‘οὐ σιω-
F πήσετε;’ ἔφη· ‘ἔδειξε γὰρ οἵου αἵματος ἦν, καὶ οὐκ ἔφη δεῖν τοὺς ἀγαθοὺς βοᾶν ἀλλ’ ἰατρεύεσθαι.’

2. Ὅτε ἄγγελος ἦλθεν ἐκ Κρήτης τὸν Ἀκροτάτου θάνατον ἀπαγγέλλων, ‘οὐκ ἔμελλεν’ ἔφη ‘πρὸς τοὺς πολεμίους ἥκων ἢ αὐτὸς ὑπ’ ἐκείνων ἀποθανεῖσθαι

7 καὶ X. Mihi μαλακῶς glossema vid. προσάγοντος *: προσαγαγόντος 9 οὐδὲ *: οὔτε 11 Λάκαιναι *: λάκωναι

ἢ κατακανεῖν ἐκείνους; ἥδιον δ' ἀκούειν ὅτι ἀπέθανε καὶ ἑαυτῆς καὶ τῆς πόλεως ἀξίως καὶ τῶν προγόνων, ἢ εἰ ἔζη τὸν ἅπαντα χρόνον κακὸς ὤν.'

ΔΑΜΑΤΡΙΑΣ.

Δαματρία τὸν υἱὸν δειλὸν καὶ ἀνάξιον ἑαυτῆς ἀκούσασα, παραγενόμενον ἀνεῖλε· τὸ δ' ἐπίγραμμα ἐπ' αὐτῆς τόδε

'τὸν παραβάντα νόμους Δαμάτριον ἔκτανε μάτηρ,
ἁ Λακεδαιμονία τὸν Λακεδαιμόνιον.'

* ΛΑΚΑΙΝΩΝ ΑΔΗΛΩΝ.

1. *'Ετέρα Λάκαινα τὸν υἱὸν λιποτακτήσαντα ὡς* **241**
ἀνάξιον τῆς πατρίδος ἀνεῖλεν, εἰποῦσα 'οὐκ ἐμὸν τὸ φίτυμα.' ἐφ' ἧς τὸ ἐπίγραμμα τόδε

'ἔρρε κακὸν φίτυμα διὰ σκότος, οὗ διὰ μῖσος
Εὐρώτας δειλαῖς μηδ' ἐλάφοισι ῥέοι.
ἀχρεῖον σκυλάκευμα, κακὰ μερίς, ἔρρε ποθ' Ἅιδαν,
ἔρρε· τὸ μὴ Σπάρτας ἄξιον οὐδ' ἔτεκον.'

2. *Ἄλλη ἀκούσασα τὸν υἱὸν ἐν παρατάξει πεσόντα ἔφη 'δειλοὶ κλαιέσθωσαν· ἐγὼ δέ σε, τέκνον, ἄδακρυς καὶ ἱλαρὰ θάπτω τὸν καὶ ἐμὸν καὶ Λακεδαιμόνιον.'*

3. *Ἀκούσασά τις τὸν υἱὸν σεσῳσμένον καὶ πεφευγότα ἐκ τῶν πολεμίων, γράφει αὐτῷ 'κακὰ φάμα τευ κακκέχυται· ἢ ταύταν νῦν ἔκνιψαι ἢ μὴ ἔσο.'*

1 *κατακανεῖν*] Cobetus: *κατακάνειν* 7. 12 Anthol Pal. VII 433 9 *λιποτακτήσαντα* *: *λειποτακτήσαντα*

B 4. Ἄλλη, τῶν υἱῶν φυγόντων ἐκ μάχης καὶ παραγενομένων ὡς αὐτήν, 'ποῖ' φησίν 'ἥκετε δραπετεύσαντες, κακὰ ἀνδράποδα; ἢ δεῦρο ὅθεν ἐξέδυτε καταδυσόμενοι;' ἀνασυραμένη καὶ ἐπιδείξασα αὐτοῖς τὴν κοιλίαν.

5. Προσάγοντά τις τὸν υἱὸν θεασαμένη ἐπύθετο τί πράσσει ἡ πατρίς· εἰπόντος δέ 'πάντες ἀπολώλασι', κεραμίδα ἄρασα ἐπαφῆκεν αὐτῷ καὶ ἀνεῖλεν, εἰποῦσα 'σὲ οὖν κακάγγελον ἔπεμψαν ἡμῖν;'

6. Διηγουμένου τινὸς τῇ μητρὶ γενναῖον θάνατον τοῦ ἀδελφοῦ, 'εἶτ' οὐκ αἰσχρόν' εἶπε 'τῆς τοιαύτης συνοδίας ἀποτυχεῖν;'

C 7. Ἐκπέμψασά τις τοὺς υἱοὺς αὐτῆς πέντε ὄντας ἐπὶ πόλεμον, ἐν τοῖς προαστείοις εἱστήκει καραδοκοῦσα τί ἐκ τῆς μάχης ἀποβήσοιτο· ὡς δὲ παραγενόμενός τις πυθομένῃ ἀπήγγειλε τοὺς παῖδας ἅπαντας τετελευτηκέναι, 'ἀλλ' οὐ τοῦτο ἐπυθόμην' εἶπε 'κακὸν ἀνδράποδον, ἀλλὰ τί πράσσει ἡ πατρίς.' φήσαντος δὲ ὅτι νικᾷ, 'ἀσμένη τοίνυν' εἶπε 'δέχομαι καὶ τὸν τῶν παίδων θάνατον.'

8. Θάπτουσά τις τὸν υἱόν, ὡς γραΐδιον εὐτελὲς προσελθὸν αὐτῇ 'ὦ γύναι τᾶς τύχας' εἶπε, 'νὴ τὼ σιὼ ἀλλὰ τᾶς καλᾶς γ'' ἔφη· 'καὶ γὰρ αὐτὸν οὗ ἕνεκεν ἔτεκον, ἵν' ὑπὲρ τᾶς Σπάρτας ἀποθάνῃ, τοῦτό
D μοι συνέβη.'

9. Σεμνυνομένης γυναικός τινος Ἰωνικῆς ἐπί τινι τῶν ἑαυτῆς ὑφασμάτων ὄντι πολυτελεῖ, Λάκαινα ἐπιδείξασα τοὺς τέσσαρας υἱοὺς ὄντας κοσμιωτάτους,

2 ποῖ*: ποῦ 5 τὴν κοιλίαν] om. mei codd. 23 οὗ*: ὧν

ʽτοιαῦτα᾽ ἔφη ʽδεῖ εἶναι τὰ τῆς καλῆς καὶ ἀγαθῆς γυναικὸς ἔργα καὶ ἐπὶ τούτοις ἐπαίρεσθαι καὶ μεγαλαυχεῖν.᾽

10. Ἄλλη ἀκούσασα περὶ τοῦ υἱοῦ, ὡς κακῶς ἐπὶ τῆς ξένης ἀναστρέφοιτο, ἔγραψε ʽκακά τευ φάμα κακκέχυται· ἢ ταύταν ἀπόθευ ἢ μὴ ἔσο.᾽

11. Παραπλησίως δὲ καὶ Χίων φυγάδες ἐλθόντες εἰς Σπάρτην πολλὰ Παιδαρήτου κατηγόρουν· μεταπεμψαμένη δὲ αὐτὸν ἡ μήτηρ αὐτοῦ Τελευτία καὶ E ἀκούσασα ὧν ἐνεκάλουν, ἐπεὶ ἐδόκει αὐτῇ ἁμαρτάνειν ὁ υἱός, ἐπέστειλεν ʽἁ μάτηρ Παιδαρήτῳ. ἢ βελτίονα πρᾶσσε ἢ αὖθι μένε, ἀπογνοὺς τὰν ἐς Σπάρταν σωτηρίαν.᾽

12. Ἑτέρα ἐπ᾽ ἀδικήματι τῷ παιδὶ κρινομένῳ ʽτέκνον᾽ εἶπεν ʽἢ τὰς αἰτίας ἢ σεαυτὸν τοῦ ζῆν ἀπόλυσον.᾽

13. Ἄλλη χωλὸν υἱὸν ἐπὶ παράταξιν προπέμπουσα, ʽτέκνον᾽ εἶπε ʽκατὰ βῆμα τῆς ἀρετῆς μέμνησο.᾽

14. Ἄλλη, τοῦ παιδὸς αὐτῇ ἀφικομένου ἀπὸ παρατάξεως τετρωμένου τὸν πόδα καὶ σφόδρα ἀλγοῦντος, ʽἐὰν τῆς ἀρετῆς᾽ εἶπε ʽμέμνῃ, ὦ τέκνον, καὶ F ἄπονος ἔσῃ καὶ θαρρήσεις.᾽

15. Λάκων τρωθεὶς ἐν πολέμῳ καὶ βαδίζειν μὴ δυνάμενος, τετραποδιστὶ ὥδευεν. αἰσχυνομένῳ δ᾽ αὐτῷ ἐπὶ τῷ γελοίῳ ἡ μήτηρ ʽκαὶ πόσῳ βέλτιον, ὦ

2 καὶ μεγαλαυχεῖν] deleverim 5 τευ Cobetus: τοι 6 ἢ ταύταν * ταύταν 15 ἢ τὰς αἰτίας — ζῆν] malim ἢ τᾶς αἰτίας σεαυτὸν ἢ τοῦ ζῆν 26 ἐπὶ τῷ W: ἐν

τέκνον᾽ εἶπε ῾μᾶλλον ἐπὶ τῇ ἀνδρείᾳ γεγηθέναι ἢ αἰσχύνεσθαι ἐπὶ γέλωτι ἀνοήτῳ;᾽

16. Ἄλλη προσαναδιδοῦσα τῷ παιδὶ τὴν ἀσπίδα καὶ παρακελευομένη ῾τέκνον᾽ ἔφη ῾ἢ ταύταν ἢ ἐπὶ ταύτας.᾽

17. Ἄλλη προϊόντι τῷ υἱῷ ἐπὶ πόλεμον ἀναδιδοῦσα τὴν ἀσπίδα ῾ταύτην᾽ ἔφη ῾ὁ πατήρ σοι ἀεὶ ἔσῳζε· καὶ σὺ οὖν ἢ ταύτην σῷζε ἢ μὴ ἔσο.᾽

18. Ἄλλη πρὸς τὸν υἱὸν λέγοντα μικρὸν ἔχειν τὸ ξίφος εἶπε ῾καὶ βῆμα πρόσθες.᾽

242 19. Ἄλλη ἀκούσασα, ὅτι ὁ υἱὸς αὐτῆς ἐν παρατάξει ἀνδραγαθήσας ἀπέθανεν, ῾ἐμὸς γὰρ ἦν᾽ εἶπε. περὶ δὲ τοῦ ἑτέρου πυθομένη ὅτι ἀποδειλιάσας σῴζεται, ῾οὐ γὰρ ἦν ἐμός᾽ ἔφη.

20. Ἑτέρα ἀκούσασα ὅτι ὁ υἱὸς αὐτῆς τέθνηκεν ἐν μάχῃ καθάπερ ἐτέτακτο ῾κάτθετε αὐτόν᾽ ἔφη, ῾ἀναπληρωσάτω δὲ τὴν ἐκείνου τάξιν ὁ ἀδελφός.᾽

21. Ἄλλη πομπὴν τελοῦσα πάνδημον ἤκουσεν ἐπὶ τῆς παρατάξεως νικᾶν τὸν υἱόν, ἐκ δὲ τῶν τραυμάτων πολλῶν γενομένων θνήσκειν. οὐ περιελομένη οὖν τὸν στέφανον, ἀλλὰ σεμνυνθεῖσα πρὸς τὰς πλησίον εἶπεν ῾ὡς πολλῷ κάλλιον, ὦ φίλαι, ἐστὶν ἐν παρα-
B τάξει νικῶντα τελευτᾶν ἢ τὰ Ὀλύμπια περιγινόμενον ζῆν.᾽

22. Διηγουμένου τινὸς τῇ ἀδελφῇ γενναῖον θάνατον τοῦ παιδὸς αὐτῆς, ἐκείνη εἶπεν ὅτι ῾ὅσον ἐπ᾽ ἐκείνῳ γέγηθα, τοσοῦτον ἐπὶ σοὶ ἄχθομαι, ἐναρέτου συνοδίας ἀπολειφθέντι.᾽

23. Λακαίνῃ τις προσέπεμψεν, εἰ φθορᾷ συν-

12 τοῦ ἑτέρου] του ἑτέρου W

επινεύει. ἡ δ' ἔφη 'παῖς μὲν οὖσα ἔμαθον τῷ πατρὶ πείθεσθαι, καὶ τοῦτο ἔπραξα· γυνὴ δὲ γενομένη τῷ ἀνδρί· εἰ οὖν δίκαιά με παρακαλεῖ, τούτῳ φανερὸν ποιησάτω πρῶτον.'

24. *Παρθένος πενιχρὰ ἐρωτηθεῖσα τίνα δίδωσι τῷ γαμοῦντι προῖκα,* 'τὴν πάτριον' ἔφη 'σωφροσύνην.'

25. *Λάκαινα ἐρωτηθεῖσα εἰ ἀνδρὶ προσελήλυθεν,* C
'οὐκ ἐγώ' εἶπεν 'ἀλλ' ὁ ἀνὴρ ἐμοί.'

26. *Κρύφα τις διαπαρθενευθεῖσα καὶ διαφθείρασα τὸ βρέφος οὕτως ἐνεκαρτέρησε μηδεμίαν προενεγκαμένη φωνήν, ὥστε καὶ τὸν πατέρα καὶ ἄλλους πλησίον ὄντας λαθεῖν ἀποκυήσασα· τὸ γὰρ μέγεθος τῶν ἀλγηδόνων τῇ ἀσχημοσύνῃ τὸ εὔσχημον προσπεσὸν ἐνίκησε.*

27. *Λάκαινα πιπρασκομένη καὶ ἐρωτωμένη τί ἐπίσταται,* ἔφη 'πιστὰ ἦμεν.'

28. *Ἄλλη αἰχμαλωτευθεῖσα καὶ ἐρωτωμένη παραπλησίως* 'εὖ οἰκεῖν οἶκον' ἔφη.

29. *Ἐρωτηθεῖσά τις ὑπό τινος, εἰ ἔσται ἀγαθή, ἂν αὐτὴν ἀγοράσῃ,* εἶπε 'κἂν μὴ ἀγοράσῃς.'

30. *Ἄλλη πιπρασκομένη, τοῦ κήρυκος πυνθανο-* D
μένου τί ἐπίσταται, 'ἐλευθέρα' εἶπεν 'ἦμεν.' *ὡς δὲ ὁ ὠνησάμενος προσέτασσέ τινα αὐτῇ οὐχ ἁρμόζοντα ἐλευθέρᾳ, εἰποῦσα* 'οἰμώξῃ φθονήσας σεαυτῷ τοιούτου κτήματος' *ἐξήγαγεν ἑαυτήν.*

13 εὔσχημον *: ἄσχημον. Ordo verborum vid. esse: τὸ εὔσχημον προσπεσὸν τῇ ἀσχημ. ἐνίκ. τὸ μέγ. τ. ἀλγ.

ΓΥΝΑΙΚΩΝ ΑΡΕΤΑΙ.

Περὶ ἀρετῆς, ὦ Κλέα, γυναικῶν οὐ τὴν αὐτὴν
τῷ Θουκυδίδῃ γνώμην ἔχομεν. ὁ μὲν γάρ, ἧς ἂν
ἐλάχιστος ᾖ παρὰ τοῖς ἐκτὸς ψόγου πέρι ἢ ἐπαίνου
λόγος, ἀρίστην ἀποφαίνεται, καθάπερ τὸ σῶμα καὶ
τοὔνομα τῆς ἀγαθῆς γυναικὸς οἰόμενος δεῖν κατά-
κλειστον εἶναι καὶ ἀνέξοδον. ἡμῖν δὲ κομψότερος
F μὲν ὁ Γοργίας φαίνεται, κελεύων μὴ τὸ εἶδος ἀλλὰ
τὴν δόξαν εἶναι πολλοῖς γνώριμον τῆς γυναικός·
ἄριστα δ' ὁ Ῥωμαίων δοκεῖ νόμος ἔχειν, ὥσπερ ἀν-
δράσι καὶ γυναιξὶ δημοσίᾳ μετὰ τὴν τελευτὴν τοὺς
προσήκοντας ἀποδιδοὺς ἐπαίνους. διὸ καὶ Λεοντίδος
τῆς ἀρίστης ἀποθανούσης, εὐθύς τε μετὰ σοῦ τότε
πολὺν λόγον εἴχομεν οὐκ ἀμοιροῦντα παραμυθίας
φιλοσόφου, καὶ νῦν, ὡς ἐβουλήθης, τὰ ὑπόλοιπα τῶν
λεγομένων εἰς τὸ μίαν εἶναι καὶ τὴν αὐτὴν ἀνδρὸς
243 καὶ γυναικὸς ἀρετὴν προσανέγραψά σοι, τὸ ἱστορικὸν
ἀποδεικτικὸν ἔχοντα καὶ πρὸς ἡδονὴν μὲν ἀκοῆς οὐ
συντεταγμένα· εἰ δὲ τῷ πείθοντι καὶ τὸ τέρπον
ἔνεστι φύσει τοῦ παραδείγματος, οὐ φεύγει χάριν
ἀποδείξεως συνεργὸν ὁ λόγος οὐδ' αἰσχύνεται ʽταῖς
Μούσαις τὰς Χάριτας συγκαταμιγνὺς καλλίστην συζυ-

2 Θουκυδίδῃ] 2, 45 14 ἐβουλήθης *: ἠβουλήθης
18 συντεταγμένα Basileensis: συντεταγμένην

γίαν’ ὡς Εὐριπίδης φησίν, ἐκ τοῦ φιλοκάλου μάλιστα τῆς ψυχῆς ἀναδούμενος τὴν πίστιν. φέρε γάρ, εἰ λέγοντες τὴν αὐτὴν εἶναι ζωγραφίαν ἀνδρῶν καὶ γυναικῶν παρειχόμεθα τοιαύτας γραφὰς γυναικῶν, οἵας Ἀπελλῆς ἀπολέλοιπεν ἢ Ζεῦξις ἢ Νικόμαχος, B ἆρ’ ἄν τις ἐπετίμησεν ἡμῖν, ὡς τοῦ χαρίζεσθαι καὶ ψυχαγωγεῖν μᾶλλον ἢ τοῦ πείθειν στοχαζομένοις; ἐγὼ μὲν οὐκ οἶμαι. τί δέ; ἐὰν ποιητικὴν πάλιν ἢ μαντικὴν ἀποφαίνοντες οὐχ ἑτέραν μὲν ἀνδρῶν ἑτέραν δὲ γυναικῶν οὖσαν, ἀλλὰ τὴν αὐτήν, τὰ Σαπφοῦς μέλη τοῖς Ἀνακρέοντος ἢ τὰ Σιβύλλης λόγια τοῖς Βάκιδος ἀντιπαραβάλλωμεν, ἕξει τις αἰτιάσασθαι δικαίως τὴν ἀπόδειξιν, ὅτι χαίροντα καὶ τερπόμενον ἐπάγει τῇ πίστει τὸν ἀκροατήν; οὐδὲ τοῦτ’ ἂν εἴποις. καὶ μὴν οὐκ ἔστιν ἀρετῆς γυναικείας καὶ ἀνδρείας ὁμοιότητα καὶ διαφορὰν ἄλλοθεν καταμαθεῖν μᾶλλον, C ἢ βίους βίοις καὶ πράξεσι πράξεις ὥσπερ ἔργα μεγάλης τέχνης παρατιθέντας ἅμα καὶ σκοποῦντας, εἰ τὸν αὐτὸν ἔχει χαρακτῆρα καὶ τύπον ἡ Σεμιράμεως μεγαλοπραγμοσύνη τῇ Σεσώστριος ἢ ἡ Τανακυλλίδος σύνεσις τῇ Σερουίου τοῦ βασιλέως, ἢ τὸ Πορκίας φρόνημα τῷ Βρούτου καὶ τὸ Πελοπίδου τῷ Τιμοκλείας, κατὰ τὴν κυριωτάτην κοινότητα καὶ δύναμιν· ἐπειδὴ διαφοράς γέ τινας ἑτέρας, ὥσπερ χρόας ἰδίας, αἱ ἀρεταὶ διὰ τὰς φύσεις λαμβάνουσι καὶ συνεξομοιοῦνται τοῖς ὑποκειμένοις ἔθεσι καὶ κράσεσι σωμάτων

1 *Εὐριπίδης*] Herc. fur. 673 9 *μαντικὴν* Cobetus: *μιμητικὴν* 12 *ἀντιπαραβάλλωμεν* Dinsius: *ἀντιπαραβάλλοιμεν* 23 *κοινότητα* M: *καινότητα* 24 *χρόας* *: *χροιὰς*

καὶ τροφαῖς καὶ διαίταις· ἄλλως γὰρ ἀνδρεῖος ὁ D Ἀχιλλεὺς ἄλλως ὁ Αἴας· καὶ φρόνησις Ὀδυσσέως οὐχ ὁμοία τῇ Νέστορος οὐδὲ δίκαιος ὡσαύτως Κάτων καὶ Ἀγησίλαος, οὐδ' Εἰρήνη φίλανδρος ὡς Ἄλκηστις οὐδὲ Κορνηλία μεγαλόφρων ὡς Ὀλυμπιάς. ἀλλὰ μὴ παρὰ τοῦτο πολλὰς καὶ διαφόρους ποιῶμεν ἀνδρείας καὶ φρονήσεις καὶ δικαιοσύνας, ἂν μόνον τοῦ λόγου τοῦ οἰκείου μηδεμίαν αἱ καθ' ἕκαστον ἀνομοιότητες ἐκβιβάζωσι. τὰ μὲν οὖν ἄγαν περιβόητα καὶ ὅσων οἶμαί σε βιβλίοις ἐντυχοῦσαν ἱστορίαν ἔχειν καὶ γνῶσιν ἤδη παρήσω· πλὴν εἰ μή τινας τοὺς τὰ κοινὰ καὶ δεδημευμένα πρὸ ἡμῶν ἱστορήσαντας ἀκοῆς ἄξια διαπέφευγεν. ἐπεὶ δὲ πολλὰ καὶ κοινῇ καὶ ἰδίᾳ γυναιξὶν ἄξια λόγου πέπρακται, βραχέα E τῶν κοινῶν οὐ χεῖρόν ἐστι προϊστορῆσαι.

ΤΡΩΙΑΔΕΣ.

Τῶν ἀπ' Ἰλίου περὶ τὴν ἅλωσιν ἐκφυγόντων οἱ πλεῖστοι χειμῶνι χρησάμενοι, καὶ δι' ἀπειρίαν τοῦ πλοῦ καὶ ἄγνοιαν τῆς θαλάττης ἀπενεχθέντες εἰς τὴν Ἰταλίαν καὶ περὶ τὸν Θύμβριν ποταμὸν ὅρμοις καὶ ναυλόχοις ἀναγκαίοις μόλις ὑποδραμόντες, αὐτοὶ μὲν ἐπλανῶντο περὶ τὴν χώραν φραστήρων δεό- F μενοι, ταῖς δὲ γυναιξὶν ἐμπίπτει λογισμός, ὡς ἡτισοῦν ἵδρυσις ἐν γῇ πάσης πλάνης καὶ ναυτιλίας εὖ τε καὶ καλῶς πράττουσιν ἀνθρώποις ἀμείνων ἐστί,

7 ἀνδρείας *: ἀνδρίας 9 ἐκβιβάζωσι W: ἐκβιάζωσι 10 βιβλίοις W: βεβαίοις βιβλίοις 23 πάσης X: πάσῃ 24 καλῶς] κακῶς?

καὶ πατρίδα δεῖ ποιεῖν αὐτούς, ἀπολαβεῖν ἣν ἀπο-
λωλέκασι μὴ δυναμένους. ἐκ δὲ τούτου συμφρονή-
σασαι κατέφλεξαν τὰ πλοῖα, μιᾶς καταρξαμένης ὥς
φασι Ῥώμης. πράξασαι δὲ ταῦτα τοῖς ἀνδράσιν ἀπήν-
των βοηθοῦσι πρὸς τὴν θάλασσαν, καὶ φοβούμεναι
τὴν ὀργὴν αἳ μὲν ἀνδρῶν αἳ δ᾽ οἰκείων ἀντιλαμ- 244
βανόμεναι καὶ καταφιλοῦσαι λιπαρῶς, ἐξεπράυναν
τῷ τρόπῳ τῆς φιλοφροσύνης. διὸ καὶ γέγονε καὶ
παραμένει ταῖς Ῥωμαίων γυναιξὶν ἔτι νῦν ἔθος
ἀσπάζεσθαι μετὰ τοῦ καταφιλεῖν τοὺς κατὰ γένος
προσήκοντας αὐταῖς. συνιδόντες γὰρ ὡς ἔοικε τὴν
ἀνάγκην οἱ Τρῶες καὶ ἅμα πειρώμενοι τῶν ἐγχωρίων,
εὐμενῶς καὶ φιλανθρώπως προσδεχομένων, ἠγά-
πησαν τὸ πραχθὲν ὑπὸ τῶν γυναικῶν καὶ συγκα-
τῴκησαν αὐτόθι τοῖς Λατίνοις.

ΦΩΚΙΔΕΣ.

Τὸ δὲ τῶν Φωκίδων ἐνδόξου μὲν οὐ τετύχηκε
συγγραφέως, οὐδενὸς δὲ τῶν γυναικείων ἔλαττον B
εἰς ἀρετήν ἐστι, μαρτυρούμενον ἱεροῖς τε μεγάλοις,
ἃ δρῶσι Φωκεῖς ἔτι νῦν περὶ Ὑάμπολιν, καὶ δό-
γμασι παλαιοῖς, ὧν τὸ μὲν καθ᾽ ἕκαστον τῆς πράξεως
ἐν τῷ Δαϊφάντου βίῳ γέγραπται, τὸ δὲ τῶν γυναι-
κῶν τοιοῦτόν ἐστιν. ἄσπονδος ἦν Θετταλοῖς πρὸς
Φωκέας πόλεμος· οἳ μὲν γὰρ ἄρχοντας αὐτῶν καὶ
τυράννους ἐν ταῖς Φωκικαῖς πόλεσιν ἡμέρᾳ μιᾷ
πάντας ἀπέκτειναν, οἳ δὲ πεντήκοντα καὶ διακοσίους
ἐκείνων ὁμήρους κατηλόησαν· εἶτα πανστρατιᾷ διὰ

1 δεῖ X: δὲ

Λοκρῶν ἐνέβαλον, δόγμα θέμενοι μηδενὸς φείδεσθαι
τῶν ἐν ἡλικίᾳ, παῖδας δὲ καὶ γυναῖκας ἀνδραποδί-
C σασθαι. Δαΐφαντος οὖν ὁ Βαθυλλίου, τρίτος αὐτὸς
ἄρχων, ἔπεισε τοὺς Φωκεῖς μὲν αὐτοὺς ἀπαντήσαντας
τοῖς Θετταλοῖς μάχεσθαι, τὰς δὲ γυναῖκας ἅμα τοῖς
τέκνοις εἰς ἕνα ποι τόπον συναγαγόντας ἐξ ἁπάσης
τῆς Φωκίδος, ὕλην τε περινῆσαι ξύλων καὶ φυλακὰς
καταλιπεῖν, πρόσταγμα δόντας, ἂν αἴσθωνται νικω-
μένους αὐτούς, κατὰ τάχος τὴν ὕλην ἀνάψαι καὶ
καταπρῆσαι τὰ σώματα. ψηφισαμένων δὲ ταῦτα τῶν
ἄλλων, εἷς ἐξαναστὰς ἔφη δίκαιον εἶναι ταῦτα συν-
D δοκεῖν καὶ ταῖς γυναιξίν· εἰ δὲ μή, χαίρειν ἐᾶν
καὶ μὴ προσβιάζεσθαι. τούτου τοῦ λόγου διελθόν-
τος εἰς τὰς γυναῖκας, αὐταὶ καθ' ἑαυτὰς συνελθοῦσαι
ταὐτὰ ἐψηφίσαντο καὶ τὸν Δαΐφαντον ἀνέδησαν,
ὡς τὰ ἄριστα τῇ Φωκίδι βεβουλευμένον· τὰ δ'
αὐτὰ καὶ τοὺς παῖδας ἰδίᾳ φασὶν ἐκκλησιάσαντας
ἐπιψηφίσασθαι. πραχθέντων δὲ τούτων, συμβαλόν-
τες οἱ Φωκεῖς περὶ Κλεωνὰς τῆς Ὑαμπόλιδος ἐνί-
κησαν. τὸ μὲν οὖν ψήφισμα Φωκέων Ἀπόνοιαν οἱ
Ἕλληνες ὠνόμασαν· ἑορτὴν δ' ἐκ πασῶν μεγίστην
E τὰ Ἐλαφηβόλια μέχρι νῦν τῇ Ἀρτέμιδι τῆς νίκης
ἐκείνης ἐν Ὑαμπόλιδι τελοῦσιν.

XIAI.

Χῖοι Λευκωνίαν ἐπῴκισαν ἐκ τοιαύτης αἰτίας.
ἐγάμει τις ἐν Χίῳ τῶν δοκούντων γνωρίμων εἶναι·

4 μὲν αὐτοὺς] αὐτοὺς μὲν Dinsius 6 ποι *: που
15 ταὐτὰ Duebnerus: ταῦτα 24 ἐπῴκισαν X: ἐπῴκησαν

ἀγομένης δὲ τῆς νύμφης ἐπὶ ζεύγους, ὁ βασιλεὺς Ἵπποκλος, ἐπιτήδειος ὢν τῷ γαμοῦντι καὶ παρὼν ὥσπερ οἱ λοιποί, μέθης οὔσης καὶ γέλωτος, ἀνεπήδησεν ἐπὶ τὸ ζεῦγος, οὐδὲν ὑβριστικὸν πράξων, ἀλλ' ἔθει κοινῷ καὶ παιδιᾷ χρώμενος· οἱ δὲ φίλοι τοῦ γαμοῦντος ἀπέκτειναν αὐτόν. μηνιμάτων δὲ τοῖς Χίοις προφαινομένων καὶ τοῦ θεοῦ κελεύσαντος τοὺς Ἵπποκλον ἀνελόντας ἀνελεῖν, ἅπαντες ἔφασαν Ἵπποκλον F ἀνῃρηκέναι. πάντας οὖν αὖθις ὁ θεὸς ἐκέλευσε τὴν πόλιν ἐκλιπεῖν, εἰ πᾶσι τοῦ ἄγους μέτεστιν. οὕτω δὴ τοὺς αἰτίους καὶ μετασχόντας τοῦ φόνου καὶ συνεπαινέσαντας ἁμωσγέπως, οὐκ ὀλίγους γενομένους οὐδ' ἀδυνάτους ὄντας, ἀπῴκισαν εἰς Λευκωνίαν, ἣν Κορωνεῖς ἀφελόμενοι πρότερον ἐκτήσαντο μετ' Ἐρυθραίων. ὕστερον δὲ πολέμου πρὸς τοὺς Ἐρυθραίους αὐτοῖς γενομένου, μέγιστον Ἰώνων δυναμένους τότε, κἀκείνων ἐπὶ τὴν Λευκωνίαν στρατευσάντων ἀντέχειν μὴ δυνάμενοι, συνεχώρησαν ἐξελθεῖν 245 ὑπόσπονδοι, χλαῖναν μίαν ἑκάστου καὶ ἱμάτιον ἄλλο δὲ μηδὲν ἔχοντος. αἱ δὲ γυναῖκες ἐκάκιζον αὐτούς, εἰ προέμενοι τὰ ὅπλα γυμνοὶ διὰ τῶν πολεμίων ἐξίασιν· ὀμωμοκέναι δὲ φασκόντων, ἐκέλευον αὐτοὺς τὰ μὲν ὅπλα μὴ καταλιπεῖν, λέγειν δὲ πρὸς τοὺς πολεμίους ὅτι χλαῖνα μέν ἐστι τὸ ξυστόν, χιτὼν δ' ἡ ἀσπὶς ἀνδρὶ θυμὸν ἔχοντι. πεισθέντων δὲ ταῦτα τῶν Χίων καὶ πρὸς τοὺς Ἐρυθραίους παρρησιαζομένων καὶ τὰ ὅπλα δεικνυόντων, ἐφοβήθησαν οἱ Ἐρυθραῖοι τὴν τόλμαν αὐτῶν καὶ οὐδεὶς προσῆλθεν οὐδ' ἐκώλυσεν, ἀλλ' ἠγάπησαν ἀπαλλαγέντων. B

οὗτοι μὲν οὖν θαρρεῖν διδαχθέντες ὑπὸ τῶν γυναικῶν οὕτως ἐσώθησαν.

Τούτου δ' οὐδέν τι λειπόμενον ἔργον ἀρετῇ καὶ χρόνοις ὕστερον πολλοῖς ἐπράχθη ταῖς Χίων γυναιξίν, ὁπηνίκα Φίλιππος ὁ Δημητρίου πολιορκῶν τὴν πόλιν ἐκήρυξε κήρυγμα βάρβαρον καὶ ὑπερήφανον, ἀφίστασθαι τοὺς οἰκέτας πρὸς ἑαυτὸν ἐπ' ἐλευθερίᾳ καὶ γάμῳ τῆς κεκτημένης, ὡς συνοικιῶν αὐτοὺς ταῖς τῶν δεσποτῶν γυναιξί. δεινὸν δ' αἱ γυναῖκες καὶ ἄγριον θυμὸν λαβοῦσαι, μετὰ τῶν οἰκετῶν καὶ αὐτῶν συναγανακτούντων καὶ συμπαρόντων ὥρμησαν ἀναβαίνειν
C *ἐπὶ τὰ τείχη, καὶ λίθους καὶ βέλη προσφέρουσαι καὶ παρακελευόμεναι καὶ προσλιπαροῦσαι τοῖς μαχομένοις, τέλος δ' ἀμυνόμεναι καὶ βάλλουσαι τοὺς πολεμίους, ἀπώσαντο τὸν Φίλιππον, οὐδενὸς δούλου τὸ παράπαν ἀποστάντος πρὸς αὐτόν.*

ΑΡΓΕΙΑΙ.

Οὐδενὸς δ' ἧττον ἔνδοξόν ἐστι τῶν κοινῇ διαπεπραγμένων γυναιξὶν ἔργων ὁ πρὸς Κλεομένη περὶ Ἄργους ἀγών, ὃν ἠγωνίσαντο, Τελεσίλλης τῆς ποιητρίας προτρεψαμένης. ταύτην δέ φασιν οἰκίας οὖσαν ἐνδόξου τῷ δὲ σώματι νοσηματικὴν εἰς θεοῦ
D *πέμψαι περὶ ὑγιείας· καὶ χρησθὲν αὐτῇ Μούσας θεραπεύειν, πειθομένην τῷ θεῷ καὶ ἐπιθεμένην ᾠδῇ καὶ ἁρμονίᾳ τοῦ τε πάθους ἀπαλλαγῆναι ταχὺ καὶ θαυμάζεσθαι διὰ ποιητικὴν ὑπὸ τῶν γυναικῶν. ἐπεὶ δὲ Κλεομένης ὁ βασιλεὺς τῶν Σπαρτιατῶν πολλοὺς*

11 *συμπαρόντων*] *συμπαροξυνόντων*? 13 *προσλιπαροῦσαι*] *προσταλαιπωροῦσαι* W 21 *θεοῦ* M: *θεοὺς* 23 *τῷ* idem: *τῇ*

ἀποκτείνας (οὐ μήν, ὡς ἔνιοι μυθολογοῦσιν, ἑπτὰ καὶ ἑβδομήκοντα καὶ ἑπτακοσίους πρὸς ἑπτακισχιλίοις) ἐβάδιζε πρὸς τὴν πόλιν, ὁρμὴ καὶ τόλμα δαιμόνιος παρέστη ταῖς ἀκμαζούσαις τῶν γυναικῶν ἀμύνεσθαι τοὺς πολεμίους ὑπὲρ τῆς πατρίδος. ἡγουμένης δὲ τῆς Τελεσίλλης, ὅπλα λαμβάνουσι καὶ παρ' ἔπαλξιν ἱστάμεναι κύκλῳ τὰ τείχη περιέστεψαν, ὥστε θαυμάζειν E τοὺς πολεμίους. τὸν μὲν οὖν Κλεομένη πολλῶν πεσόντων ἀπεκρούσαντο· τὸν δ' ἕτερον βασιλέα Δημάρατον, ὡς Σωκράτης φησίν, ἐντὸς γενόμενον καὶ κατασχόντα τὸ Παμφυλιακὸν ἐξέωσαν. οὕτω δὲ τῆς πόλεως περιγενομένης, τὰς μὲν πεσούσας ἐν τῇ μάχῃ τῶν γυναικῶν ἐπὶ τῆς ὁδοῦ τῆς Ἀργείας ἔθαψαν, ταῖς δὲ σωθείσαις ὑπόμνημα τῆς ἀριστείας ἔδοσαν ἱδρύσασθαι τὸν Ἐνυάλιον. τὴν δὲ μάχην οἱ μὲν ἑβδόμῃ λέγουσιν ἱσταμένου μηνός, οἱ δὲ νουμηνίᾳ γενέσθαι τοῦ νῦν μὲν τετάρτου, πάλαι δ' Ἑρμαίου παρ' Ἀργείοις, καθ' ἣν μέχρι νῦν τὰ Ὑβριστικὰ τελοῦσι, γυναῖκας μὲν ἀνδρείοις χιτῶσι καὶ χλαμύσιν, ἄνδρας δὲ πέπλοις γυναικῶν καὶ καλύπτραις F ἀμφιεννύντες. ἐπανορθούμενοι δὲ τὴν ὀλιγανδρίαν, οὐχ ὡς Ἡρόδοτος ἱστορεῖ τοῖς δούλοις, ἀλλὰ τῶν περιοίκων ποιησάμενοι πολίτας τοὺς ἀρίστους, συνῴκισαν τὰς γυναῖκας· ἐδόκουν δὲ καὶ τούτους ἀτιμάζειν καὶ περιορᾶν ἐν τῷ συγκαθεύδειν ὡς χείρονας. ὅθεν ἔθεντο νόμον τὸν κελεύοντα πώγωνα δεῖν ἐχούσας συναναπαύεσθαι τοῖς ἀνδράσι τὰς γεγαμημένας.

10 Σωκράτης] Mueller. Fragm. H Gr. 4 p. 497 11 δὲ] malim δὴ 22 Ἡρόδοτος] 6, 83

ΠΕΡΣΙΔΕΣ.

246 Πέρσας Ἀστυάγου βασιλέως καὶ Μήδων ἀποστήσας Κῦρος ἡττήθη μάχῃ· φεύγουσι δὲ τοῖς Πέρσαις εἰς τὴν πόλιν, ὀλίγον ἀπεχόντων συνεισπεσεῖν τῶν πολεμίων, ἀπήντησαν αἱ γυναῖκες πρὸ τῆς πόλεως καὶ τοὺς πέπλους ἐκ τῶν κάτω μερῶν ἐπάρασαι 'ποῖ φέρεσθε' εἶπον 'ὦ κάκιστοι πάντων ἀνθρώπων; οὐ γὰρ ἐνταῦθά γε δύνασθε καταδῦναι φεύγοντες, ὅθεν ἐξεγένεσθε.' ταύτην τὴν ὄψιν ἅμα καὶ τὴν φωνὴν αἰδεσθέντες οἱ Πέρσαι καὶ κακίσαντες ἑαυτοὺς ἀνέστρεψάν τε καὶ συμβαλόντες ἐξ ἀρχῆς ἐτρέψαντο τοὺς
B πολεμίους. ἐκ τούτου κατέστη νόμος, εἰσελάσαντος βασιλέως εἰς τὴν πόλιν ἑκάστην γυναῖκα χρυσοῦν λαμβάνειν, Κύρου νομοθετήσαντος. Ὦχον δέ φασι, τά τ' ἄλλα μοχθηρὸν καὶ φιλοκερδέστατον βασιλέων ὄντα, περικάμψαι τὴν πόλιν ἀεὶ καὶ μὴ παρελθεῖν ἀλλ' ἀποστερῆσαι τῆς δωρεᾶς τὰς γυναῖκας. Ἀλέξανδρος δὲ καὶ δὶς εἰσῆλθε καὶ ταῖς κυούσαις διπλοῦν ἔδωκε.

ΚΕΛΤΑΙ.

Κελτοῖς, πρὶν ὑπερβαλεῖν Ἄλπεις καὶ κατοικῆσαι τῆς Ἰταλίας ἣν νῦν νέμονται χώραν, στάσις ἐμπε-
C σοῦσα δεινὴ καὶ δυσκατάπαυστος εἰς πόλεμον ἐμφύλιον προῆλθεν. αἱ δὲ γυναῖκες ἐν μέσῳ τῶν ὅπλων γενόμεναι καὶ παραλαβοῦσαι τὰ νείκη διῄτησαν οὕτως ἀμέμπτως καὶ διέκριναν, ὥστε φιλίαν πᾶσι θαυμαστὴν καὶ κατὰ πόλεις καὶ κατ' οἴκους γενέσθαι πρὸς πάντας. ἐκ τούτου διετέλουν περί τε πολέμου καὶ εἰρήνης βουλευόμενοι μετὰ τῶν γυναι-

κῶν καὶ τὰ πρὸς τοὺς συμμάχους ἀμφίβολα δι' ἐκείνων βραβεύοντες. ἐν γοῦν ταῖς πρὸς Ἀννίβαν συνθήκαις ἐγράψαντο, Κελτῶν μὲν ἐγκαλούντων Καρχηδονίοις, τοὺς ἐν Ἰβηρίᾳ Καρχηδονίων ἐπάρχους καὶ στρατηγοὺς εἶναι δικαστάς· ἂν δὲ Καρχηδόνιοι Κελτοῖς ἐγκαλῶσι, τὰς Κελτῶν γυναῖκας. D

ΜΗΛΙΑΙ.

Μήλιοι γῆς χρῄζοντες ἀμφιλαφοῦς Νυμφαῖον ἡγεμόνα τῆς ἀποικίας ἐποιήσαντο, νέον ἄνδρα καὶ κάλλει διαφέροντα· τοῦ δὲ θεοῦ πλεῖν κελεύσαντος αὐτούς, ὅπου δ' ἂν ἀποβάλωσι τοὺς κομιστῆρας, ἐκεῖ κατοικεῖν, συνέπεσε τῇ Καρίᾳ προσβαλοῦσιν αὐτοῖς καὶ ἀποβᾶσι τὰς ναῦς ὑπὸ χειμῶνος διαφθαρῆναι. τῶν δὲ Καρῶν οἱ Κρύασσον οἰκοῦντες, εἴτε τὴν ἀπορίαν οἰκτίραντες εἴτε δείσαντες αὐτῶν τὴν τόλμαν, ἐκέλευον οἰκεῖν παρ' αὐτοῖς καὶ τῆς χώρας μετέδω- E *καν· εἶτα πολλὴν ἐν ὀλίγῳ χρόνῳ λαμβάνοντας αὔξησιν ὁρῶντες, ἐπεβούλευον ἀνελεῖν εὐωχίαν τινὰ καὶ θοίνην παρασκευάσαντες. ἔτυχε δὲ Καρίνη παρθένος ἐρῶσα τοῦ Νυμφαίου καὶ λανθάνουσα τοὺς ἄλλους· ἐκαλεῖτο δὲ Καφένη· πραττομένων δὲ τούτων οὐ δυναμένη τὸν Νυμφαῖον περιορᾶν ἀπολλύμενον, ἐξήγγειλε τὴν διάνοιαν αὐτῷ τῶν πολιτῶν. ὡς οὖν ἧκον οἱ Κρυασσεῖς καλοῦντες αὐτούς, οὐκ ἔφη νόμον ὁ Νυμφαῖος Ἕλλησιν εἶναι βαδίζειν ἐπὶ δεῖπνον ἄνευ γυναικῶν· ἀκούσαντες δὲ οἱ Κᾶρες ἐκέλευον* F

4 *ἐπάρχους*] *ἱππάρχους* Polyaenus 7, 50 9 *δὲ* M
13 *Κρύασσον* X: *κρύασσαν*

ἄγειν καὶ τὰς γυναῖκας. οὕτω δὴ φράσας τὰ πεπρα-
γμένα Μηλίοις ἐκέλευσεν αὐτοὺς μὲν ἀόπλους ἐν
ἱματίοις βαδίζειν, τῶν δὲ γυναικῶν ἑκάστην ξίφος
ἐν τῷ κόλπῳ κομίζειν καὶ καθέζεσθαι παρὰ τὸν αὑτῆς.
ἐπεὶ δὲ τοῦ δείπνου μεσοῦντος ἐδόθη τὸ σύνθημα
τοῖς Καρσὶ καὶ συνῄσθοντο τὸν καιρὸν οἱ Ἕλληνες,
αἱ μὲν γυναῖκες ἅμα πᾶσαι τοὺς κόλπους διέσχον,
οἱ δὲ τὰ ξίφη λαβόντες ἐπέθεντο τοῖς βαρβάροις καὶ
διέφθειραν αὐτοὺς ἅμα πάντας· κτησάμενοι δὲ τὴν
χώραν καὶ τὴν πόλιν ἐκείνην καταβαλόντες, ᾤκισαν
247 ἑτέραν, ἣν νέαν Κρύασσον ὠνόμασαν. ἡ δὲ Καφένη
τῷ Νυμφαίῳ γαμηθεῖσα τιμὴν καὶ χάριν ἔσχε ταῖς
εὐεργεσίαις πρέπουσαν. ἄξιον οὖν ἄγασθαι τῶν
γυναικῶν καὶ τὴν σιωπὴν καὶ τὸ θάρσος, καὶ τὸ
μηδεμίαν ἐν πολλαῖς μηδ' ἄκουσαν ὑπὸ δειλίας
κακὴν γενέσθαι.

ΤΥΡΡΗΝΙΔΕΣ.

Τυρρηνῶν τοίνυν τῶν Λῆμνον καὶ Ἴμβρον κα-
τασχόντων, ἁρπασάντων δὲ Βραυρωνόθεν τὰς Ἀθη-
ναίων γυναῖκας, ἐγένοντο παῖδες, οὓς ἐξήλασαν
Ἀθηναῖοι μιξοβαρβάρους ὄντας ἐκ τῶν νήσων. οἱ
δ' εἰς Ταίναρον κατάραντες ἐγένοντο χρήσιμοι Σπαρ-
τιάταις περὶ τὸν εἱλωτικὸν πόλεμον, καὶ διὰ τοῦτο
B πολιτείας καὶ γάμων τυχόντες, οὐκ ἀξιούμενοι δὲ
ἀρχείων καὶ βουλῆς, ὑπόνοιαν ἔσχον ὡς ἐπὶ νεω-
τερισμῷ συνερχόμενοι καὶ διανοούμενοι τὰ καθε-
στῶτα κινεῖν. συλλαβόντες οὖν αὐτοὺς οἱ Λακε-

2 ἀόπλους *: ἀνόπλους 10 ᾤκισαν X: ᾤκησαν

δαιμόνιοι καὶ καθείρξαντες ἐφύλαττον ἰσχυρῶς, ζητοῦντες ἑλεῖν σαφέσι καὶ βεβαίοις ἐλέγχοις· αἱ δὲ τῶν καθειργμένων γυναῖκες ἐπὶ τὴν εἱρκτὴν παραγενόμεναι, πολλαῖς ἱκεσίαις καὶ δεήσεσι παρείθησαν ὑπὸ τῶν φυλάκων ὅσον ἀσπάσασθαι καὶ προσειπεῖν τοὺς ἄνδρας. ἐπεὶ δ' εἰσῆλθον, ἐκέλευον αὐτοὺς μεταμφιέννυσθαι ταχὺ τὰ ἱμάτια καὶ τὰ μὲν αὐτῶν ἐκείναις ἀπολιπεῖν, τὰ δ' ἐκείνων ἐνδύντας αὐτοὺς C *ἀπιέναι περικαλυψαμένους. γενομένων δὲ τούτων, αἱ μὲν ὑπέμειναν αὐτοῦ παραταξάμεναι πρὸς πάντα τὰ δεινά, τοὺς δ' ἄνδρας ἐξαπατηθέντες οἱ φύλακες παρῆκαν ὡς δὴ γυναῖκας. ἐκ δὴ τούτου καταλαβομένων αὐτῶν τὰ Ταΰγετα, καὶ τὸ εἱλωτικὸν ἀφιστάντων καὶ προσδεχομένων, οἱ Σπαρτιᾶται εἰς πολὺν φόβον καταστάντες ἐπεκηρυκεύσαντο καὶ διηλλάγησαν ἐπὶ τῷ κομίσασθαι μὲν αὐτοὺς τὰς γυναῖκας, χρήματα δὲ καὶ ναῦς λαβόντας ἐκπλεῦσαι καὶ γῆς τυχόντας ἀλλαχόσε καὶ πόλεως ἀποίκους Λακεδαιμονίων* D *καὶ συγγενεῖς νομίζεσθαι. ταῦτ' ἔπραττον οἱ Πελασγοὶ Πόλλιν ἡγεμόνα καὶ Δελφὸν καὶ Κραταΐδαν Λακεδαιμονίους λαβόντες· καὶ μέρος μὲν αὐτῶν ἐν Μήλῳ κατῴκησαν· τοὺς δὲ πλείστους οἱ περὶ Πόλλιν ἔχοντες εἰς Κρήτην ἔπλευσαν, ἀποπειρώμενοι τῶν λογίων. ἐχρήσθη γὰρ αὐτοῖς, ὅταν τὴν θεὸν καὶ τὴν ἄγκυραν ἀπολέσωσι, παύσασθαι πλάνης καὶ πόλιν ἐκεῖ συνοικίζειν. ὁρμισθεῖσιν οὖν πρὸς τῇ λεγομένῃ Χερρονήσῳ*

18 *ἀλλαχόσε*] *ἀλλαχόθι* Dinsius 20 *Δελφὸν καὶ Κραταΐδαν* Meursius: *ἀδελφὸν κραταΐδα.* cf. Phot. Bibl. 137 b 21. 141 a 7. Mueller. Fragm. 1 p. 356

θόρυβοι πανικοὶ προσέπεσον νύκτωρ, ὑφ' ὧν δια-
E πτοηθέντες ἐνεπήδησαν εἰς τὰς ναῦς ἀκόσμως, ἀπολι-
πόντες ἐν τῇ γῇ ξόανον τῆς Ἀρτέμιδος, ὃ πατρῷον
ἦν αὐτοῖς εἰς Λῆμνον ἐκ Βραύρωνος κομισθέν, ἐκ
δὲ Λήμνου πανταχοῦ συμπεριαγόμενον. ἐπεὶ δὲ τοῦ
θορύβου λήξαντος ἐπόθησαν αὐτὸ κατὰ πλοῦν, ἅμα
δ' ὁ Πόλλις κατέμαθε τῇ ἀγκύρᾳ τὸν ὄνυχα μὴ
προσόντα (βίᾳ γὰρ ἑλκομένης ὡς ἔοικεν ἐν τόποις
ὑποπέτροις ἀποσπασθεὶς ἔλαθε), περαίνεσθαι τὰ πυ-
θόχρηστα φήσας ἐσήμαινεν ἀναστρέφειν· καὶ κατέσχε
F τὴν χώραν, καὶ μάχαις πολλαῖς τῶν ἀντιταξαμένων ἐπι-
κρατήσας Λύκτον ᾤκησε καὶ πόλεις ἄλλας ὑποχειρίους
ἔλαβε. διὸ καὶ νομίζουσιν αὐτοὺς Ἀθηναίοις τε διὰ τὰς
μητέρας κατὰ γένος προσήκειν καὶ Σπαρτιατῶν ἀποί-
κους εἶναι.

ΛΥΚΙΑΙ.

Τὸ δ' ἐν Λυκίᾳ γενέσθαι λεγόμενον μυθῶδες
μέν ἐστιν, ἔχει δέ τινα φήμην ὁμοῦ μαρτυροῦσαν.
Ἀμισώδαρος γάρ, ὥς φασιν, ὃν Ἰσάραν Λύκιοι κα-
λοῦσιν, ἧκεν ἐκ τῆς περὶ Ζέλειαν ἀποικίας Λυκίων,
λῃστρίδας ἄγων ναῦς, ὧν Χίμαρρος ἡγεῖτο, πολεμι-
στὴς μὲν ἀνὴρ ὠμὸς δὲ καὶ θηριώδης. ἔπλει δὲ
248 πλοίῳ λέοντα μὲν ἔχοντι πρῴραθεν ἐπίσημον, ἐκ δὲ
πρύμνης δράκοντα, καὶ πολλὰ κακὰ τοὺς Λυκίους
ἐποίει, καὶ πλεῦσαι τὴν θάλατταν οὐκ ἦν οὐδὲ τὰς
ἐγγὺς θαλάττης πόλεις οἰκεῖν. τοῦτον οὖν ἀποκτεί-
νας ὁ Βελλεροφόντης φεύγοντα τῷ Πηγάσῳ διώξας,
ἐκβαλὼν δὲ καὶ τὰς Ἀμαζόνας, οὐδενὸς ἐτύγχανε τῶν

13 αὐτοὺς?   17 ὁμοῦ] ὅμως M

δικαίων, ἀλλ᾽ ἦν ἀδικώτατος περὶ αὐτὸν Ἰοβάτης· ὅθεν εἰς τὴν θάλατταν ἐμβὰς εὔξατο κατ᾽ αὐτοῦ τῷ Ποσειδῶνι τὴν χώραν ἄκαρπον γενέσθαι καὶ ἀνόνητον. εἶθ᾽ ὁ μὲν ἀπῄει κατευξάμενος, κῦμα δὲ διαρθὲν ἐπέκλυζε τὴν γῆν· καὶ θέαμα δεινὸν ἦν, ἑπομένης μετεώρου τῆς θαλάττης καὶ ἀποκρυπτούσης τὸ πεδίον. ἐπεὶ δέ, τῶν ἀνδρῶν δεομένων τὸν Βελλεροφόντην B ἐπισχεῖν, οὐδὲν ἔπειθον, αἱ γυναῖκες ἀνασυράμεναι τοὺς χιτωνίσκους ἀπήντησαν αὐτῷ· πάλιν οὖν ὑπ᾽ αἰσχύνης ἀναχωροῦντος ὀπίσω καὶ τὸ κῦμα λέγεται συνυποχωρῆσαι. τινὲς δὲ τοῦ λόγου τούτου παραμυθούμενοι τὸ μυθῶδες οὔ φασι κατάραις ὑπαγαγέσθαι τὴν θάλασσαν αὐτόν, ἀλλὰ τοῦ πεδίου τὸ πιότατον ὑποκεῖσθαι τῇ θαλάσσῃ ταπεινότερον· ὀφρῦν δὲ παρατείνουσαν ἀκτῆς, ἣ διεῖργε τὴν θάλασσαν, ἐκρῆξαι τὸν Βελλεροφόντην, καὶ βίᾳ C τοῦ πελάγους ἐπιφερομένου καὶ κατακλύζοντος τὸ πεδίον, τοὺς μὲν ἄνδρας οὐδὲν περαίνειν δεομένους αὐτοῦ, τὰς δὲ γυναῖκας ἀθρόας περιχυθείσας αἰδοῦς τυχεῖν καὶ ἀποπαῦσαι τὴν ὀργήν. οἱ δ᾽ ὅλως τὴν λεγομένην Χίμαιραν ὄρος ἀντήλιον γεγονέναι φασὶ καὶ ποιεῖν ἀνακλάσεις ἐν τῷ θέρει χαλεπὰς καὶ πυρώδεις, ὑφ᾽ ὧν ἀνὰ τὸ πεδίον σκεδαννυμένων μαραίνεσθαι τοὺς καρπούς. τὸν δὲ Βελλεροφόντην συμφρονήσαντα διακόψαι τοῦ κρημνοῦ τὸ λειότατον καὶ μάλιστα τὰς ἀνακλάσεις ἀνταποστέλλον· ἐπεὶ δ᾽ οὐκ ἐτύγχανε χάριτος, ὀργῇ πρὸς ἄμυναν τραπέσθαι

2 εὔξατο *: ηὔξατο 22 ἀνακλάσεις Cobetus: ἀνακλάσεις καὶ ἀνακαύσεις

τῶν Λυκίων, πεισθῆναι δ' ὑπὸ τῶν γυναικῶν. ἣν D δὲ Νύμφις ἐν τῷ τετάρτῳ περὶ Ἡρακλείας αἰτίαν εἴρηκεν, ἥκιστα μυθώδης ἐστί· λέγει γάρ, ὅτι σῦν ἄγριον ἐν τῇ Ξανθίων χώρᾳ καὶ ζῷα καὶ καρποὺς λυμαινόμενον ἀνελὼν ὁ Βελλεροφόντης οὐδεμιᾶς ἐτύγχανεν ἀμοιβῆς· καταρασαμένου δὲ τῶν Ξανθίων αὐτοῦ πρὸς τὸν Ποσειδῶνα, πᾶν τὸ πεδίον ἐξήνθησεν ἁλμυρίδα καὶ διέφθαρτο παντάπασι, τῆς γῆς πικρᾶς γενομένης· μέχρι οὗ τὰς γυναῖκας αἰδεσθεὶς δεομένας εὔξατο τῷ Ποσειδῶνι τὴν ὀργὴν ἀφεῖναι. διὸ καὶ νόμος ἦν τοῖς Ξανθίοις μὴ πατρόθεν ἀλλ' ἀπὸ μητέρων χρηματίζειν.

ΣΑΛΜΑΤΙΔΕΣ.

E Ἀννίβα δὲ τοῦ Βάρκα, πρὶν ἐπὶ Ῥωμαίους στρατεύειν, ἐν Ἰβηρίᾳ πόλει μεγάλῃ Σαλματικῇ προσμαχομένου, πρῶτον μὲν ἔδεισαν οἱ πολιορκούμενοι καὶ συνέθεντο ποιήσειν τὸ προστταττόμενον, Ἀννίβᾳ τριακόσια δόντες ἀργυρίου τάλαντα καὶ τριακοσίους ὁμήρους. ἀνέντος δὲ τὴν πολιορκίαν ἐκείνου, μεταγνόντες οὐδὲν ἔπραττον ὧν ὡμολόγησαν. αὖθις οὖν F ἐπιστρέψαντος αὐτοῦ καὶ τοὺς στρατιώτας ἐπὶ διαρπαγῇ χρημάτων κελεύσαντος ἐπιχειρεῖν τῇ πόλει, παντάπασι καταπλαγέντες οἱ βάρβαροι συνεχώρησαν ἐξελθεῖν ἐν ἱματίῳ τοὺς ἐλευθέρους, ὅπλα καὶ χρήματα καὶ ἀνδράποδα καὶ τὴν πόλιν καταλιπόντας. αἱ δὲ γυναῖκες οἰόμεναι τῶν μὲν ἀνδρῶν φωράσειν ἕκαστον ἐξιόντα τοὺς πολεμίους, αὐτῶν δ' οὐκ ἂν

2 Νύμφις] Mueller. 3 p. 14 23 ἐν] ἐνὶ Polyaen. 7, 48. ἐν ἐνὶ Herwerdenus. cf. p. 276 d

ἅψασθαι, ξίφη λαβοῦσαι καὶ ἀποκρύψασαι συνεξέπιπτον τοῖς ἀνδράσιν. ἐξελθόντων δὲ πάντων ὁ Ἀννίβας φρουρὰν Μασαισυλίων ἐπιστήσας ἐν τῷ προαστείῳ συνεῖχεν αὐτούς, οἱ δ' ἄλλοι τὴν πόλιν ἀτάκτως ἐμπεσόντες διήρπαζον. πολλῶν δ' ἀγομένων, οἱ Μασαισύλιοι καρτερεῖν οὐκ ἐδύναντο βλέποντες οὐδὲ τῇ φυλακῇ τὸν νοῦν προσεῖχον, ἀλλ' ἠγανά- 249 κτουν καὶ ἀπεχώρουν ὡς μεθέξοντες τῆς ὠφελείας. ἐν τούτῳ δ' αἱ γυναῖκες ἐμβοήσασαι τοῖς ἀνδράσι τὰ ξίφη παρέδοσαν, ἔνιαι δὲ καὶ δι' ἑαυτῶν ἐπετίθεντο τοῖς φρουροῦσι· μία δὲ καὶ λόγχην ἐξαρπάσασα Βάνωνος τοῦ ἑρμηνέως αὐτὸν ἐκεῖνον ἔπαισεν· ἔτυχε δὲ τεθωρακισμένος· τῶν δ' ἄλλων τοὺς μὲν καταβαλόντες, τοὺς δὲ τρεψάμενοι, διεξέπεσον ἀθρόοι μετὰ τῶν γυναικῶν. πυθόμενος δ' ὁ Ἀννίβας καὶ διώξας τοὺς μὲν καταλειφθέντας ἀνεῖλεν· οἱ δὲ τῶν ὀρῶν ἐπιλαβόμενοι παραχρῆμα μὲν διέφυγον, ὕστερον B δὲ πέμψαντες ἱκετηρίαν εἰς τὴν πόλιν ὑπ' αὐτοῦ κατήχθησαν, ἀδείας καὶ φιλανθρωπίας τυχόντες.

ΜΙΛΗΣΙΑΙ.

Τὰς Μιλησίων ποτὲ παρθένους δεινὸν πάθος καὶ ἀλλόκοτον κατέσχεν, ἐκ δή τινος αἰτίας ἀδήλου· μάλιστα δ' εἰκάζετο κρᾶσιν ἐκστατικὴν καὶ φαρμακώδη λαβὼν ὁ ἀὴρ τροπὴν αὐταῖς καὶ παραφορὰν τῆς διανοίας ἐνεργάσασθαι. πάσαις μὲν γὰρ ἐξαίφνης ἐπιθυμία θανάτου καὶ πρὸς ἀγχόνην ὁρμὴ περιμανὴς ἐνέπιπτε, πολλαὶ δ' ἀπήγχοντο λανθάνουσαι· λόγοι C

6 ἐδύναντο *: ἠδύναντο 16 ἀνεῖλεν Herwerdenus: εἷλεν

δὲ καὶ δάκρυα γονέων καὶ παρηγορίαι φίλων οὐδὲν ἐπέραινον, ἀλλὰ περιῇσαν ἐπινοίας καὶ πανουργίας ἁπάσης τῶν φυλαττόντων, ἑαυτὰς διαχρώμεναι. καὶ τὸ κακὸν ἐδόκει δαιμόνιον εἶναι καὶ κρεῖττον ἀνθρωπίνης βοηθείας, ἄχρι οὗ γνώμῃ νοῦν ἔχοντος ἀνδρὸς ἐγράφη προβούλευμα, τὰς ἀπαγχομένας γυμνὰς ἐκκομίζεσθαι διὰ τῆς ἀγορᾶς· καὶ τοῦτο κυρωθὲν οὐ μόνον ἐπέσχεν, ἀλλὰ καὶ παντελῶς ἔπαυσε θανατώσας τὰς παρθένους. μέγα δὴ τεκμήριον εὐφυΐας καὶ ἀρετῆς ἡ τῆς ἀδοξίας εὐλάβεια καὶ τὸ πρὸς τὰ
D δεινότατα τῶν ὄντων, θάνατον καὶ πόνον, ἀδεῶς ἐχούσας αἰσχροῦ φαντασίαν μὴ ὑπομεῖναι μηδ' ἐνεγκεῖν αἰσχύνης μετὰ θάνατον ἐσομένης.

ΚΕΙΑΙ.

Ταῖς Κείων παρθένοις ἔθος ἦν εἰς ἱερὰ δημόσια συμπορεύεσθαι καὶ διημερεύειν μετ' ἀλλήλων, οἱ δὲ μνηστῆρες ἐθεῶντο παιζούσας καὶ χορευούσας· ἑσπέρας δὲ πρὸς ἑκάστην ἀνὰ μέρος βαδίζουσαι διηκονοῦντο τοῖς ἀλλήλων γονεῦσι καὶ ἀδελφοῖς ἄχρι τοῦ καὶ τοὺς πόδας ἀπονίζειν. ἤρων πολλάκις μιᾶς πλείονες οὕτω κόσμιον ἔρωτα καὶ νόμιμον, ὥστε τῆς κόρης ἐγγυηθείσης ἑνὶ τοὺς ἄλλους εὐθὺς πεπαῦσθαι. κεφάλαιον δὲ τῆς εὐταξίας τῶν γυναικῶν,
E τὸ μήτε μοιχείαν μήτε φθορὰν ἀνέγγυον ἐτῶν ἑπτακοσίων μνημονεύεσθαι παρ' αὐτοῖς γενομένην.

14 ΚΕΙΑΙ. Κείων Cobetus: ΚΙΑΙ. κίων 17 βαδίζοντες X 18 ἀλλήλων] αὐτῶν X

ΦΩΚΙΔΕΣ.

Τῶν ἐν Φωκεῦσι τυράννων κατειληφότων Δελφοὺς καὶ τὸν ἱερὸν κληθέντα πόλεμον Θηβαίων πολεμούντων πρὸς αὐτούς, αἱ περὶ τὸν Διόνυσον γυναῖκες, ἃς Θυιάδας ὀνομάζουσιν, ἐκμανεῖσαι καὶ περιπλανηθεῖσαι νυκτὸς ἔλαθον ἐν Ἀμφίσσῃ γενόμεναι· κατάκοποι δ' οὖσαι καὶ μηδέπω τοῦ φρονεῖν παρόντος αὐταῖς, ἐν τῇ ἀγορᾷ προέμεναι τὰ σώματα σποράδην ἔκειντο καθεύδουσαι. τῶν δ' Ἀμφισσέων F
αἱ γυναῖκες, φοβηθεῖσαι μὴ διὰ τὸ σύμμαχον τὴν πόλιν Φωκέων γεγονέναι καὶ συχνοὺς στρατιώτας παρεῖναι τῶν τυράννων ἀγνωμονηθῶσιν αἱ Θυιάδες, ἐξέδραμον εἰς τὴν ἀγορὰν ἅπασαι καὶ κύκλῳ περιστᾶσαι σιωπῇ κοιμωμέναις μὲν οὐ προσῄεσαν, ἐπεὶ δ' ἐξανέστησαν, ἄλλαι περὶ ἄλλας ἐγίγνοντο θεραπεύουσαι καὶ τροφὴν προσφέρουσαι· τέλος δὲ πείσασαι τοὺς ἄνδρας ἐπηκολούθησαν αὐταῖς ἄχρι τῶν ὅρων ἀσφαλῶς προπεμπομέναις.

ΟΥΑΛΕΡΙΑ ΚΑΙ ΚΛΟΙΛΙΑ. 250

Ταρκύνιον Σούπερβον, ἕβδομον ἀπὸ Ῥωμύλου βασιλεύοντα Ῥωμαίων, ἐξήλασεν ὕβρις καὶ ἀρετὴ Λουκρητίας, γυναικὸς ἀνδρὶ γεγαμημένης λαμπρῷ καὶ κατὰ γένος προσήκοντι τοῖς βασιλεῦσιν. ἐβιάσθη μὲν γὰρ ὑφ' ἑνὸς τῶν Ταρκυνίου παίδων, ἐπιξενωθέντος αὐτῇ· φράσασα δὲ τοῖς φίλοις καὶ οἰκείοις τὸ πάθος εὐθὺς ἀπέσφαξεν ἑαυτήν. ἐκπεσὼν δὲ τῆς ἀρχῆς ὁ Ταρκύνιος ἄλλους τε πολλοὺς ἐπολέμησε

B πολέμους, πειρώμενος ἀναλαβεῖν τὴν ἡγεμονίαν· καὶ τέλος ἄρχοντα Τυρρηνῶν Πορσίναν ἔπεισεν ἐπὶ τὴν Ῥώμην στρατεῦσαι μετὰ πολλῆς δυνάμεως. ἅμα δὲ τῷ πολέμῳ καὶ λιμοῦ συνεπιτιθεμένου τοῖς Ῥωμαίοις, πυνθανόμενοι τὸν Πορσίναν οὐ πολεμικὸν εἶναι μόνον, ἀλλὰ καὶ δίκαιον ἄνδρα καὶ χρηστόν, ἐβούλοντο χρῆσθαι δικαστῇ πρὸς τὸν Ταρκύνιον. ἀπαυθαδισαμένου δὲ τοῦ Ταρκυνίου καὶ τὸν Πορσίναν, εἰ μὴ μενεῖ σύμμαχος βέβαιος, οὐδὲ κριτὴν δίκαιον ἔσεσθαι φάσκοντος, ἀφεὶς ἐκεῖνον ὁ Πορσίνας ἔπραττεν, ὅπως φίλος ἄπεισι Ῥωμαίων, τῆς τε χώρας ὅσην ἀπετέτμηντο Τυρρηνῶν καὶ τοὺς αἰχμαλώτους
C κομισάμενος. ἐπὶ τούτοις ὁμήρων αὐτῷ δοθέντων δέκα μὲν ἀρρένων παίδων δέκα δὲ θηλειῶν (ἐν αἷς ἦν ἡ Ποπλικόλα τοῦ ὑπάτου θυγάτηρ Οὐαλερία), πᾶσαν εὐθὺς ἀνῆκε τὴν πρὸς τὸν πόλεμον παρασκευήν, καίπερ οὔπω τέλος ἐχούσης τῆς ὁμολογίας. αἱ δὲ παρθένοι κατέβησαν μὲν ἐπὶ τὸν ποταμὸν ὡς λουσόμεναι μικρὸν ἀπωτέρω τοῦ στρατοπέδου· μιᾶς δ' αὐτῶν ὄνομα Κλοιλίας προτρεψαμένης, ἀναδησάμεναι περὶ τὰς κεφαλὰς τοὺς χιτωνίσκους παρεβάλοντο πρὸς ῥεῦμα πολὺ καὶ δίνας βαθείας νέουσαι διεπέρασαν
D ἀλλήλων ἐχόμεναι πολυπόνως καὶ μόλις. εἰσὶ δ' οἱ λέγοντες ἵππου τὴν Κλοιλίαν εὐπορήσασαν αὐτὴν μὲν ἐπιβῆναι καὶ διεξελαύνειν ἠρέμα, ταῖς δ' ἄλλαις ὑφηγεῖσθαι παραθαρσύνουσαν νηχομένας καὶ παραβοηθοῦσαν. ᾧ δὲ τεκμηρίῳ χρῶνται, μετ' ὀλίγον

9 μενεῖ G. Papavassiliu: μένει 21 παρεβάλοντο *: παρεβάλλοντο

ἐροῦμεν. ἐπεὶ δὲ σωθείσας εἶδον οἱ Ῥωμαῖοι, τὴν μὲν ἀρετὴν καὶ τὴν τόλμαν ἐθαύμασαν, τὴν δὲ κομιδὴν οὐκ ἠγάπησαν οὐδ' ὑπέμειναν ἐν πίστει χείρονες ἑνὸς ἀνδρὸς γενέσθαι. πάλιν οὖν τὰς κόρας ἐκέλευσαν ἀπιέναι καὶ συνέπεμψαν αὐταῖς ἀγωγούς, E οἷς διαβᾶσι τὸν ποταμὸν ἐνέδραν ὑφεὶς ὁ Ταρκύνιος ὀλίγον ἐδέησεν ἐγκρατὴς γενέσθαι τῶν παρθένων. ἡ μὲν οὖν τοῦ ὑπάτου Ποπλικόλα θυγάτηρ Οὐαλερία μετὰ τριῶν προεξέφυγεν οἰκετῶν εἰς τὸ τοῦ Πορσίνα στρατόπεδον, τὰς δ' ἄλλας ὁ τοῦ Πορσίνα υἱὸς Ἄρρους ταχὺ προσβοηθήσας ἐξείλετο τῶν πολεμίων. ἐπεὶ δ' ἤχθησαν, ἰδὼν αὐτὰς ὁ Πορσίνας ἐκέλευσεν εἰπεῖν, ἥτις ἐστὶν ἡ προτρεψαμένη καὶ κατάρξασα τοῦ βουλεύματος. αἱ μὲν οὖν ἄλλαι φοβηθεῖσαι περὶ τῆς Κλοιλίας ἐσιώπησαν· αὐτῆς δὲ τῆς Κλοιλίας εἰπούσης ἑαυτήν, ἀγασθεὶς ὁ Πορσίνας ἐκέλευσεν ἵππον ἀχθῆναι κεκοσμημένον εὐπρεπῶς, καὶ τῇ Κλοιλίᾳ F δωρησάμενος ἀπέπεμψεν εὐμενῶς καὶ φιλανθρώπως πάσας. τοῦτο ποιοῦνται σημεῖον οἱ πολλοὶ τοῦ τὴν Κλοιλίαν ἵππῳ διεξελάσαι τὸν ποταμόν· οἱ δ' οὔ φασιν, ἀλλὰ τὴν ῥώμην θαυμάσαντα καὶ τὴν τόλμαν αὐτῆς ὡς κρείττονα γυναικὸς ἀξιῶσαι δωρεᾶς ἀνδρὶ πολεμιστῇ πρεπούσης. ἀνέκειτο γοῦν ἔφιππος εἰκὼν γυναικὸς ἐπὶ τῆς ὁδοῦ τῆς ἱερᾶς λεγομένης, ἣν οἱ μὲν τῆς Κλοιλίας οἱ δὲ τῆς Οὐαλερίας λέγουσιν εἶναι.

ΜΙΚΚΑ ΚΑΙ ΜΕΓΙΣΤΩ.

Ἀριστότιμος Ἠλείοις ἐπαναστὰς τύραννος ἴσχυε μὲν δι' Ἀντιγόνου τοῦ βασιλέως, ἐχρῆτο δὲ τῇ δυνάμει

251 πρὸς οὐδὲν ἐπιεικὲς οὐδὲ μέτριον· καὶ γὰρ αὐτὸς ἦν φύσει θηριώδης, καὶ τοῖς φυλάττουσι τὴν ἀρχὴν καὶ τὸ σῶμα βαρβάροις μιγάσι δουλεύων ὑπὸ φόβου, πολλὰ μὲν ὑβριστικὰ πολλὰ δ' ὠμὰ τοὺς πολίτας ὑπ' αὐτῶν περιεώρα πάσχοντας· οἷον ἦν καὶ τὸ Φιλοδήμου πάθος. ἔχοντος γὰρ αὐτοῦ θυγατέρα καλὴν ὄνομα Μίκκαν ἐπεχείρησέ τις τῶν περὶ τὸν τύραννον ξεναγῶν ὄνομα Λεύκιος ὕβρει μᾶλλον ἢ ἔρωτι συγγενέσθαι· καὶ πέμψας ἐκάλει τὴν παρθένον. οἱ μὲν οὖν γονεῖς τὴν ἀνάγκην ὁρῶντες ἐκέλευον βα-
B δίζειν· ἡ δὲ παῖς οὖσα γενναία καὶ μεγαλόφρων ἐδεῖτο τοῦ πατρὸς περιπλεκομένη καὶ καθικετεύουσα μᾶλλον αὐτὴν περιιδεῖν ἀποθανοῦσαν ἢ τὴν παρθενίαν αἰσχρῶς καὶ παρανόμως ἀφαιρεθεῖσαν. καὶ διατριβῆς γενομένης, σπαργῶν καὶ μεθύων ὁ Λεύκιος αὐτὸς ἐξανέστη μεταξὺ πίνων πρὸς ὀργήν· καὶ τὴν Μίκκαν εὑρὼν ἐν τοῖς γόνασι τοῦ πατρὸς τὴν κεφαλὴν ἔχουσαν ἐκέλευσεν αὐτῷ συνακολουθεῖν· οὐ βουλομένης δὲ τὸ χιτώνιον περιρρήξας ἐμαστίγου γυμνήν, αὐτὴν μὲν ἐγκαρτεροῦσαν σιωπῇ ταῖς ἀλγηδόσιν· ὁ δὲ πατὴρ καὶ ἡ μήτηρ, ὡς οὐδὲν ἀντιβο-
C λοῦντες καὶ δακρύοντες ἐπέραινον, ἐτράποντο πρὸς θεῶν καὶ ἀνθρώπων ἀνάκλησιν ὡς δεινὰ καὶ παράνομα πάσχοντες. ὁ δὲ βάρβαρος ἐκμανεὶς παντάπασιν ὑπὸ τοῦ θυμοῦ καὶ μέθης ἀποσφάττει τὴν παρθένον, ὡς ἔτυχεν ἐν τοῖς κόλποις τοῦ πατρὸς ἔχουσα τὸ πρόσωπον. ἀλλ' οὐδὲ τούτοις ὁ τύραννος ἐκάμπτετο, πολλοὺς δ' ἀνῄρει καὶ πλείονας ἐφυγάδευεν· ὀκτακόσιοι γοῦν λέγονται κατα-

φυγεῖν εἰς Αἰτωλοὺς δεόμενοι τὰς γυναῖκας αὐτοῖς καὶ τὰ νήπια τῶν τέκνων κομίσασθαι παρὰ τοῦ τυράννου. ὀλίγῳ δ' ὕστερον αὐτὸς ἐκήρυξε τὰς βουλομένας γυναῖκας ἀπιέναι πρὸς τοὺς ἄνδρας, ὅσον βούλονται τῶν γυναικείων χρημάτων ἐπιφερομένας. ἐπεὶ δὲ πάσας ᾔσθετο μεθ' ἡδονῆς τὸ κήρυγμα δεδε- D *γμένας (ἐγένοντο γὰρ ὑπερεξακόσιαι τὸ πλῆθος), ἐκέλευσεν ἀθρόας ἡμέρᾳ ῥητῇ βαδίζειν, ὡς τὴν ἀσφάλειαν αὐτὸς παρέξων. ἐνστάσης δὲ τῆς ἡμέρας, αἱ μὲν ἐπὶ τὰς πύλας ἠθροίζοντο τὰ χρήματα συσκευασάμεναι, καὶ τῶν τέκνων τὰ μὲν ἐν ταῖς ἀγκάλαις φέρουσαι τὰ δ' ἐπὶ τῶν ἁμαξῶν ἔχουσαι, καὶ περιέμενον ἀλλήλας· ἄφνω δὲ πολλοὶ τῶν τοῦ τυράννου ἐπεφέροντο, μένειν βοῶντες ἔτι πόρρωθεν. ὡς δ' ἐγγὺς ἐγένοντο, τὰς μὲν γυναῖκας ἐκέλευον ἀναχωρεῖν ὀπίσω, τὰ δὲ ζεύγη καὶ τὰς ἁμάξας ὑποστρέψαντες ἔωσαν εἰς αὐτὰς καὶ διὰ μέσων ἀφειδῶς διήλαυνον, οὔτ' ἀκολουθεῖν οὔτε μένειν ἐῶντες οὔτε* E *τοῖς νηπίοις βοηθεῖν ἀπολλυμένοις (τὰ μὲν γὰρ ἐκπίπτοντα τῶν ἁμαξῶν τὰ δ' ὑποπίπτοντα διεφθείροντο), βοῇ καὶ μάστιξιν ὥσπερ πρόβατα τῶν μισθοφόρων ἐπειγόντων ἀνατρεπομένας ὑπ' ἀλλήλων, ἕως εἰς τὸ δεσμωτήριον ἐνέβαλον ἁπάσας, τὰ δὲ χρήματα πρὸς τὸν Ἀριστότιμον ἀπεκομίσθη. χαλεπῶς δὲ τῶν Ἠλείων ἐπὶ τούτοις ἐχόντων, αἱ περὶ τὸν Διόνυσον ἱεραὶ γυναῖκες, ἃς ἑκκαίδεκα καλοῦσιν, ἱκετηρίας καὶ*

1 *εἰς* Herwerdenus: *ἐπ'* 7 malim *ὑπὲρ ἑξακοσίας* 14 *ἐπεφέροντο*] *ἐπεφαίνοντο* Cobetus. *συνεπεφέροντο*? 20 *διεφθείροντο*] *διεφθείρετο* Dinsius

στέμματα τῶν ἀπὸ τοῦ θεοῦ λαβοῦσαι περὶ τὴν
F ἀγορὰν ἀπήντησαν τῷ Ἀριστοτίμῳ, καὶ τῶν δορυφόρων ὑπ᾽ αἰδοῦς διαστάντων, ἔστησαν τὸ πρῶτον σιωπῇ ὁσίως προϊσχόμεναι τὰς ἱκετηρίας. ἐπεὶ δ᾽ ἐγένοντο φανεραὶ δεόμεναι καὶ παραιτούμεναι τὴν ὀργὴν ὑπὲρ τῶν γυναικῶν, παροξυνθεὶς πρὸς τοὺς δορυφόρους καὶ κεκραγὼς ὅτι προσελθεῖν εἴασαν αὐτὰς ἐποίησε τὰς μὲν ὠθοῦντας τὰς δὲ τύπτοντας ἐξελάσαι τῆς ἀγορᾶς, ἑκάστην δὲ δυσὶ ταλάντοις ἐζημίωσε. γενομένων δὲ τούτων, ἐν μὲν τῇ πόλει συνέστησε πρᾶξιν ἐπὶ τὸν τύραννον Ἑλλάνικος, ἀνὴρ διὰ γῆρας ἤδη καὶ δύο τέκνων θάνατον ὡς οὐδὲν
252 ἂν πράξας ὑπὸ τοῦ τυράννου περιορώμενος. ἐκ δ᾽ Αἰτωλίας διαπεράσαντες οἱ φυγάδες καταλαμβάνουσι τῆς χώρας ἐπιτήδειον ἐμπολεμεῖν ἔρυμα τὴν Ἀμυμώνην, καὶ συχνοὺς προσεδέχοντο τῶν πολιτῶν ἐκ τῆς Ἤλιδος ἀποδιδράσκοντας. ταῦτα δὲ δείσας ὁ Ἀριστότιμος εἰσῆλθε πρὸς τὰς γυναῖκας, καὶ νομίζων φόβῳ μᾶλλον ἢ χάριτι διαπράξεσθαι προσέταττε πέμπειν καὶ γράφειν αὐτὰς τοῖς ἀνδράσιν ὅπως
B ἀπίωσιν ἐκ τῆς χώρας· εἰ δὲ μή, κατασφάξειν ἠπείλει πάσας αἰκισάμενος καὶ προανελὼν τοὺς παῖδας. αἱ μὲν οὖν ἄλλαι, πολὺν χρόνον ἐφεστῶτος καὶ κελεύοντος εἰπεῖν εἴ τι πράξουσι τούτων, οὐδὲν ἀπεκρίναντο πρὸς ἐκεῖνον, ἀλλὰ προσέβλεψαν ἀλλήλαις σιωπῇ καὶ διένευσαν, ἀνθομολογούμεναι τὸ μὴ δεδιέναι μηδ᾽ ἐκπεπλῆχθαι τὴν ἀπειλήν. Μεγιστὼ δ᾽

4 ὁσίως] καὶ ὁσίως Schellensius 9 τῆς Benselerus: ἐκ τῆς 12 δυεῖν? 26 διένευσαν W: δι᾽ εὔνοιαν

ἡ Τιμολέοντος γυνὴ καὶ διὰ τὸν ἄνδρα καὶ τὴν ἀρετὴν ἡγεμονικὴν ἔχουσα τάξιν, διαναστῆναι μὲν οὐκ ἠξίωσεν οὐδ᾽ εἴασε τὰς ἄλλας· καθεζομένη δ᾽ ἀπεκρίνατο πρὸς αὐτόν ‛εἰ μὲν ἦς ἀνὴρ φρόνιμος, οὐκ ἂν διελέγου γυναιξὶ περὶ ἀνδρῶν, ἀλλὰ πρὸς ἐκείνους ἂν ὡς κυρίους ἡμῶν ἔπεμπες, ἀμείνονας λόγους εὑρὼν ἢ δι᾽ ὧν ἡμᾶς ἐξηπάτησας· εἰ δ᾽ αὐτὸς C ἐκείνους πεῖσαι ἀπεγνωκὼς δι᾽ ἡμῶν ἐπιχειρεῖς παραλογίζεσθαι, μήθ᾽ ἡμᾶς ἔλπιζε πάλιν ἐξαπατήσειν μήτ᾽ ἐκεῖνοι κακῶς οὕτω φρονήσειαν, ὥστε φειδόμενοι παιδαρίων καὶ γυναικῶν ἐγκαταλιπεῖν τὴν τῆς πατρίδος ἐλευθερίαν· οὐ γὰρ τοσοῦτο κακὸν αὐτοῖς ἡμᾶς ἀπολέσαι μηδὲ νῦν ἔχοντας, ὅσον ἀγαθὸν ἐξελέσθαι τῆς σῆς ὠμότητος καὶ ὕβρεως τοὺς πολίτας.᾽ ταῦτα τῆς Μεγιστοῦς λεγούσης, οὐκ ἀνασχόμενος ὁ Ἀριστότιμος ἐκέλευσε τὸ παιδίον αὐτῆς ὡς ἀποκτενῶν ἐν ὄψει κομισθῆναι. ζητούντων δὲ τῶν ὑπηρετῶν ἀναμεμιγμένον ἐν τοῖς ἄλλοις παίζουσι καὶ διαπαλαίουσιν, ἡ μήτηρ ὀνομαστὶ προσκαλεσαμένη D ‛δεῦρο᾽ ἔφη ‛τέκνον, πρὶν αἰσθέσθαι καὶ φρονεῖν ἀπαλλάγηθι τῆς πικρᾶς τυραννίδος· ὡς ἐμοὶ βαρύτερόν ἐστι δουλεύοντά σε παρ᾽ ἀξίαν ἐφορᾶν ἢ ἀποθνήσκοντα.᾽ τοῦ δ᾽ Ἀριστοτίμου σπασαμένου τὴν μάχαιραν ἐπ᾽ αὐτὴν ἐκείνην καὶ μετ᾽ ὀργῆς ἐπιφερομένου, τῶν συνήθων τις αὐτῷ Κύλων ὄνομα πιστὸς δοκῶν εἶναι, μισῶν δὲ καὶ μετέχων τῆς συνωμοσίας τοῖς περὶ τὸν Ἑλλάνικον, ἀντέστη καὶ ἀπέστρεψε δεόμενος καὶ λέγων ἀγεννὲς εἶναι καὶ γυναι-

8 πεῖσαι] scrib. vid. πείσειν

E κῶδες οὐκ ἀνδρὸς ἡγεμονικοῦ καὶ πράγμασι χρῆσθαι μεμαθηκότος τὸ ἔργον· ὥστε μόλις ἔννουν γενόμενον τὸν Ἀριστότιμον ἀπελθεῖν. γίγνεται δὲ σημεῖον αὐτῷ μέγα· μεσημβρία μὲν γὰρ ἦν καὶ μετὰ τῆς γυναικὸς ἀνεπαύετο· παρασκευαζομένων δὲ τῶν περὶ τὸ δεῖπνον, ἀετὸς μετέωρος ὤφθη δινούμενος ὑπὲρ τῆς οἰκίας, εἶθ᾿ ὥσπερ ἐκ προνοίας καὶ στοχασμοῦ λίθον ἀφῆκεν εὐμεγέθη κατ᾿ ἐκεῖνο τῆς στέγης τὸ μέρος, οὗ τὸ δωμάτιον ἦν, ἐν ᾧ κατακείμενος ἐτύγχανεν ὁ Ἀριστότιμος. ἅμα δ᾿ ἄνωθεν ψόφου μεγάλου καὶ κραυγῆς ἔξωθεν ὑπὸ τῶν ἰδόντων τὸν ὄρνιν γενο-
F μένης, ἐκπλαγεὶς καὶ πυθόμενος τὸ γεγονὸς μετεπέμψατο μάντιν, ᾧ χρώμενος διετέλει κατ᾿ ἀγοράν, καὶ διηρώτα περὶ τοῦ σημείου συντεταραγμένος. ὁ δ᾿ ἐκεῖνον μὲν παρεκάλει ὡς τοῦ Διὸς αὐτὸν ἐξεγείροντος καὶ βοηθοῦντος, οἷς δ᾿ ἐπίστευε τῶν πολιτῶν ἔφρασεν ὅσον οὔπω τὴν δίκην αἰωρουμένην ὑπὲρ κεφαλῆς ἐμπεσεῖσθαι τῷ τυράννῳ. διὸ καὶ τοῖς περὶ τὸν Ἑλλάνικον ἔδοξε μὴ μέλλειν, ἀλλ᾿ ἐπιτίθεσθαι τῇ ὑστεραίᾳ. τῆς δὲ νυκτὸς Ἑλλάνικος ἐδόκει κατὰ τοὺς ὕπνους τῶν τεθνηκότων υἱῶν τὸν ἕτερον λέγειν αὐτῷ παραστάντα 'τί πέπονθας, ὦ πάτερ, καθεύδων;
253 αὔριον δέ σε δεῖ τῆς πόλεως στρατηγεῖν.' οὗτός τε δὴ διὰ τὴν ὄψιν εὐθαρσὴς γεγενημένος παρεκάλει τοὺς ἑταίρους, ὅ τ᾿ Ἀριστότιμος πυθόμενος Κρατερὸν αὐτῷ βοηθοῦντα μετὰ πολλῆς δυνάμεως ἐν Ὀλυμπίᾳ καταστρατοπεδεύειν, οὕτως ἐξεθάρσησεν, ὥστ᾿ ἄνευ

22 πέπονθας — καθεύδων;] πεπονθὼς — καθεύδεις; Dinsius 25 ἑταίρους W: ἑτέρους

δορυφόρων εἰς τὴν ἀγορὰν προελθεῖν μετὰ τοῦ Κύλωνος. ὡς οὖν συνεῖδε τὸν καιρὸν Ἑλλάνικος, ὃ μὲν ἦν σημεῖον αὐτῷ πρὸς τοὺς μέλλοντας ἐπιχειρεῖν συγκείμενον οὐκ ἔδωκε, λαμπρᾷ δὲ τῇ φωνῇ καὶ ἅμα τὰς χεῖρας προτείνων ἀμφοτέρας 'τί μέλλετε, B ἄνδρες ἀγαθοί; καλὸν τὸ θέατρον ἐν μέσῳ τῆς πατρίδος ἐναγωνίσασθαι.' πρῶτος μὲν οὖν ὁ Κύλων σπασάμενος τὸ ξίφος παίει τινὰ τῶν ἑπομένων τῷ Ἀριστοτίμῳ· Θρασυβούλου δὲ καὶ Λάμπιδος ἐξ ἐναντίας ἐπιφερομένων, ἔφθη μὲν ὁ Ἀριστότιμος εἰς τὸ τοῦ Διὸς ἱερὸν καταφυγών· ἐκεῖ δ' ἀποκτείναντες αὐτὸν καὶ τὸ σῶμα προβαλόντες εἰς τὴν ἀγορὰν ἐκάλουν τοὺς πολίτας ἐπὶ τὴν ἐλευθερίαν. οὐ μὴν ἔφθησάν γε πολὺ τὰς γυναῖκας· εὐθὺς γὰρ ἐξέδραμον μετὰ χαρᾶς καὶ ὀλολυγμοῦ, καὶ περιστᾶσαι τοὺς ἄνδρας ἀνέδουν καὶ κατέστεφον. εἶτα τοῦ πλήθους ἐπὶ τὴν οἰκίαν τοῦ τυράννου ῥυέντος, ἡ μὲν γυνὴ συγκλείσασα τὸν θάλαμον αὑτὴν ἀνήρτησε. δύο δ' C ἦσαν αὐτῷ θυγατέρες, παρθένοι μὲν ἔτι, κάλλισται δὲ τὴν ὄψιν, ἤδη γάμων ὥραν ἔχουσαι· ταύτας συλλαβόντες εἷλκον ἔξω πάντως μὲν ἀνελεῖν, αἰκίσασθαι δὲ καὶ καθυβρίσαι πρότερον ἐγνωκότες. ἀπαντήσασα δ' ἡ Μεγιστὼ μετὰ τῶν ἄλλων ἐβόα δεινὰ ποιεῖν αὐτούς, εἰ δῆμος ἀξιοῦντες εἶναι ταῦτα τολμῶσι καὶ ἀσελγαίνουσι τοῖς τυράννοις ὅμοια. ἐντρεπομένων δὲ πολλῶν τὸ ἀξίωμα τῆς γυναικὸς παρ-

5 μέλλετε] add. ἔφη vel ἐβόησεν Dinsius. ἀνεβόησεν? 14 πολὺ Cobetus: πολλοὶ 19 αὐτῷ] αὐτῇ Dinsius 24 ταῦτα] ταὐτὰ Cobetus deleto ὅμοια

ρησιαζομένης καὶ δακρυούσης, ἔδοξεν ἀφελεῖν τὴν D ὕβριν, αὐτὰς δ' ἐᾶσαι δι' αὐτῶν ἀποθανεῖν. ὡς δ' οὖν ἀναστρέψαντες ἔνδον ἐκέλευον εὐθὺς ἀποθνήσκειν τὰς παρθένους, ἡ πρεσβυτέρα Μυρὼ λύσασα τὴν ζώνην καὶ βρόχον ἐνάψασα τὴν ἀδελφὴν κατησπάζετο καὶ παρεκάλει προσέχειν καὶ ποιεῖν ἅπερ ἂν αὐτὴν θεάσηται ποιοῦσαν, 'ὅπως ἄν' ἔφη 'μὴ ταπεινῶς μηδ' ἀναξίως ἑαυτῶν καταστρέψωμεν.' τῆς δὲ νεωτέρας δεομένης αὐτῇ παρεῖναι προτέρᾳ ἀποθανεῖν καὶ τῆς ζώνης ἀντιλαμβανομένης, 'οὐδὲν ἄλλο πώποτ'' εἶπεν 'οὐδὲν ἤρνημαί σοι δεομένῃ· καὶ ταύ- E την οὖν λάβε τὴν χάριν, ἐγὼ δ' ὑπομενῶ καὶ τλήσομαι τοῦ θανάτου βαρύτερον, τὸ σέ, φιλτάτη, προτέραν ἰδεῖν ἀποθνήσκουσαν.' ἐκ τούτου τὴν μὲν ἀδελφὴν αὐτὴ διδάξασα τῷ τραχήλῳ περιβαλέσθαι τὸν βρόχον, ὡς ᾔσθετο τεθνηκυῖαν, καθεῖλε καὶ κατεκάλυψεν· αὐτὴν δὲ τὴν Μεγιστὼ παρεκάλεσεν ἐπιμεληθῆναι, καὶ μὴ περιιδεῖν αἰσχρῶς, ἐπειδὰν ἀποθάνῃ, τεθεῖσαν· ὥστε μηδένα πικρὸν μηδὲ μισοτύραννον οὕτω γενέσθαι τῶν παρόντων, ὃς οὐκ ἔκλαυσεν οὐδὲ κατηλέησε τὴν τῶν παρθένων εὐγένειαν. τῶν μὲν οὖν κοινῇ πεπραγμένων γυναιξὶ μυρίων ὄντων ἱκανὰ ταῦτα παραδείγματα· τὰς δὲ F καθ' ἑκάστην ἀρετάς, ὅπως ἂν ἐπίῃ, σποράδην ἀναγράψομεν, οὐδὲν οἰόμενοι τῆς κατὰ χρόνον τάξεως δεῖσθαι τὴν ὑποκειμένην ἱστορίαν.

4 Μυρὼ] Μοιρὼ Cobetus 7 ἄν] οὖν idem 8 καταστρέψωμεν] καταστρέψομεν idem 9 προτέραν? 11 οὐδὲν] οὔτ' Dinsius 13 τοῦ] malim τὸ 17 αὐτῆς?

ΠΙΕΡΙΑ.

Τῶν εἰς Μίλητον ἀφικομένων Ἰώνων στασιάσαντες ἔνιοι πρὸς τοὺς Νείλεω παῖδας, ἀπεχώρησαν εἰς Μυοῦντα κἀκεῖ κατῴκουν, πολλὰ κακὰ πάσχοντες ὑπὸ τῶν Μιλησίων· ἐπολέμουν γὰρ αὐτοῖς διὰ τὴν ἀποστασίαν. οὐ μὴν ἀκήρυκτος ἦν οὐδ' ἀνεπίμικτος ὁ πόλεμος, ἀλλ' ἔν τισιν ἑορταῖς ἐφοίτων εἰς Μίλητον ἐκ τοῦ Μυοῦντος αἱ γυναῖκες. ἦν δὲ Πύθης ἀνὴρ ἐν αὐτοῖς ἐμφανής, γυναῖκα μὲν ἔχων Ἰαπυγίαν, θυγατέρα δὲ Πιερίαν. οὔσης οὖν ἑορτῆς Ἀρτέμιδι καὶ θυσίας παρὰ Μιλησίοις, ἣν Νηληίδα προσ- 254 αγορεύουσιν, ἔπεμψε τὴν γυναῖκα καὶ τὴν θυγατέρα, δεηθείσας ὅπως τῆς ἑορτῆς μετάσχωσι· τῶν δὲ Νείλεω παίδων ὁ δυνατώτατος ὄνομα Φρύγιος τῆς Πιερίας ἐρασθεὶς ἐνενόει, τί ἂν αὐτῇ μάλιστα γένοιτο παρ' αὐτοῦ κεχαρισμένον. εἰπούσης δ' ἐκείνης 'εἰ διαπράξαιό μοι τὸ πολλάκις ἐνταῦθα καὶ μετὰ πολλῶν βαδίζειν', συνεὶς ὁ Φρύγιος δεομένην φιλίας καὶ εἰρήνης τοῖς πολίταις κατέπαυσε τὸν πόλεμον. ἦν B οὖν ἐν ἀμφοτέραις ταῖς πόλεσι δόξα καὶ τιμὴ τῆς Πιερίας, ὥστε καὶ τὰς Μιλησίων εὔχεσθαι γυναῖκας ἄχρι νῦν οὕτως ἐρᾶν τοὺς ἄνδρας αὐτῶν, ὡς Φρύγιος ἠράσθη Πιερίας.

5 *ἀποστασίαν*] *ἀπόστασιν* Cobetus *ἦν*] *γ' ἦν* idem 10 *Νηληίδα*] *Νειλήια* idem 14 *ἐνενόει*] *ἤρετο* idem ex Polyaen. 8, 35. Sed cf. Erotici Script. ed. Hercher. 1 p. 379, 4. 391, 2 17 *συνεὶς* *: *συνεὶς οὖν*

ΠΟΛΥΚΡΙΤΗ.

Ναξίοις καὶ Μιλησίοις συνέστη πόλεμος διὰ τὴν Ὑψικρέοντος τοῦ Μιλησίου γυναῖκα Νέαιραν. αὕτη γὰρ ἠράσθη Προμέδοντος Ναξίου καὶ συνέπλευσεν, ὃς ἦν μὲν ξένος τοῦ Ὑψικρέοντος, ἐρασθείσῃ δὲ τῇ Νεαίρᾳ συνῆλθε, καὶ τὸν ἄνδρα φοβουμένην ἀπαγαγὼν εἰς Νάξον ἱκέτιν τῆς Ἑστίας ἐκάθισεν. τῶν δὲ Ναξίων οὐκ ἐκδιδόντων χάριν τοῦ Προμέ-
C δοντος, ἄλλως δὲ ποιουμένων πρόφασιν τὴν ἱκετείαν, ὁ πόλεμος συνέστη. τοῖς δὲ Μιλησίοις ἄλλοι τε πολλοὶ καὶ προθυμότατα τῶν Ἰώνων Ἐρυθραῖοι συνεμάχουν, καὶ μῆκος ἔσχε καὶ συμφορὰς ἤνεγκε μεγάλας ὁ πόλεμος· εἶτ᾽ ἐπαύσατο δι᾽ ἀρετὴν γυναικός, ὡς συνέστη διὰ μοχθηρίαν. Διόγνητος γὰρ ὁ τῶν Ἐρυθραίων στρατηγὸς ἔχων καὶ πεπιστευμένος ἔρυμα κατὰ τῆς Ναξίων πόλεως εὖ πεφυκὸς καὶ κατεσκευασμένον, ἠλάσατο λείαν τῶν Ναξίων πολλὴν καὶ γυναῖκας ἐλευθέρας καὶ παρθένους ἔλαβεν. ὧν μιᾶς Πολυκρίτης ἐρασθεὶς εἶχεν αὐτὴν οὐχ ὡς αἰχμάλωτον ἀλλ᾽ ἐν τάξει γαμετῆς γυναικός. ἑορτῆς δὲ τοῖς Μιλησίοις καθηκούσης ἐν τῇ στρατιᾷ καὶ πρὸς
D πόσιν ἁπάντων καὶ συνουσίας τραπομένων, ἠρώτησε τὸν Διόγνητον ἡ Πολυκρίτη, μή τι κωλύοι πεμμάτων μερίδας ἀποπέμψαι τοῖς ἀδελφοῖς αὐτῆς. ἐπιτρέψαντος δ᾽ ἐκείνου καὶ κελεύσαντος, ἐνέβαλε μολίβδινον γραμματίδιον εἰς πλακοῦντα, κελεύσασα φράσαι τὸν κομίζοντα τοῖς ἀδελφοῖς, ὅπως αὐτοὶ

14 ἔχων καὶ] del. Cobetus   17 ἐλευθέρας *: ἐλευθέρους

μόνοι καταναλώσωσιν ἃ ἔπεμψε. οἱ δ' ἐντυχόντες τῷ μολίβδῳ καὶ τὰ γράμματα τῆς Πολυκρίτης ἀναγνόντες, κελευούσης νυκτὸς ἐπιθέσθαι τοῖς πολεμίοις, ὡς ὑπὸ μέθης διὰ τὴν ἑορτὴν ἐξημελημένων πάντων, προσήγγειλαν τοῖς στρατηγοῖς καὶ παρώρμησαν ἐξελθεῖν μετ' αὐτῶν. ἁλόντος δὲ τοῦ χωρίου καὶ E πολλῶν διαφθαρέντων, ἐξῃτήσατο τὸν Διόγνητον ἡ Πολυκρίτη παρὰ τῶν πολιτῶν καὶ διέσῳσεν. αὐτὴ δὲ πρὸς ταῖς πύλαις γενομένη τοὺς πολίτας ἀπαντῶντας αὐτῇ, μετὰ χαρᾶς καὶ στεφάνων ὑποδεχομένους καὶ θαυμάζοντας, οὐκ ἤνεγκε τὸ μέγεθος τῆς χαρᾶς, ἀλλ' ἀπέθανεν αὐτοῦ πεσοῦσα παρὰ τὴν πύλην· ὅπου τέθαπται, καὶ καλεῖται βασκάνου τάφος, ὡς βασκάνῳ τινὶ τύχῃ τὴν Πολυκρίτην φθονηθεῖσαν ἀπολαῦσαι τῶν τιμῶν. οὕτω μὲν οἱ Ναξίων συγγραφεῖς ἱστοροῦσιν· ὁ δ' Ἀριστοτέλης φησὶν οὐδ' F ἁλούσης τῆς Πολυκρίτης, ἄλλως δέ πως ἰδόντα τὸν Διόγνητον ἐρασθῆναι καὶ πάντα διδόναι καὶ ποιεῖν ἕτοιμον εἶναι· τὴν δ' ὁμολογεῖν ἀφίξεσθαι πρὸς αὐτόν, ἑνὸς μόνου τυχοῦσαν, περὶ οὗ τὸν Διόγνητον, ὥς φησιν ὁ φιλόσοφος, ὅρκον ᾔτησεν· ἐπεὶ δ' ὤμοσεν, ἠξίου τὸ Δήλιον αὐτῇ δοθῆναι (Δήλιον γὰρ ἐκαλεῖτο τὸ χωρίον), ἄλλως δ' οὐκ ἂν ἔφη συνελθεῖν. ὁ δὲ καὶ διὰ τὴν ἐπιθυμίαν καὶ διὰ τὸν ὅρκον ἐξέστη καὶ παρέδωκε τῇ Πολυκρίτῃ τὸν τόπον, ἐκείνη δὲ τοῖς πολίταις. ἐκ δὲ τούτου πάλιν εἰς ἴσον καταστάντες, ἐφ' οἷς ἐβούλοντο πρὸς τοὺς Μιλησίους διελύθησαν.

9 γενομένη] fortasse supplendum καὶ θεασαμένη 16 Ἀριστοτέλης] Fragm. 518 27 ἐβούλοντο *: ἠβούλοντο 15*

255

ΛΑΜΨΑΚΗ.

Ἐκ Φωκαίας τοῦ Κοδριδῶν γένους ἦσαν ἀδελφοὶ δίδυμοι Φόβος καὶ Βλέψος· ὧν ὁ Φόβος ἀπὸ τῶν Λευκάδων πετρῶν πρῶτος ἀφῆκεν ἑαυτὸν εἰς θάλασσαν, ὡς Χάρων ὁ Λαμψακηνὸς ἱστόρηκεν. ἔχων δὲ δύναμιν καὶ βασιλικὸν ἀξίωμα παρέπλευσεν εἰς Πάριον ἰδίων ἕνεκα πραγμάτων· καὶ γενόμενος φίλος καὶ ξένος Μάνδρωνι, βασιλεύοντι Βεβρύκων τῶν Πιτυοεσσηνῶν προσαγορευομένων, ἐβοήθησε καὶ συνεπολέμησεν αὐτοῖς ὑπὸ τῶν προσοίκων ἐνοχλουμέ- B νοις. ὁ δὲ Μάνδρων ἄλλην τε πολλὴν ἐνεδείξατο τῷ Φόβῳ φιλοφροσύνην ἀποπλέοντι καὶ μέρος τῆς τε χώρας καὶ τῆς πόλεως ὑπισχνεῖτο δώσειν, εἰ βούλοιτο Φωκαεῖς ἔχων ἐποίκους εἰς τὴν Πιτυόεσσαν ἀφικέσθαι. πείσας οὖν τοὺς πολίτας ὁ Φόβος ἐξέπεμψε τὸν ἀδελφὸν ἄγοντα τοὺς ἐποίκους. καὶ τὰ μὲν παρὰ τοῦ Μάνδρωνος ὑπῆρχεν αὐτοῖς, ὥσπερ προσεδόκησαν· ὠφελείας δὲ μεγάλας καὶ λάφυρα καὶ λείας ἀπὸ τῶν προσοίκων βαρβάρων λαμβάνοντες, ἐπίφθονοι τὸ πρῶτον εἶτα καὶ φοβεροὶ τοῖς Βέβρυξιν ἦσαν. ἐπιθυμοῦντες οὖν αὐτῶν ἀπαλλαγῆναι, τὸν μὲν Μάνδρωνα, χρηστὸν ὄντα καὶ δίκαιον ἄνδρα C περὶ τοὺς Ἕλληνας, οὐκ ἔπεισαν, ἀποδημήσαντος δ' ἐκείνου, παρεσκευάζοντο τοὺς Φωκαεῖς δόλῳ διαφθεῖραι. τοῦ δὲ Μάνδρωνος ἡ θυγάτηρ Λαμψάκη παρθένος οὖσα τὴν ἐπιβουλὴν προέγνω, καὶ πρῶτον μὲν ἐπεχείρει τοὺς φίλους καὶ οἰκείους ἀποτρέπειν

2 Φόβος] Φόξος Pol. 8, 37   4 Χάρων] Mueller. 1 p. 33

καὶ διδάσκειν, ὡς ἔργον δεινὸν καὶ ἀσεβὲς ἐγχειροῦσι πράττειν, εὐεργέτας καὶ συμμάχους ἄνδρας νῦν δὲ καὶ πολίτας ἀποκτιννύντες. ὡς δ' οὐκ ἔπειθε, τοῖς Ἕλλησιν ἔφρασε κρύφα τὰ πραττόμενα καὶ παρεκελεύσατο φυλάττεσθαι. οἱ δὲ θυσίαν τινὰ παρασκευασάμενοι καὶ θοίνην ἐξεκαλέσαντο τοὺς Πιτυοεσσηνοὺς εἰς τὸ προάστειον· αὐτοὺς δὲ διε- D λόντες δίχα, τοῖς μὲν τὰ τείχη κατελάβοντο τοῖς δὲ τοὺς ἀνθρώπους ἀνεῖλον. οὕτω δὴ τὴν πόλιν κατασχόντες τόν τε Μάνδρωνα μετεπέμποντο, συμβασιλεύειν τοῖς παρ' αὐτῶν κελεύοντες· καὶ τὴν Λαμψάκην ἐξ ἀρρωστίας ἀποθανοῦσαν ἔθαψαν ἐν τῇ πόλει μεγαλοπρεπῶς, καὶ τὴν πόλιν ἀπ' αὐτῆς Λάμψακον προσηγόρευσαν. ἐπεὶ δ' ὁ Μάνδρων προδοσίας ὑποψίαν φεύγων τὸ μὲν οἰκεῖν μετ' αὐτῶν παρῃτήσατο, παῖδας δὲ τῶν τεθνηκότων καὶ γυναῖκας ἠξίωσε κομίσασθαι· καὶ ταῦτα προθύμως οὐδὲν ἀδικήσαντες E ἐξέπεμψαν, καὶ τῇ Λαμψάκῃ πρότερον ἡρωικὰς τιμὰς ἀποδιδόντες ὕστερον ὡς θεῷ θύειν ἐψηφίσαντο καὶ διατελοῦσιν οὕτω θύοντες.

ΑΡΕΤΑΦΙΛΑ.

Ἀρεταφίλα δ' ἡ Κυρηναία παλαιὰ μὲν οὐ γέγονεν ἀλλ' ἐν τοῖς Μιθριδατικοῖς καιροῖς, ἀρετὴν δὲ καὶ πρᾶξιν ἐνάμιλλον τῇ βουλῇ τῶν ἡρωίδων παρέσχεν. ἦν δὲ θυγάτηρ μὲν Αἰγλάτορος Φαιδίμου δὲ γυνή, γνωρίμων ἀνδρῶν· καλὴ δὲ τὴν ὄψιν οὖσα,

6 ἐξεκαλέσαντο] ἐξεκάλεσαν Cobetus 8 κατελάβοντο] κατέλαβον ?

καὶ τὸ φρονεῖν ἐδόκει περιττή τις εἶναι καὶ πολιτικῆς δεινότητος οὐκ ἄμοιρος· ἐπιφανῆ δ' αὐτὴν αἱ κοιναὶ τύχαι τῆς πατρίδος ἐποίησαν. Νικοκράτης
F γὰρ ἐπαναστὰς Κυρηναίοις τύραννος ἄλλους τε πολλοὺς ἐφόνευε τῶν πολιτῶν καὶ τὸν ἱερέα τοῦ Ἀπόλλωνος αὐτόχειρ ἀνελὼν Μελάνιππον, εἶχε τὴν ἱερωσύνην· ἀνεῖλε δὲ καὶ Φαίδιμον τὸν τῆς Ἀρεταφίλας ἄνδρα καὶ τὴν Ἀρεταφίλαν ἔγημεν ἄκουσαν. πρὸς δὲ μυρίοις ἄλλοις παρανομήμασι φύλακας ἐπὶ τῶν πυλῶν κατέστησεν, οἳ τοὺς ἐκφερομένους νεκροὺς ἐλυμαίνοντο νύττοντες ξιφιδίοις καὶ καυτήρια προσβάλλοντες ὑπὲρ τοῦ μηδένα τῶν πολιτῶν ὡς νεκρὸν λαθεῖν ἐκκομιζόμενον. δύσφορα μὲν οὖν καὶ τῇ Ἀρεταφίλᾳ τὰ οἰκεῖα κακά, καίπερ ἐνδιδόντος αὐτῇ
256 δι' ἔρωτα τοῦ τυράννου πλεῖστον ἀπολαύειν τῆς δυνάμεως (ἥττητο γὰρ ἐκείνης καὶ μόνῃ χειροήθη παρεῖχεν αὑτὸν ἄτεγκτος ὢν τἆλλα καὶ θηριώδης)· ἠνία δὲ μᾶλλον αὐτὴν ἡ πατρὶς οἰκτρὰ πάσχουσα παρ' ἀξίαν. ἄλλος γὰρ ἐπ' ἄλλῳ τῶν πολιτῶν ἐσφάττετο, τιμωρία δ' ἀπ' οὐδενὸς ἠλπίζετο· καὶ γὰρ οἱ φυγάδες, ἀσθενεῖς παντάπασιν ὄντες καὶ περίφοβοι, διεσπάρησαν. αὑτὴν οὖν ἡ Ἀρεταφίλα ὑποθεῖσα μόνην τοῖς κοινοῖς ἐλπίδα, καὶ τὰ Θήβης ζηλώσασα τῆς Φεραίας καλὰ καὶ περιβόητα τολμήματα, συμμάχων δὲ πιστῶν καὶ οἰκείων, οἵους ἐκείνῃ τὰ πράγματα παρέσχεν, ἔρημος οὖσα, φαρμάκοις ἐπεχείρησε
B διεργάσασθαι τὸν ἄνδρα. παρασκευαζομένη δὲ καὶ πορίζουσα καὶ διαπειρωμένη πολλῶν δυνάμεων οὐκ ἔλαθεν ἀλλ' ἐμηνύθη· καὶ γενομένων ἐλέγχων,

Καλβία μὲν ἡ τοῦ Νικοκράτους μήτηρ, φύσει φονικὴ γυνὴ καὶ ἀπαραίτητος, εὐθὺς ᾤετο δεῖν ἀναιρεῖν αἰκισαμένην τὴν Ἀρεταφίλαν· τοῦ δὲ Νικοκράτους μέλλησιν ἐνεποίει τῇ ὀργῇ καὶ ἀσθένειαν ὁ ἔρως, καὶ τὸ τὴν Ἀρεταφίλαν ἐρρωμένως ὁμόσε χωρεῖν ταῖς κατηγορίαις ἀμύνουσαν ἑαυτῇ πρόφασίν τινα τῷ πάθει παρεῖχεν. ἐπεὶ δὲ κατελαμβάνετο τοῖς ἐλέγχοις καὶ τὴν παρασκευὴν τῆς φαρμακείας ἑώρα μὴ δεχομένην ἄρνησιν, ὡμολόγει, παρεσκευάσθαι δ' C οὐκ ὀλέθριον φαρμακείαν· 'ἀλλ' ὑπὲρ μεγάλων' εἶπεν 'ὦ ἄνερ ἀγωνίζομαι, τῆς σῆς εὐνοίας πρὸς ἐμὲ καὶ δόξης καὶ δυνάμεως, ἣν διὰ σὲ καρποῦμαι πολλαῖς ἐπίφθονος οὖσα κακαῖς γυναιξίν· ὧν φάρμακα δεδοικυῖα καὶ μηχανὰς ἐπείσθην ἀντιμηχανήσασθαι, μωρὰ μὲν ἴσως καὶ γυναικεῖα, θανάτου δ' οὐκ ἄξια· πλὴν εἰ κριτῇ σοι δόξειε φίλτρων ἕνεκα καὶ γοητείας κτεῖναι γυναῖκα, πλεῖον ἢ σὺ βούλει φιλεῖσθαι δεομένην.' τοιαῦτα τὴν Ἀρεταφίλαν ἀπολογουμένην ἔδοξε D τῷ Νικοκράτει βασανίσαι· καὶ τῆς Καλβίας ἐφεστώσης ἀτέγκτου καὶ ἀπαραιτήτου, ταῖς βασάνοις ἀνέκρινε· καὶ διεφύλαττεν αὑτὴν ἀήττητον ἐν ταῖς ἀνάγκαις ἄχρι καὶ τὴν Καλβίαν ἀποκαμεῖν ἄκουσαν. ὁ δὲ Νικοκράτης ἀφῆκε πεισθεὶς καὶ μετενόει βασανίσας· καὶ χρόνον οὐ πολὺν διαλιπὼν αὖθις ἧκεν ὑπὸ τοῦ πάθους εἰς αὐτὴν φερόμενος, καὶ συνῆν αὖθις ἀναλαμβάνων τιμαῖς καὶ φιλοφροσύναις τὴν εὔνοιαν. ἡ δ' οὐκ ἔμελλε χάριτος ἡττᾶσθαι κρατήσασα βασάνων καὶ πόνων, ἀλλὰ τῷ φιλοκάλῳ φιλο-

3 αἰκισαμένην] αἰκισάμενον M

E νεικίας προσγενομένης ἑτέρας ἥπτετο μηχανῆς. ἦν γὰρ αὐτῇ θυγάτηρ ἀνδρὸς ὥραν ἔχουσα καὶ τὴν ὄψιν ἱκανή· ταύτην ὑφῆκε τἀδελφῷ τοῦ τυράννου δέλεαρ, ὄντι μειρακίῳ πρὸς ἡδονὰς εὐαλώτῳ. πολὺς δὲ λόγος ἐστὶ χρησαμένην γοητείᾳ καὶ φαρμάκοις ἐπὶ τῇ κόρῃ τὴν Ἀρεταφίλαν, χειρώσασθαι καὶ διαφθεῖραι τοῦ νεανίσκου τὸν λογισμόν· ἐκαλεῖτο δὲ Λέανδρος. ἐπεὶ δ' ἡλώκει καὶ λιπαρήσας τὸν ἀδελφὸν ἔτυχε τοῦ γάμου, τὰ μὲν ἡ κόρη παρῆγεν αὐτὸν ὑπὸ τῆς μητρὸς διδασκομένη καὶ ἀνέπειθεν ἐλευθεροῦν τὴν πόλιν, ὡς μηδ' αὐτὸν ἐλεύθερον ἐν
F τυραννίδι ζῶντα μηδὲ τοῦ λαβεῖν γάμον ἢ φυλάξαι κύριον ὄντα· τὰ δ' οἱ φίλοι τῇ Ἀρεταφίλᾳ χαριζόμενοι διαβολάς τινας ἀεὶ καὶ ὑπονοίας κατεσκεύαζον αὐτῷ πρὸς τὸν ἀδελφόν. ὡς δ' ᾔσθετο καὶ τὴν Ἀρεταφίλαν ταὐτὰ βουλευομένην καὶ σπουδάζουσαν, ἐπεχείρει τὸ ἔργον, καὶ Δάφνιν οἰκέτην παρορμήσας ἀπέκτεινε δι' ἐκείνου τὸν Νικοκράτην. τὰ λοιπὰ δ' οὐκέτι τῇ Ἀρεταφίλᾳ προσεῖχεν, ἀλλ' εὐθὺς ἔδειξε τοῖς ἔργοις ἀδελφοκτόνος οὐ τυραννοκτόνος γεγονώς·
257 ἦρχε γὰρ ἐμπλήκτως καὶ ἀνοήτως. τιμὴ δέ τις ὅμως ἦν τῆς Ἀρεταφίλας παρ' αὐτῷ καὶ δύναμις, οὐκ ἀπεχθανομένης οὐδὲ πολεμούσης ἄντικρυς ἀλλ' ἀδήλως διαταττούσης τὰ πράγματα. πρῶτον μὲν γὰρ αὐτῷ Λιβυκὸν ὑπεκίνησε πόλεμον, Ἀνάβουν τινὰ πείσασα δυνάστην τὴν χώραν ἐπιδραμεῖν καὶ τῇ πόλει προσαγαγεῖν, ἔπειτα διέβαλε τοὺς φίλους καὶ

16 ταὐτὰ Dinsius: τὰ αὐτὰ 17 τὸ ἔργον] τῷ ἔργῳ Turnebus 24 διαταττούσης] διαταραττούσης?

τοὺς στρατηγοὺς πρὸς τὸν Λέανδρον, ὡς πολεμεῖν οὐκ ὄντας προθύμους, εἰρήνης δὲ μᾶλλον δεομένους καὶ ἡσυχίας· ἣν καὶ τὰ πράγματα ποθεῖν αὐτοῦ καὶ τὴν τυραννίδα, βουλομένου βεβαίως κρατεῖν τῶν πολιτῶν· αὐτὴ δὲ πράξειν ἔφη τὰς διαλύσεις καὶ B τὸν Ἀνάβουν εἰς λόγους αὐτῷ συνάξειν, ἐὰν κελεύῃ, πρὶν ἀνήκεστόν τι τὸν πόλεμον ἐξεργάσασθαι. κελεύσαντος δὲ τοῦ Λεάνδρου, πρότερον αὐτὴ τῷ Λίβυι διελέχθη, συλλαβεῖν δεομένη τὸν τύραννον ἐπὶ δωρεαῖς μεγάλαις καὶ χρήμασιν, ὅταν εἰς λόγους αὐτῷ παραγένηται. πεισθέντος δὲ τοῦ Λίβυος, ὤκνει μὲν ὁ Λέανδρος, αἰδεσθεὶς δὲ τὴν Ἀρεταφίλαν αὐτὴν παρέσεσθαι φάσκουσαν, ἐξῆλθεν ἄοπλος καὶ ἀφύλακτος. ὡς δ᾽ ἐγγὺς ἦλθε καὶ τὸν Ἀνάβουν εἶδεν, αὖθις ἐδυσχέραινε καὶ περιμένειν ἐβούλετο τοὺς δορυφόρους· ἡ δ᾽ Ἀρεταφίλα παροῦσα τὰ μὲν ἐθάρ- C ρυνεν αὐτὸν τὰ δ᾽ ἐκάκιζε· τέλος δὲ γενομένης διατριβῆς, ἐφελκυσαμένη τῆς χειρὸς ἰταμῶς πάνυ καὶ τεθαρρηκότως προσήγαγε τῷ βαρβάρῳ καὶ παρέδωκεν. εὐθὺς οὖν ἀνήρπαστο καὶ συνείληπτο καὶ δεθεὶς ὑπὸ τῶν Λιβύων ἐτηρεῖτο, ἄχρι οὗ τὰ χρήματα τῇ Ἀρεταφίλᾳ κομίζοντες οἱ φίλοι παρεγένοντο μετὰ τῶν ἄλλων πολιτῶν. πυθόμενοι γὰρ οἱ πλεῖστοι ἐξέδραμον ἐπὶ τὴν παράκλησιν· ὡς δ᾽ εἶδον τὴν Ἀρεταφίλαν, ὀλίγον ἐδέησαν ἐκλαθέσθαι τῆς πρὸς τὸν τύραννον ὀργῆς, καὶ πάρεργον τὴν ἐκείνου τιμωρίαν ἐνόμιζον· ἔργον δὲ πρῶτον ἦν αὐτοῖς καὶ D

13 ἄοπλος *: ἄνοπλος   24 ἐξέδραμον] συνεξέδραμον?
25 ὀλίγον Huttenus: ὀλίγου

ἀπόλαυσμα τῆς ἐλευθερίας ἐκείνην ἀσπάσασθαι μετὰ χαρᾶς καὶ δακρύων, ὥσπερ ἀγάλματι θεοῦ προσπίπτοντας. ἄλλων δ' ἐπ' ἄλλοις ἐπιρρεόντων, μόλις ἑσπέρας τὸν Λέανδρον παραλαβόντες ἐπανῆλθον εἰς τὴν πόλιν. ἐπεὶ δὲ τῶν τιμῶν τῆς Ἀρεταφίλας καὶ τῶν ἐπαίνων ἐνεπλήσθησαν, οὕτω τραπόμενοι πρὸς τοὺς τυράννους τὴν μὲν Καλβίαν ζῶσαν κατέκαυσαν, τὸν δὲ Λέανδρον ἐνράψαντες εἰς βύρσαν κατεπόντισαν. ἠξίουν δὲ τὴν Ἀρεταφίλαν συνάρχειν καὶ συνδιοικεῖν τοῖς ἀρίστοις ἀνδράσι τὴν πολιτείαν. ἡ
E δ' ὡς ποικίλον τι δρᾶμα καὶ πολυμερὲς ἀγωνισαμένη μέχρι στεφάνου διαδόσεως, ὡς ἐπεῖδε τὴν πόλιν ἐλευθέραν, εὐθὺς εἰς τὴν γυναικωνῖτιν ἐνεδύετο, καὶ τοῦ πολυπραγμονεῖν ὁτιοῦν προβαλλομένη, τὸν λοιπὸν χρόνον ἐν ἱστοῖς ἡσυχίαν ἄγουσα μετὰ τῶν φίλων καὶ οἰκείων διετέλεσεν.

ΚΑΜΜΑ.

Ἦσαν ἐν Γαλατίᾳ δυνατώτατοι τῶν τετραρχῶν καί τι καὶ κατὰ γένος προσήκοντες ἀλλήλοις Σινᾶτός τε καὶ Σινόριξ. ὧν ὁ Σινᾶτος γυναῖκα παρθένον ἔσχε Κάμμαν ὄνομα, περίβλεπτον μὲν ἰδέᾳ σώματος
F καὶ ὥρᾳ, θαυμαζομένην δὲ μᾶλλον δι' ἀρετήν· οὐ γὰρ μόνον σώφρων καὶ φίλανδρος, ἀλλὰ καὶ συνετὴ καὶ μεγαλόφρων καὶ ποθεινὴ τοῖς ὑπηκόοις ἦν διαφερόντως ὑπ' εὐμενείας καὶ χρηστότητος· ἐπιφανεστέραν δ' αὐτὴν ἐποίει καὶ τὸ τῆς Ἀρτέμιδος ἱέρειαν

14 προβαλλομένη W: παραβαλλομένη 19 Σινόριξ hic et infra p. 781b et Pol. 8, 39: συνόριξ

εἶναι, ἣν μάλιστα Γαλάται σέβουσι, περί τε πομπὰς ἀεὶ καὶ θυσίας κεκοσμημένην ὁρᾶσθαι μεγαλοπρεπῶς. ἐρασθεὶς οὖν αὐτῆς ὁ Σινόριξ, καὶ μήτε πεῖσαι μήτε βιάσασθαι ζῶντος τοῦ ἀνδρὸς δυνατὸς ὤν, ἔργον εἰργάσατο δεινόν· ἀπέκτεινε γὰρ δόλῳ τὸν Σινᾶτον, καὶ χρόνον οὐ πολὺν διαλιπὼν ἐμνᾶτο τὴν Κάμμαν ἐν τῷ ἱερῷ ποιουμένην διατριβὰς καὶ φέρουσαν 258 οὐκ οἰκτρῶς καὶ ταπεινῶς ἀλλὰ θυμῷ νοῦν ἔχοντι καὶ καιρὸν περιμένοντι τὴν τοῦ Σινόριγος παρανομίαν. ὁ δὲ λιπαρὴς ἦν περὶ τὰς δεήσεις, καὶ λόγων ἐδόκει μὴ παντάπασιν ἀπορεῖν εὐπρέπειαν ἐχόντων, ὡς τὰ μὲν ἄλλα Σινάτου βελτίονα παρεσχηκὼς ἑαυτὸν ἀνελὼν δ' ἐκεῖνον ἔρωτι τῆς Κάμμας μὴ δι' ἑτέραν τινὰ πονηρίαν. ἦσαν οὖν τὸ πρῶτον ἀρνήσεις οὐκ ἄγαν ἀπηνεῖς τῆς γυναικός, εἶτα κατὰ μικρὸν ἐδόκει μαλάσσεσθαι· καὶ γὰρ οἰκεῖοι καὶ φίλοι προσέκειντο θεραπείᾳ καὶ χάριτι τοῦ Σινόριγος B μέγιστον δυναμένου, πείθοντες αὐτὴν καὶ καταβιαζόμενοι· τέλος δὲ συνεχώρει καὶ μετεπέμπετο πρὸς ἑαυτὴν ἐκεῖνον, ὡς παρὰ τῇ θεῷ τῆς συναινέσεως καὶ καταπιστώσεως γενησομένης. ἐλθόντα δὲ δεξαμένη φιλοφρόνως καὶ προσαγαγοῦσα τῷ βωμῷ κατέσπεισεν ἐκ φιάλης, καὶ τὸ μὲν ἐξέπιεν αὐτὴ τὸ δ' ἐκεῖνον ἐκέλευσεν· ἦν δὲ πεφαρμαγμένον μελίκρατον. ὡς δ' εἶδε πεπωκότα, λαμπρὸν ἀνωλόλυξε καὶ τὴν θεὸν προσκυνήσασα 'μαρτύρομαί σε' εἶπεν 'ὦ πολυτίμητε δαῖμον, ὅτι ταύτης ἕνεκα τῆς ἡμέρας ἐπέζησα τῷ Σινάτου φόνῳ, χρόνον τοσοῦτον οὐδὲν

7 διατριβὰς] τὰς διατριβάς? 20 τῇ X: τῷ

C ἀπολαύουσα τοῦ βίου χρηστὸν ἀλλ' ἢ τὴν ἐλπίδα τῆς δίκης, ἣν ἔχουσα καταβαίνω πρὸς τὸν ἐμὸν ἄνδρα. σοὶ δ', ὦ πάντων ἀνοσιώτατε ἀνθρώπων, τάφον ἀντὶ θαλάμου καὶ γάμου παρασκευαζέτωσαν οἱ προσήκοντες.' ταῦτα δ' ἀκούσας ὁ Γαλάτης καὶ τοῦ φαρμάκου δρῶντος ἤδη καὶ διακινοῦντος τὸ σῶμα συναισθόμενος ἐπέβη μὲν ὀχήματος ὡς σάλῳ καὶ τιναγμῷ χρησόμενος, ἐξέστη δὲ παραχρῆμα καὶ μεταβὰς εἰς φορεῖον ἑσπέρας ἀπέθανεν. ἡ δὲ Κάμμα διενεγκοῦσα τὴν νύκτα καὶ πυθομένη τέλος ἔχειν ἐκεῖνον, εὐθύμως καὶ ἱλαρῶς κατέστρεψεν.

ΣΤΡΑΤΟΝΙΚΗ.

Παρέσχε δ' ἡ Γαλατία καὶ Στρατονίκην τὴν D Δηιοτάρου καὶ Χιομάραν τὴν Ὀρτιάγοντος, ἀξίας μνήμης γυναῖκας· ἡ μὲν οὖν Στρατονίκη δεόμενον γνησίων παίδων ἐπὶ διαδοχῇ τῆς βασιλείας ἐπισταμένη τὸν ἄνδρα, μὴ τίκτουσα δ' αὐτὴ συνέπεισεν ἐξ ἑτέρας γυναικὸς παιδοποιησάμενον αὐτῇ τὸ παιδίον περιιδεῖν ὑποβαλλόμενον. τοῦ δὲ Δηιοτάρου τήν τε γνώμην θαυμάσαντος καὶ πᾶν ἐπ' αὐτῇ ποιησαμένου, παρθένον εὐπρεπῆ παρασκευάσασα τῶν αἰχμαλώτων ὄνομα Ἠλέκτραν συνεῖρξε τῷ Δηιοτάρῳ, καὶ τοὺς γενομένους παῖδας ὥσπερ γνησίους αὐτῆς ἔθρεψε φιλοστόργως καὶ μεγαλοπρεπῶς.

1 ἀπολαύουσα W: ἀπολαβοῦσα. cf. p. 259 c. 272 f ἀλλ' ἢ *: ἀλλὰ

ΧΙΟΜΑΡΑ.

Χιομάραν δὲ συνέβη τὴν Ὀρτιάγοντος αἰχμάλωτον γενέσθαι μετὰ τῶν ἄλλων γυναικῶν, ὅτε Ῥωμαῖοι [E] *καὶ Γναῖος ἐνίκησαν μάχῃ τοὺς ἐν Ἀσίᾳ Γαλάτας. ὁ δὲ λαβὼν αὐτὴν ταξίαρχος ἐχρήσατο τῇ τύχῃ στρατιωτικῶς καὶ κατῄσχυνεν· ἦν δ' ἄρα καὶ πρὸς ἡδονὴν καὶ ἀργύριον ἀμαθὴς καὶ ἀκρατὴς ἄνθρωπος· ἡττήθη δ' ὅμως ὑπὸ τῆς φιλαργυρίας, καὶ χρυσίου συχνοῦ διομολογηθέντος ὑπὲρ τῆς γυναικός, ἦγεν αὐτὴν ἀπολυτρώσων, ποταμοῦ τινος ἐν μέσῳ διείργοντος.* [F] *ὡς δὲ διαβάντες οἱ Γαλάται τὸ χρυσίον ἔδωκαν αὐτῷ καὶ παρελάμβανον τὴν Χιομάραν, ἡ μὲν ἀπὸ νεύματος προσέταξεν ἑνὶ παῖσαι τὸν Ῥωμαῖον ἀσπαζόμενον αὐτὴν καὶ φιλοφρονούμενον· ἐκείνου δὲ πεισθέντος καὶ τὴν κεφαλὴν ἀποκόψαντος, ἀραμένη καὶ περιστείλασα τοῖς κόλποις ἀπήλαυνεν. ὡς δ' ἦλθε πρὸς τὸν ἄνδρα καὶ τὴν κεφαλὴν αὐτῷ προύβαλεν, ἐκείνου θαυμάσαντος καὶ εἰπόντος 'ὦ γύναι, καλὸν ἡ πίστις', 'ναί' εἶπεν 'ἀλλὰ κάλλιον ἕνα μόνον ζῆν ἐμοὶ συγγεγενημένον.' ταύτῃ μὲν ὁ Πολύβιός φησι διὰ λόγων ἐν Σάρδεσι γενόμενος θαυμάσαι τό τε φρόνημα καὶ τὴν σύνεσιν.*

ΓΥΝΑΙΟΝ ΠΕΡΓΑΜΗΝΟΝ. 259

Ἐπεὶ δὲ Μιθριδάτης ἑξήκοντα Γαλατῶν τοὺς ἀρίστους μεταπεμψάμενος εἰς Πέργαμον ὡς φίλους, ὑβριστικῶς ἐδόκει καὶ δεσποτικῶς προσφέρεσθαι, καὶ

6 *ἀμαθὴς καὶ*] del. Cobetus

πάντες ἠγανάκτουν, Πορηδόριξ, ἀνὴρ τό τε σῶμα ῥωμαλέος καὶ τὴν ψυχὴν διαφέρων (ἦν δὲ Τοσιωπῶν τετράρχης), ἀνεδέξατο τὸν Μιθριδάτην, ὅταν ἐν τῷ βήματι χρηματίζῃ συναρπάσας ὤσειν ἅμα σὺν αὑτῷ κατὰ τῆς φάραγγος. τύχῃ δέ τινι τῆς ἡμέρας ἐκείνης οὐκ ἀναβάντος εἰς τὸ γυμνάσιον αὐτοῦ, μεταπεμ-
B *πομένου δὲ τοὺς Γαλάτας οἴκαδε, θαρρεῖν παρεκάλει, καὶ ὅταν ἐν ταὐτῷ γένωνται, διασπάσαι τὸ σῶμα καὶ διαφθεῖραι πανταχόθεν προσπεσόντας. τοῦτ' οὐκ ἔλαθε τὸν Μιθριδάτην, ἀλλὰ μηνύσεως γενομένης, καθ' ἕνα τῶν Γαλατῶν παρεδίδου σφαγησόμενον· εἶτά πως ἀναμνησθεὶς νεανίσκου πολὺ προέχοντος ὥρᾳ καὶ κάλλει τῶν καθ' αὑτὸν ᾤκτιρε καὶ μετενόει· καὶ δῆλος ἦν ἀχθόμενος ὡς ἐν πρώτοις ἀπολωλότος, ὅμως δ' ἔπεμψεν, εἰ ζῶν εὑρεθείη, μεθεῖναι κελεύων· ἦν δ' ὄνομα τῷ νεανίσκῳ Βηπολιτανός. καί τις αὐτῷ τύχη θαυμαστὴ συνέπεσε· καλὴν γὰρ*
C *ἐσθῆτα καὶ πολυτελῆ συνελήφθη φορῶν· ἣν ὁ δήμιος ἀναίμακτον αὑτῷ καὶ καθαρὰν διαφυλάξαι βουλόμενος, καὶ ἀποδύων ἀτρέμα τὸν νεανίσκον, εἶδε τοὺς παρὰ τοῦ βασιλέως προσθέοντας ἅμα καὶ τοὔνομα τοῦ μειρακίου βοῶντας. τὸν μὲν οὖν Βηπολιτανὸν ἡ πολλοὺς ἀπολέσασα φιλαργυρία διέσωσεν ἀπροσδοκήτως. ὁ δὲ Πορηδόριξ κατακοπεὶς ἄταφος ἐξεβέβλητο, καὶ τῶν φίλων οὐδεὶς ἐτόλμησε προσελθεῖν· γύναιον δὲ Περγαμηνόν, ἐγνωσμένον ἀφ' ὥρας ζῶντι*

1 *Πορηδόριξ* Iunius hic et infra: *πορηδόραξ* 2 *Τοσιωπῶν*] *Τολιστοβώγων* W. *Τεκτοσάγων*? 4 *βήματι* *: *βήματι γυμνασίῳ* 12 *προέχοντος* W: *προέχοντος πρωτεύσαντος* 20 *ἀτρέμα*] *ἠρέμα* Cobetus

τῷ Γαλάτῃ, παρεκινδύνευσε θάψαι καὶ περιστεῖλαι τὸν νεκρόν· ᾔσθοντο δ' οἱ φύλακες καὶ συλλαβόν- D τες ἀνήγαγον πρὸς τὸν βασιλέα. λέγεται μὲν οὖν τι καὶ πρὸς τὴν ὄψιν αὐτῆς παθεῖν ὁ Μιθριδάτης, νέας παντάπασι καὶ ἀκάκου τῆς παιδίσκης φανείσης· ἔτι δὲ μᾶλλον ὡς ἔοικε τὴν αἰτίαν γνοὺς ἐρωτικὴν οὖσαν ἐπεκλάσθη καὶ συνεχώρησεν ἀνελέσθαι καὶ θάψαι τὸν νεκρὸν ἐσθῆτα καὶ κόσμον ἐκ τῶν ἐκείνου λαβοῦσαν.

ΤΙΜΟΚΛΕΙΑ.

Θεαγένης ὁ Θηβαῖος, Ἐπαμεινώνδᾳ καὶ Πελοπίδᾳ καὶ τοῖς ἀρίστοις ἀνδράσι τὴν αὐτὴν ὑπὲρ τῆς πόλεως λαβὼν διάνοιαν, ἔπταισε περὶ τὴν κοινὴν τύχην τῆς Ἑλλάδος ἐν Χαιρωνείᾳ, κρατῶν ἤδη καὶ διώκων τοὺς κατ' αὐτὸν ἀντιτεταγμένους. ἐκεῖνος γὰρ ἦν ὁ πρὸς τὸν ἐμβοήσαντα 'μέχρι ποῦ διώκεις;' E ἀποκρινάμενος 'μέχρι Μακεδονίας.' ἀποθανόντι δ' αὐτῷ περιῆν ἀδελφὴ μαρτυροῦσα κἀκεῖνον ἀρετῇ γένους καὶ φύσει μέγαν ἄνδρα καὶ λαμπρὸν γενέσθαι· πλὴν ταύτῃ γε καὶ χρηστὸν ἀπολαῦσαί τι τῆς ἀρετῆς ὑπῆρξεν, ὥστε κουφότερον, ὅσον τῶν κοινῶν ἀτυχημάτων εἰς αὐτὴν ἦλθεν, ἐνεγκεῖν. ἐπεὶ γὰρ ἐκράτησε Θηβαίων Ἀλέξανδρος, ἄλλοι δ' ἄλλα τῆς πόλεως ἐπόρθουν ἐπιόντες, ἔτυχε τὴν Τιμοκλείας οἰκίαν καταλαβὼν ἄνθρωπος οὐκ ἐπιεικὴς οὐδ' ἥμερος ἀλλ' ὑβριστὴς καὶ ἀνόητος· ἦρχε δὲ Θρᾳκίου τινὸς ἴλης καὶ ὁμώνυμος ἦν τοῦ βασιλέως οὐδὲν δ' ὅμοιος. F

26 ἴλης X: εἴλης

οὔτε γὰρ τὸ γένος οὔτε τὸν βίον αἰδεσθεὶς τῆς γυναικός, ὡς ἐνέπλησεν ἑαυτὸν οἴνου, μετὰ δεῖπνον ἐκάλει συναναπαυσομένην. καὶ τοῦτο πέρας οὐκ ἦν· ἀλλὰ καὶ χρυσὸν ἐζήτει καὶ ἄργυρον, εἴ τις εἴη κεκρυμμένος ὑπ' αὐτῆς, τὰ μὲν ὡς ἀπολῶν τὰ δ' ὡς ἕξων διὰ παντὸς ἐν τάξει γυναικός. ἡ δὲ δεξαμένη λαβὴν αὐτοῦ διδόντος 'ὤφελον μέν' εἶπε 'τεθνάναι πρὸ ταύτης ἐγὼ τῆς νυκτὸς ἢ ζῆν· τὸ γοῦν σῶμα
260 πάντων ἀπολλυμένων ἀπείρατον ὕβρεως διαφυλάξαι· πεπραγμένων δ' οὕτως, εἴ σε κηδεμόνα καὶ δεσπότην καὶ ἄνδρα δεῖ νομίζειν, τοῦ δαίμονος διδόντος, οὐκ ἀποστερήσω σε τῶν σῶν· ἐμαυτὴν γάρ, ὅ τι βούλει σύ, ὁρῶ γεγενημένην. ἐμοὶ περὶ σῶμα κόσμος ἦν καὶ ἄργυρος ἐν ἐκπώμασιν, ἦν τι καὶ χρυσοῦ καὶ νομίσματος. ὡς δ' ἡ πόλις ἡλίσκετο, πάντα συλλαβεῖν κελεύσασα τὰς θεραπαινίδας ἔρριψα, μᾶλλον δὲ κατεθέμην εἰς φρέαρ ὕδωρ οὐκ ἔχον· οὐδ' ἴσασιν
B αὐτὸ πολλοί· πῶμα γὰρ ἔπεστι καὶ κύκλῳ περιπέφυκεν ὕλη σύσκιος. ταῦτα σὺ μὲν εὐτυχοίης λαβών, ἐμοὶ δ' ἔσται πρός σε μαρτύρια καὶ γνωρίσματα τῆς περὶ τὸν οἶκον εὐτυχίας καὶ λαμπρότητος.' ἀκούσας οὖν ὁ Μακεδὼν οὐ περιέμεινε τὴν ἡμέραν, ἀλλ' εὐθὺς ἐβάδιζεν ἐπὶ τὸν τόπον, ἡγουμένης τῆς Τιμοκλείας· καὶ τὸν κῆπον ἀποκλεῖσαι κελεύσας, ὅπως αἴσθοιτο μηδείς, κατέβαινεν ἐν τῷ χιτῶνι. στυγερὰ

3 τοῦτο M: τούτου 8 ἢ ζῆν] fort. supplendum: ἢ ζῆν· καὶ γὰρ ἂν ἐξῆν τὸ γοῦν σῶμα κἑ 9 ἀπολλυμένων] ἀπολομένων Cobetus ἀπείρατον] add. ἂν idem διαφυλάξαι] διεφύλαξα Turnebus 12 βούλει σύ*: βουλήσῃ

δ' ἡγεῖτο Κλωθὼ τιμωρὸς ὑπὸ τῆς Τιμοκλείας ἐφεστώσης ἄνωθεν. ὡς δ' ᾔσθετο τῇ φωνῇ κάτω γεγονότος, πολλοὺς μὲν αὐτὴ τῶν λίθων ἐπέφερε πολλοὺς C δὲ καὶ μεγάλους αἱ θεραπαινίδες ἐπεκυλίνδουν, ἄχρι οὗ κατέκοψαν αὐτὸν καὶ κατέχωσαν. ὡς δ' ἔγνωσαν οἱ Μακεδόνες καὶ τὸν νεκρὸν ἀνείλοντο κηρύγματος ἤδη γεγονότος μηδένα κτείνειν Θηβαίων, ἦγον αὐτὴν συλλαβόντες ἐπὶ τὸν βασιλέα καὶ προσήγγειλαν τὸ τετολμημένον. ὁ δὲ καὶ τῇ καταστάσει τοῦ προσώπου καὶ τῷ σχολαίῳ τοῦ βαδίσματος ἀξιωματικόν τι καὶ γενναῖον ἐνιδὼν πρῶτον ἀνέκρινεν αὐτὴν τίς εἴη γυναικῶν. ἡ δ' ἀνεκπλήκτως πάνυ καὶ τεθαρρηκότως εἶπεν 'ἐμοὶ Θεαγένης ἦν ἀδελφός, ὃς ἐν Χαιρωνείᾳ στρατηγῶν καὶ μαχόμενος πρὸς ὑμᾶς ὑπὲρ τῆς τῶν Ἑλλήνων ἐλευθερίας ἔπεσεν, ὅπως ἡμεῖς μηδὲν τοιοῦτον πάθωμεν· ἐπεὶ δὲ πεπόνθαμεν ἀνάξια τοῦ γένους, ἀποθανεῖν οὐ φεύγομεν· D οὐδὲ γὰρ ἄμεινον ἴσως ζῶσαν ἑτέρας πειρᾶσθαι νυκτός, εἰ σὺ τοῦτο μὴ κωλύσεις.' οἱ μὲν οὖν ἐπιεικέστατοι τῶν παρόντων ἐδάκρυσαν, Ἀλεξάνδρῳ δ' οἰκτίρειν μὲν οὐκ ἐπῄει τὴν ἄνθρωπον ὡς μείζονα, θαυμάσας δὲ τὴν ἀρετὴν καὶ τὸν λόγον εὖ μάλα καθαψάμενον αὐτοῦ, τοῖς μὲν ἡγεμόσι παρήγγειλε προσέχειν καὶ φυλάττειν, μὴ πάλιν ὕβρισμα τοιοῦτον εἰς οἰκίαν ἔνδοξον γένηται· τὴν δὲ Τιμόκλειαν ἀφῆκεν αὐτήν τε καὶ πάντας, ὅσοι κατὰ γένος αὐτῇ προσήκοντες εὑρέθησαν.

1 *Κλωθὼ*] cf. Hes. Scut. 258

ΕΡΥΞΩ.

Βάττου τοῦ ἐπικληθέντος Εὐδαίμονος υἱὸς
E Ἀρκεσίλαος ἦν οὐδὲν ὅμοιος τῷ πατρὶ τοὺς τρόπους· καὶ γὰρ ζῶντος ἔτι περὶ τὴν οἰκίαν περιθεὶς ἐπάλξεις ὑπὸ τοῦ πατρὸς ἐζημιώθη ταλάντῳ· καὶ τελευτήσαντος ἐκείνου, τοῦτο μὲν φύσει χαλεπὸς ὢν (ὅπερ καὶ ἐπεκλήθη), τοῦτο δὲ φίλῳ πονηρῷ, Λαάρχῳ, χρώμενος ἀντὶ βασιλέως ἐγεγόνει τύραννος. ὁ δὲ Λάαρχος ἐπιβουλεύων τῇ τυραννίδι καὶ τοὺς ἀρίστους τῶν Κυρηναίων ἐξελαύνων ἢ φονεύων, ἐπὶ τὸν Ἀρκεσίλαον τὰς αἰτίας ἔτρεπε· καὶ τέλος ἐκεῖνον
F μὲν εἰς νόσον ἐμβαλὼν φθινάδα καὶ χαλεπὴν λαγὼν πιόντα θαλάσσιον διέφθειρεν, αὐτὸς δὲ τὴν ἀρχὴν εἶχεν ὡς τῷ παιδὶ τῷ ἐκείνου Βάττῳ διαφυλάττων. ὁ μὲν οὖν παῖς καὶ διὰ τὴν χωλότητα καὶ διὰ τὴν ἡλικίαν κατεφρονεῖτο, τῇ δὲ μητρὶ πολλοὶ προσεῖχον αὐτοῦ· σώφρων τε γὰρ ἦν καὶ φιλάνθρωπος οἰκείους τε πολλοὺς καὶ δυνατοὺς εἶχε. διὸ καὶ θεραπεύων αὐτὴν ὁ Λάαρχος ἐμνηστεύετο, καὶ τὸν Βάττον ἠξίου παῖδα θέσθαι γήμας ἐκείνην, καὶ κοινωνὸν ἀποδεῖξαι τῆς ἀρχῆς· ἡ δ' Ἐρυξὼ (τοῦτο γὰρ ἦν ὄνομα τῇ γυναικὶ) βουλευσαμένη μετὰ τῶν ἀδελφῶν,
261 ἐκέλευε τὸν Λάαρχον ἐντυγχάνειν ἐκείνοις, ὡς αὐτῆς προσιεμένης τὸν γάμον. ἐπεὶ δ' ὁ Λάαρχος ἐνετύγχανε τοῖς ἀδελφοῖς, ἐκεῖνοι δ' ἐπίτηδες παρῆγον καὶ ἀνεβάλλοντο, πέμπει πρὸς αὐτὸν ἡ Ἐρυξὼ θεραπαινίδα παρ' αὐτῆς παραγγέλλουσαν, ὅτι νῦν μὲν

5 μὲν Herwerdenus: μὲν οὖν 8 Ἀλίαρχος vel Λέαρχος Herod. 4, 160 20 ἀποδεῖξαι *: ἀποδείξας

ἀντιλέγουσιν οἱ ἀδελφοί, γενομένης δὲ τῆς συνόδου παύσονται διαφερόμενοι καὶ συγχωρήσουσι· δεῖν οὖν αὐτόν, εἰ βούλεται, νύκτωρ ἀφικέσθαι πρὸς αὐτήν· καλῶς γὰρ ἕξειν καὶ τὰ λοιπὰ τῆς ἀρχῆς γενομένης. ἦν οὖν ταῦτα καθ' ἡδονὴν τῷ Λαάρχῳ, καὶ παντάπασιν ἀναπτοηθεὶς πρὸς τὴν φιλοφροσύνην τῆς γυναικὸς ὡμολόγησεν ἥξειν, ὅταν ἐκείνη κελεύῃ. B ταῦτα δ' ἔπραττεν ἡ Ἐρυξὼ μετὰ Πολυάρχου τοῦ πρεσβυτάτου τῶν ἀδελφῶν. ὁρισθέντος δὲ καιροῦ πρὸς τὴν σύνοδον, ὁ Πολύαρχος εἰς τὸ δωμάτιον τῆς ἀδελφῆς παρεισήχθη κρύφα, νεανίσκους ἔχων δύο σὺν αὑτῷ ξιφήρεις, φόνῳ πατρὸς ἐπεξιόντας, ὃν ὁ Λάαρχος ἐτύγχανεν ἀπεκτονὼς νεωστί. μεταπεμψαμένης δὲ τῆς Ἐρυξοῦς αὐτόν, ἄνευ δορυφόρων εἰσῆλθε, καὶ τῶν νεανίσκων αὐτῷ προσπεσόντων τυπτόμενος τοῖς ξίφεσιν ἀπέθανε. τὸν μὲν οὖν νεκρὸν ἔρριψαν ὑπὲρ τὸ τεῖχος, τὸν δὲ Βάττον προαγαγόντες ἀνέδειξαν ἐπὶ τοῖς πατρίοις βασιλέα, καὶ τὴν ἀπ' ἀρχῆς πολιτείαν ὁ Πολύαρχος ἀπέδωκε τοῖς Κυρηναίοις. ἐτύγχανον δ' Ἀμάσιδος τοῦ Αἰγυπτίων C βασιλέως στρατιῶται συχνοὶ παρόντες, οἷς ὁ Λάαρχος ἐχρῆτο πιστοῖς, καὶ φοβερὸς ἦν οὐχ ἥκιστα δι' ἐκείνων τοῖς πολίταις. οὗτοι πρὸς Ἄμασιν ἔπεμψαν τοὺς κατηγορήσοντας τοῦ τε Πολυάρχου καὶ τῆς Ἐρυξοῦς. χαλεπαίνοντος δ' ἐκείνου καὶ διανοουμένου πολεμεῖν τοῖς Κυρηναίοις, συνέβη τὴν μητέρα τελευ-

2 δεῖν Benselerus: δεῖ 6 ἀναπτοηθεὶς] ἀναπτερωθεὶς Cobetus 12 αὑτῷ *: αὐτῷ 17 προαγαγόντες Herwerdenus: προσαγαγόντες

τῆσαι, καὶ ταφὰς αὐτῆς ἐπιτελοῦντος, ἀναγγέλλοντας ἐλθεῖν παρὰ τοῦ Ἀμάσιδος. ἔδοξεν οὖν τῷ Πολυ-
D ἄρχῳ βαδίζειν ἀπολογησομένῳ· τῆς δ' Ἐρυξοῦς μὴ ἀπολειπομένης, ἀλλ' ἕπεσθαι καὶ συγκινδυνεύειν βουλομένης, οὐδ' ἡ μήτηρ Κριτόλα, καίπερ οὖσα πρεσβῦτις, ἀπελείπετο. μέγιστον δ' αὐτῆς ἦν ἀξίωμα, Βάττου γεγενημένης ἀδελφῆς τοῦ Εὐδαίμονος. ὡς οὖν ἦλθον εἰς Αἴγυπτον, οἵ τ' ἄλλοι θαυμαστῶς ἀπεδέξαντο τὴν πρᾶξιν αὐτῶν, καὶ ὁ Ἄμασις οὐ μετρίως ἀπεδέξατο τήν τε σωφροσύνην καὶ τὴν ἀνδρείαν τῆς γυναικός· δώροις δὲ τιμήσας καὶ θεραπείᾳ βασιλικῇ τόν τε Πολύαρχον καὶ τὰς γυναῖκας εἰς Κυρήνην ἀπέστειλεν.

ΞΕΝΟΚΡΙΤΗ.

E Οὐχ ἧττον δ' ἄν τις ἀγάσαιτο τὴν Κυμαίαν Ξενοκρίτην ἐπὶ τοῖς πραχθεῖσι περὶ Ἀριστόδημον τὸν τύραννον, ᾧ τινες Μαλακὸν ἐπίκλησιν οἴονται γεγονέναι, τἀληθὲς ἀγνοοῦντες. ἐπεκλήθη γὰρ ὑπὸ τῶν βαρβάρων Μαλακός, ὅπερ ἐστὶν ἀντίπαις, ὅτι μειράκιον ὢν παντάπασι μετὰ τῶν ἡλίκων ἔτι κομώντων (οὓς κορωνιστὰς ὡς ἔοικεν ἀπὸ τῆς κόμης ὠνόμαζον) ἐν τοῖς πρὸς τοὺς βαρβάρους πολέμοις ἐπιφανὴς ἦν καὶ λαμπρὸς οὐ τόλμῃ μόνον οὐδὲ χειρὸς ἔργοις, ἀλλὰ καὶ συνέσει καὶ προνοίᾳ φανεὶς περιττός. ὅθεν εἰς τὰς μεγίστας προῆλθεν ἀρχὰς θαυμαζόμενος ὑπὸ τῶν πολιτῶν, καὶ Ῥωμαίοις ἐπι-
F κουρίαν ἄγων ἐπέμφθη πολεμουμένοις ὑπὸ τῶν

2 παρὰ] τὰ παρὰ? 17 τἀληθὲς *: τὸ ἀληθὲς

Τυρρηνῶν, Ταρκύνιον Σούπερβον ἐπὶ τὴν βασιλείαν καταγόντων. ἐν ταύτῃ δὲ τῇ στρατείᾳ μακρᾷ γενομένῃ πάντῃ πρὸς χάριν ἐνδιδοὺς τοῖς στρατευομένοις τῶν πολιτῶν καὶ δημαγωγῶν μᾶλλον ἢ στρατηγῶν ἔπεισεν αὐτοὺς συνεπιθέσθαι τῇ βουλῇ καὶ συνεκβαλεῖν τοὺς ἀρίστους καὶ δυνατωτάτους. ἐκ δὲ τούτου γενόμενος τύραννος ἦν μὲν ἐν ταῖς περὶ γυναῖκας καὶ παῖδας ἐλευθέρους ἀδικίαις αὐτὸς ἑαυτοῦ μοχθηρότερος. ἱστόρηται γάρ, ὅτι τοὺς μὲν ἄρρενας παῖδας ἤσκει κόμαις καὶ χρυσοφορεῖν, τὰς δὲ θηλείας ἠνάγκαζε περιτρόχαλα κείρεσθαι καὶ φορεῖν ἐφηβικὰς χλαμύδας καὶ τῶν ἀνακώλων χιτω- 262 *νίσκων. οὐ μὴν ἀλλ' ἐξαιρέτως ἐρασθεὶς τῆς Ξενοκρίτης εἶχεν αὐτὴν φυγάδος οὖσαν πατρός, οὐ καταγαγὼν οὐδὲ πείσας ἐκεῖνον, ἀλλ' ὁπωσοῦν ἡγούμενος ἀγαπᾶν συνοῦσαν αὐτῷ τὴν κόρην, ἅτε δὴ ζηλουμένην καὶ μακαριζομένην ὑπὸ τῶν πολιτῶν. τὴν δὲ ταῦτα μὲν οὐκ ἐξέπληττεν· ἀχθομένη δ' ἐπὶ τῷ συνοικεῖν ἀνέκδοτος καὶ ἀνέγγυος οὐδὲν ἧττον ἐπόθει τῶν μισουμένων ὑπὸ τοῦ τυράννου τὴν τῆς πατρίδος ἐλευθερίαν. ἔτυχε δὲ κατ' ἐκεῖνο καιροῦ τάφρον ἄγων κύκλῳ περὶ τὴν χώραν ὁ Ἀριστόδημος,* B *οὔτ' ἀναγκαῖον ἔργον οὔτε χρήσιμον, ἄλλως δὲ τρίβειν καὶ ἀποκναίειν πόνοις καὶ ἀσχολίαις τοὺς πολίτας βουλόμενος· ἦν γὰρ προστεταγμένον ἑκάστῳ μέτρων τινῶν ἀριθμὸν ἐκφέρειν τῆς γῆς. ** ὡς εἶδεν*

2 *στρατείᾳ* *: *στρατιᾷ* 9 *μοχθηρότερος* Herwerdenus: *μοχθηρότατος* 10 *κόμαις*] *κομᾶν* M 12 *καὶ τῶν*] *κατὰ τῶν* Salmasius 26 lacunam add. W, quam supplet verbis: *ἐν τούτοις δὲ καὶ γυνή τις*

ἐπιόντα τὸν Ἀριστόδημον, ἐξέκλινε καὶ παρεκαλύψατο τῷ χιτωνίσκῳ τὸ πρόσωπον. ἀπελθόντος οὖν τοῦ Ἀριστοδήμου, σκώπτοντες οἱ νεανίσκοι καὶ παίζοντες ἠρώτων, ὅ τι δὴ μόνον ὑπ' αἰδοῦς φύγοι τὸν Ἀριστόδημον, πρὸς δὲ τοὺς ἄλλους οὐδὲν πάθοι τοιοῦτον· ἡ δὲ καὶ μάλα μετὰ σπουδῆς ἀπεκρίνατο 'μόνος γάρ' ἔφη 'Κυμαίων Ἀριστόδημος ἀνήρ ἐστι.' τοῦτο γὰρ λεχθὲν τὸ ῥῆμα πάντων μὲν ἥψατο, τοὺς C δὲ γενναίους καὶ παρώξυνεν αἰσχύνῃ τῆς ἐλευθερίας ἀντέχεσθαι. λέγεται δὲ καὶ Ξενοκρίτην ἀκούσασαν εἰπεῖν, ὡς ἐβούλετ' ἂν καὶ αὐτὴ γῆν ὑπὲρ τοῦ πατρὸς φέρειν παρόντος ἢ τρυφῆς συμμετέχειν Ἀριστοδήμῳ καὶ δυνάμεως τοσαύτης. ἐπέρρωσεν οὖν ταῦτα τοὺς συνισταμένους ἐπὶ τὸν Ἀριστόδημον, ὧν ἡγεῖτο Θυμοτέλης· καὶ τῆς Ξενοκρίτης εἰσόδου παρεχούσης αὐτοῖς ἄδειαν καὶ τὸν Ἀριστόδημον ἄοπλον καὶ ἀφύλακτον, οὐ χαλεπῶς παρεισπεσόντες διαφθείρουσιν αὐτόν. οὕτω μὲν ἡ Κυμαίων πόλις ἠλευθερώθη δυεῖν ἀρετῇ γυναικῶν, τῆς μὲν ἐπίνοιαν αὐτοῖς καὶ ὁρμὴν ἐμβαλούσης τοῦ ἔργου, τῆς δὲ πρὸς τὸ τέλος συλλαβομένης. τιμῶν δὲ καὶ δωρεῶν μεγάλων τῇ Ξενοκρίτῃ προτεινομένων ἐάσασα πάσας D ἓν ᾐτήσατο, θάψαι τὸ σῶμα τοῦ Ἀριστοδήμου· καὶ τοῦτ' οὖν ἔδοσαν αὐτῇ καὶ Δήμητρος ἱέρειαν αὐτὴν εἵλοντο, οὐχ ἧττον οἰόμενοι τῇ θεῷ κεχαρισμένην ἢ πρέπουσαν ἐκείνῃ τιμὴν ἔσεσθαι.

1 ἐπιόντα X: ἀπιόντα 4 ὅ τι *: ὅτι 8 γὰρ] γοῦν M 9 αἰσχύνῃ] αἰσχύνη Dinsius 14 τοὺς Patzigius

ΠΥΘΕΩ ΓΥΝΗ.

Λέγεται δὲ καὶ τὴν Πύθεω τοῦ κατὰ Ξέρξην γυναῖκα σοφὴν γενέσθαι καὶ χρηστήν. αὐτὸς μὲν γὰρ ὁ Πύθης ὡς ἔοικε χρυσείοις ἐντυχὼν μετάλλοις καὶ ἀγαπήσας τὸν ἐξ αὐτῶν πλοῦτον οὐ μετρίως ἀλλ' ἀπλήστως καὶ περιττῶς, αὐτός τε περὶ ταῦτα διέτριβε καὶ τοὺς πολίτας καταβιβάζων ἅπαντας ὁμαλῶς ὀρύττειν ἢ φορεῖν ἢ καθαίρειν ἠνάγκαζε τὸ χρυσίον, ἄλλο μηδὲν ἐργαζομένους τὸ παράπαν E *μηδὲ πράττοντας. ἀπολλυμένων δὲ πολλῶν πάντων δ' ἀπαγορευόντων, αἱ γυναῖκες ἱκετηρίαν ἔθεσαν ἐπὶ τὰς θύρας ἐλθοῦσαι τῆς τοῦ Πύθεω γυναικός. ἡ δ' ἐκείνας μὲν ἀπιέναι καὶ θαρρεῖν ἐκέλευσεν, αὐτὴ δὲ τῶν περὶ τὸ χρυσίον τεχνιτῶν οἷς ἐπίστευε μάλιστα καλέσασα καὶ καθείρξασα, ποιεῖν ἐκέλευεν ἄρτους τε χρυσοῦς καὶ πέμματα παντοδαπὰ καὶ ὀπώρας, καὶ ὅσοις δὴ μάλιστα τὸν Πύθην ἐγίνωσκεν* F *ἡδόμενον ὄψοις καὶ βρώμασι. ποιηθέντων δὲ πάντων, ὁ μὲν Πύθης ἧκεν ἀπὸ τῆς ξένης· ἐτύγχανε γὰρ ἀποδημῶν· ἡ δὲ γυνὴ δεῖπνον αἰτοῦντι παρέθηκε χρυσῆν τράπεζαν οὐδὲν ἐδώδιμον ἔχουσαν ἀλλὰ πάντα χρυσᾶ. τὸ μὲν οὖν πρῶτον ἔχαιρε Πύθης τοῖς μιμήμασιν, ἐμπλησθεὶς δὲ τῆς ὄψεως ᾔτει φαγεῖν· ἡ δὲ χρυσοῦν ὅ τι τύχοι ποθήσας προσέφερε. δυσχεραίνοντος δ' αὐτοῦ καὶ πεινῆν βοῶντος, 'ἀλλὰ σύ γε τούτων' εἶπεν 'ἄλλου δ' οὐδενὸς εὐπορίαν πεποίη-*

263 κας ἡμῖν· καὶ γὰρ ἐμπειρία καὶ τέχνη πᾶσα φροῦδος, γεωργεῖ δ' οὐδείς, ἀλλὰ τὰ σπειρόμενα καὶ φυτευόμενα καὶ τρέφοντα τῆς γῆς ὀπίσω καταλιπόντες ὀρύσσομεν ἄχρηστα καὶ ζητοῦμεν, ἀποκναίοντες αὑτοὺς καὶ τοὺς πολίτας.' ἐκίνησε ταῦτα τὸν Πύθην, καὶ πᾶσαν μὲν οὐ κατέλυσε τὴν περὶ τὰ μέταλλα πραγματείαν, ἀνὰ μέρος δὲ τὸ πέμπτον ἐργάζεσθαι κελεύσας τῶν πολιτῶν, τοὺς λοιποὺς ἐπὶ γεωργίαν καὶ τὰς τέχνας ἔτρεψε. Ξέρξου δὲ καταβαίνοντος ἐπὶ τὴν Ἑλλάδα, λαμπρότατος ἐν ταῖς ὑποδοχαῖς καὶ ταῖς δωρεαῖς γενόμενος χάριν ᾐτήσατο παρὰ τοῦ βασιλέως, πλειόνων αὐτῷ παίδων ὄντων, ἕνα
B παρεῖναι τῆς στρατείας καὶ καταλιπεῖν αὐτῷ γηροβοσκεῖν. ὁ δὲ Ξέρξης ὑπ' ὀργῆς τοῦτον μόνον, ὃν ἐξῃτήσατο, σφάξας καὶ διατεμὼν ἐκέλευσε τὸν στρατὸν διελθεῖν, τοὺς δ' ἄλλους ἐπηγάγετο, καὶ πάντες ἀπώλοντο κατὰ τὰς μάχας. ἐφ' οἷς ὁ Πύθης ἀθυμήσας ἔπαθεν ὅμοια πολλοῖς τῶν κακῶν καὶ ἀνοήτων· τὸν μὲν γὰρ θάνατον ἐφοβεῖτο, τῷ βίῳ δ' ἤχθετο. βουλόμενος δὲ μὴ ζῆν, προέσθαι δὲ τὸ ζῆν μὴ δυνάμενος, χώματος ὄντος ἐν τῇ πόλει μεγάλου καὶ ποταμοῦ διαρρέοντος, ὃν Πυθοπολίτην
C ὠνόμαζον, ἐν μὲν τῷ χώματι κατεσκεύασε μνημεῖον, ἐκτρέψας δὲ τὸ ῥεῖθρον, ὥστε διὰ τοῦ χώματος φέρεσθαι ψαύοντα τοῦ τάφου τὸν ποταμόν· ἐπὶ τούτοις συντελεσθεῖσιν αὐτὸς μὲν εἰς τὸ μνημεῖον κατῆλθε, τῇ δὲ γυναικὶ τὴν ἀρχὴν καὶ τὴν πόλιν

13 γηροβοσκεῖν] γηροβοσκόν Cobetus

ἀναθεὶς ἅπασαν ἐκέλευσε μὴ προσιέναι, πέμπειν δὲ τὸ δεῖπνον αὐτῷ καθ' ἑκάστην ἡμέραν εἰς βᾶριν ἐντιθεῖσαν, ἄχρι οὗ τὸν τάφον ἡ βᾶρις παρέλθῃ τὸ δεῖπνον ἀκέραιον ἔχουσα, τότε δὲ παύσασθαι πέμπουσαν, ὡς αὐτοῦ τεθνηκότος. ἐκεῖνος μὲν οὕτω τὸν λοιπὸν βίον διῆγεν, ἡ δὲ γυνὴ τῆς ἀρχῆς καλῶς ἐπεμελήθη καὶ μεταβολὴν κακῶν τοῖς ἀνθρώποις παρέσχε.

ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ.

ΡΩΜΑΙΚΑ.

1. ‘Διὰ τί τὴν γαμουμένην ἅπτεσθαι πυρὸς καὶ E ὕδατος κελεύουσι;’ πότερον τούτων ὡς ἐν στοιχείοις καὶ ἀρχαῖς τὸ μὲν ἄρρεν ἐστὶ τὸ δὲ θῆλυ, καὶ τὸ μὲν ἀρχὰς κινήσεως ἐνίησι τὸ δ’ ὑποκειμένου καὶ ὕλης δύναμιν· ἢ διότι τὸ πῦρ καθαίρει καὶ τὸ ὕδωρ ἁγνίζει, δεῖ δὲ καθαρὰν καὶ ἁγνὴν διαμένειν τὴν γαμηθεῖσαν; ἢ ὅτι, καθάπερ τὸ πῦρ χωρὶς ὑγρότητος ἄτροφόν ἐστι καὶ ξηρὸν τὸ δὲ ὕδωρ ἄνευ θερμότητος ἄγονον καὶ ἀργόν, οὕτω καὶ τὸ ἄρρεν ἀδρανὲς καὶ τὸ θῆλυ χωρὶς ἀλλήλων, ἡ δὲ σύνοδος ἀμφοῖν ἐπιτελεῖ τοῖς γήμασι τὴν συμβίωσιν; ἢ οὐκ F ἀπολειπτέον καὶ κοινωνητέον ἁπάσης τύχης, κἂν ἄλλου μηδενὸς ἢ πυρὸς καὶ ὕδατος μέλλωσι κοινωνεῖν ἀλλήλοις;

2. ‘Διὰ τί οὐ πλείονας οὐδ’ ἐλάττονας ἀλλὰ πέντε λαμπάδας ἅπτουσιν ἐν τοῖς γάμοις, ἃς κηρίωνας ὀνομάζουσιν;’ πότερον, ὡς Βάρρων ἔλεγεν, ὅτι τῶν στρατηγῶν τρισὶ χρωμένων, σὺν τοῖς ἀγορα-

4 καὶ ὕλης] ἔχει καὶ ὕλης W 11 ἢ] ἦν idem 13 ἄλλου Toupius: καλοῦ 17 Βάρρων] De Ling. Lat. V § 61 18 τρισὶ χρωμένων κέ] lacunosa. cf. Symb. meas

νόμοις πλείονας, παρὰ δὲ τῶν ἀγορανόμων ἅπτουσι
τὸ πῦρ οἱ γαμοῦντες, ἢ διότι πλείοσι χρωμένων 264
ἀριθμοῖς, πρός τε τὰ ἄλλα βελτίων καὶ τελειότερος
ὁ περιττὸς ἐνομίζετο καὶ πρὸς γάμον ἁρμοδιώτερος;
ὁ γὰρ ἄρτιος διάστασίν τε δέχεται καὶ τὸ ἴσον αὐτοῦ
μάχιμόν ἐστι καὶ ἀντίπαλον, ὁ δὲ περιττὸς οὐ δύ-
ναται διασχισθῆναι παντάπασιν, ἀλλ' ὑπολείπει τι
κοινὸν ἀεὶ μεριζόμενος. τοῦ δὲ περιττοῦ μάλιστα
γαμήλιος ἡ πεντάς ἐστι· τὰ γὰρ τρία πρῶτος περιτ-
τὸς καὶ τὰ δύο πρῶτος ἄρτιος· ἐκ δὲ τούτων ὥσπερ
ἄρρενος καὶ θήλεος ἡ πεντὰς μέμικται. ἢ μᾶλλον,
ἐπεὶ τὸ φῶς γενέσεώς ἐστι σημεῖον, γυνὴ δ' ἄχρι B
πέντε τίκτειν ὁμοῦ τὰ πλεῖστα πέφυκε, τοσαύταις
χρῶνται λαμπάσιν; ἢ ὅτι πέντε δεῖσθαι θεῶν τοὺς
γαμοῦντας οἴονται, Διὸς τελείου καὶ Ἥρας τελείας
καὶ Ἀφροδίτης καὶ Πειθοῦς, ἐπὶ πᾶσι δ' Ἀρτέμι-
δος, ἣν ταῖς λοχείαις καὶ ταῖς ὠδῖσιν αἱ γυναῖκες
ἐπικαλοῦνται;

3. 'Διὰ τί, πολλῶν ὄντων ἐν Ῥώμῃ ναῶν Ἀρτέ- C
μιδος, εἰς μόνον τὸν ἐν τῷ καλουμένῳ Πατρικίῳ
στενωπῷ ἄνδρες οὐκ εἰσίασιν;' ἦ διὰ τὸν λεγόμενον
μῦθον; γυναῖκα γὰρ αὐτόθι τὴν θεὸν σεβομένην
βιαζόμενός τις ὑπὸ τῶν κυνῶν διεσπάσθη, καὶ ἀπὸ
τούτου δεισιδαιμονίας γενομένης ἄνδρες οὐκ εἰσίασι.

4. 'Διὰ τί τοῖς ἄλλοις Ἀρτεμισίοις ἐπιεικῶς ἐλά-
φων κέρατα προσπατταλεύουσι, τῷ δ' ἐν Ἀβεντίνῳ
βοῶν;' ἦ τοῦ παλαιοῦ συμπτώματος ἀπομνημονεύ-
οντες; λέγεται γὰρ ἐν Σαβίνοις Ἄντρωνι Κορατίῳ

17 ταῖς] ἐν ταῖς? 21. 27 ἦ Duebnerus: ἢ

βοῦς ἐκπρεπὴς ὄψει καὶ μεγέθει διαφέρουσα τῶν ἄλλων γενέσθαι· μάντεως δέ τινος αὐτῷ φράσαντος, ὅτι τοῦ καθιερεύσαντος Ἀρτέμιδι τὴν βοῦν ἐκείνην ἐν Ἀβεντίνῳ πέπρωται μεγίστην γενέσθαι καὶ βασιλεῦσαι τῆς Ἰταλίας ἁπάσης τὴν πόλιν, ἐλθεῖν μὲν
D εἰς Ῥώμην τὸν ἄνθρωπον ὡς θύσοντα τὴν βοῦν· οἰκέτου δὲ κρύφα τῷ βασιλεῖ Σερουίῳ τὸ μάντευμα φράσαντος, ἐκείνου δὲ Κορνηλίῳ τῷ ἱερεῖ, προστάξαι τὸν Κορνήλιον τῷ Ἄντρωνι λούσασθαι πρὸ τῆς θυσίας ἀπὸ τοῦ Θύμβρεως· νενομίσθαι γὰρ οὕτω τοὺς καλλιεροῦντας. ἐκεῖνον μὲν οὖν ἀπελθόντα λούσασθαι, τὸν δὲ Σερούιον φθάσαντα θῦσαι τῇ θεῷ τὴν βοῦν καὶ τῷ ἱερῷ τὰ κέρατα προσπατταλεῦσαι. ταῦτα καὶ ὁ Ἰόβας ἱστόρηκε καὶ Βάρρων, πλὴν ὅτι τοὔνομα τοῦ Ἄντρωνος Βάρρων οὐ γέγραφεν, οὐδ' ὑπὸ Κορνηλίου φησὶ τοῦ ἱερέως ἀλλ' ὑπὸ τοῦ νεωκόρου παρακρουσθῆναι τὸν Σαβῖνον.

5. 'Διὰ τί τοὺς τεθνάναι φημισθέντας ἐπὶ ξένης
E ψευδῶς, κἂν ἐπανέλθωσιν, οὐ δέχονται κατὰ θύρας, ἀλλὰ τῷ κεράμῳ προσβαίνοντες εἴσω καθιᾶσιν αὐτούς;' ὁ μὲν γὰρ Βάρρων αἰτίαν μυθικὴν ὅλως ἀποδίδωσι. φησὶ γάρ, ἐν τῷ περὶ Σικελίαν πολέμῳ ναυμαχίας μεγάλης γενομένης καὶ κατὰ πολλῶν φήμης οὐκ ἀληθοῦς ὡς ἀπολωλότων ῥυείσης, ἐπανελθόντας αὐτοὺς ὀλίγῳ χρόνῳ πάντας τελευτῆσαι, ἑνὶ δ' εἰσιόντι τὰς θύρας ἀπαντῆσαι κλειομένας ἀπ' αὐτομάτου καὶ μὴ χαλᾶν ἐπιχειρούντων ἀνοίγειν. τὸν δ' ἄνθρωπον αὐτοῦ καταδαρθόντα πρὸ τῶν θυρῶν

14 Ἰόβας] Mueller. 3 p. 470   20 αὐτούς X: αὑτούς

ἰδεῖν κατὰ τοὺς ὕπνους ὄψιν ὑφηγουμένην αὐτῷ F
τὴν ὑπὲρ τὸ τέγος εἰς τὴν οἰκίαν καθίμησιν· ποιήσαντα δ' οὕτως εὐτυχῆ γενέσθαι καὶ γηραιόν· ἐκ δὲ τούτου τὸ ἔθος καταστῆναι τοῖς ὕστερον. ὅρα δὲ μὴ καὶ ταῦτα τρόπον τινὰ τοῖς Ἑλληνικοῖς ἔοικεν· οὐ γὰρ ἐνόμιζον ἁγνοὺς οὐδὲ κατεμίγνυσαν ἑαυτοῖς οὐδ' εἴων ἱεροῖς πλησιάζειν, οἷς ἐκφορὰ γεγόνει καὶ τάφος ὡς τεθνηκόσι. λέγεται δέ τινα τῶν ἐνόχων ταύτῃ τῇ δεισιδαιμονίᾳ γεγονότων Ἀριστῖνον εἰς Δελφοὺς ἀποστείλαντα δεῖσθαι τοῦ θεοῦ καὶ παραιτεῖσθαι τὰς παρούσας αὐτῷ διὰ τὸν νόμον ἀπορίας· τὴν δὲ Πυθίαν εἰπεῖν

ʽὅσσαπερ ἐν λεχέεσσι γυνὴ τίκτουσα τελεῖται, 265
ταῦτα πάλιν τελέσαντα θύειν μακάρεσσι θεοῖσι.'

τὸν οὖν Ἀριστῖνον συμφρονήσαντα παρασχεῖν ἑαυτὸν ὥσπερ ἐξ ἀρχῆς τικτόμενον ταῖς γυναιξὶν ἀπολοῦσαι καὶ σπαργανῶσαι καὶ θηλὴν ἐπισχεῖν, οὕτω τε δρᾶν καὶ τοὺς ἄλλους ἅπαντας, ὑστεροπότμους προσαγορευομένους. ἔνιοι δὲ καὶ πρὸ τοῦ Ἀριστίνου ταῦτα γενέσθαι περὶ τοὺς ὑστεροπότμους καὶ τὸ ἔθος εἶναι παλαιόν. οὐδὲν οὖν θαυμαστόν, εἰ καὶ Ῥωμαῖοι τοῖς δοκοῦσιν ἅπαξ τεθάφθαι καὶ γεγονέναι τῆς τῶν φθιτῶν μερίδος οὐκ ᾤοντο δεῖν παριέναι τὴν αὔλειον, ᾗ θύσοντες ἐξίασι καὶ θύσαντες εἰσίασιν, B
ἀλλ' ἄνωθεν ἐκέλευον εἰς τὰ ὕπαιθρα καταβαίνειν ἐκ τοῦ περιέχοντος· καὶ γὰρ τοὺς καθαρμοὺς ἐπιεικῶς πάντας ἐν ὑπαίθρῳ τελοῦσι.

12 εἰπεῖν] ἀνειπεῖν Cobetus 14 τελέσαντα] τελέσας idem 15 συμφρονήσαντα W: εὖ φρονήσαντα

6. *'Διὰ τί τοὺς συγγενεῖς τῷ στόματι φιλοῦσιν αἱ γυναῖκες;'* πότερον ὡς οἱ πλεῖστοι νομίζουσιν ἀπειρημένον ἦν πίνειν οἶνον ταῖς γυναιξίν, ὅπως οὖν πιοῦσαι μὴ λανθάνωσιν ἀλλ' ἐλέγχωνται περιτυγχάνουσαι τοῖς οἰκείοις, ἐνομίσθη καταφιλεῖν· ἢ δι' ἣν Ἀριστοτέλης ὁ φιλόσοφος αἰτίαν ἱστόρηκε;
C τὸ γὰρ πολυθρύλητον ἐκεῖνο καὶ πολλαχοῦ γενέσθαι λεγόμενον ὡς ἔοικεν ἐτολμήθη καὶ ταῖς Τρῳάσι περὶ τὴν Ἰταλίαν. τῶν γὰρ ἀνδρῶν, ὡς προσέπλευσαν, ἀποβάντων ἐνέπρησαν τὰ πλοῖα, πάντως ἀπαλλαγῆναι τῆς πλάνης δεόμεναι καὶ τῆς θαλάττης· φοβηθεῖσαι δὲ τοὺς ἄνδρας ἠσπάζοντο τῶν συγγενῶν καὶ οἰκείων μετὰ τοῦ καταφιλεῖν καὶ περιπλέκεσθαι τοὺς προστυγχάνοντας. παυσαμένων δὲ τῆς ὀργῆς καὶ διαλλαγέντων, ἐχρῶντο καὶ τοῦ λοιποῦ ταύτῃ τῇ
D φιλοφροσύνῃ πρὸς αὐτούς. ἢ μᾶλλον ἐδόθη τοῦτο ταῖς γυναιξὶν ὡς τιμὴν ἅμα καὶ δύναμιν αὐταῖς φέρον, εἰ φαίνοιντο πολλοὺς καὶ ἀγαθοὺς ἔχουσαι συγγενεῖς καὶ οἰκείους; ἤ, μὴ νενομισμένου συγγενίδας γαμεῖν, ἄχρι φιλήματος ἡ φιλοφροσύνη προῆλθεν καὶ τοῦτο μόνον ἀπελείφθη σύμβολον καὶ κοινώνημα τῆς συγγενείας; πρότερον γὰρ οὐκ ἐγάμουν τὰς ἀφ' αἵματος, ὥσπερ οὐδὲ νῦν τηθίδας οὐδ' ἀδελφὰς γαμοῦσιν, ἀλλ' ὀψὲ συνεχώρησαν ἀνεψιαῖς συνοικεῖν ἐκ τοιαύτης αἰτίας. ἀνὴρ χρημάτων ἐνδεὴς τὰ δ' ἄλλα χρηστὸς καὶ παρ' ὁντινοῦν τῷ δήμῳ τῶν πολι-

6 *Ἀριστοτέλης*] Fragm. 567 7 *πολλαχοῦ* W: *πολλοῦ* 8 *καὶ ταῖς Τρῳάσι* idem: *ταῖς τρῳάσι καὶ* 23 *τηθίδας* Cobetus: *τιτθίδας*

τευομένων ἀρέσκων, ἐπίκληρον ἀνεψιὰν ἔχειν ἔδοξε E καὶ πλουτεῖν ἀπ᾽ αὐτῆς· ἐπὶ τούτῳ δὲ γενομένης αὐτοῦ κατηγορίας, ὁ δῆμος ἀφεὶς τὴν αἰτίαν ἐλέγχειν ἔλυσε τὸ ἔγκλημα, ψηφισάμενος πᾶσιν ἐξεῖναι γαμεῖν ἄχρι ἀνεψιῶν, τὰ δ᾽ ἀνωτέρω κεκωλῦσθαι.

7. ‛Διὰ τί δὲ δῶρον λαβεῖν ἀνδρὶ παρὰ γυναικὸς καὶ γυναικὶ παρ᾽ ἀνδρὸς ἀπείρηται;᾽ πότερον, ὡς Σόλων γράψας τὰς δόσεις κυρίας εἶναι τῶν τελευτώντων, πλὴν εἰ μή τις ἀνάγκῃ συνεχόμενος ἢ γυναικὶ πειθόμενος τὴν μὲν ἀνάγκην ὡς βιαζομένην ὑπεξείλετο, τὴν δ᾽ ἡδονὴν ὡς παραλογιζομένην, F οὕτως ὑπενοήθησαν αἱ γυναικῶν καὶ ἀνδρῶν δόσεις· ἢ φαυλότατον ἡγούμενοι σημεῖον εὐνοίας τὸ διδόναι (διδόασι γὰρ καὶ ἀλλότριοι καὶ μὴ φιλοῦντες) ἐκ τοῦ γάμου τὴν τοιαύτην ἀρέσκειαν ἀνεῖλον, ὅπως ἄμισθον ᾖ καὶ προῖκα καὶ δι᾽ αὐτὸ μὴ δι᾽ ἄλλο τὸ φιλεῖσθαι καὶ φιλεῖν; ἢ ὅτι τῷ λαμβάνειν διαφθειρόμεναι μάλιστα προσίενται τοὺς ἀλλοτρίους, σεμνὸν ἐφάνη τὸ μὴ διδόντας ἀγαπᾶν τοὺς ἰδίους; ἢ μᾶλλον ὅτι δεῖ καὶ γυναιξὶ κοινὰ τὰ ἀνδρῶν εἶναι καὶ 266 ἀνδράσι τὰ γυναικῶν; μανθάνει γὰρ ὁ λαβὼν τὸ δοθὲν ἀλλότριον ἡγεῖσθαι τὸ μὴ δοθέν, ὥστ᾽ ὀλίγον διδόντες ἀλλήλοις τὸ πᾶν ἀφαιροῦνται.

8. ‛Διὰ τί δὲ παρὰ γαμβροῦ καὶ παρὰ πενθεροῦ λαβεῖν ἐκείνοις κεκώλυται δῶρον;᾽ ἦ παρὰ γαμβροῦ μέν, ἵνα μὴ δόξῃ διὰ τοῦ πατρὸς εἰς τὴν γυναῖκα περιχωρεῖν τὸ δῶρον· παρὰ πενθεροῦ δέ, ὅτι τὸν μὴ διδόντα δίκαιον ἐφάνη μηδὲ λαμβάνειν;

25 ἦ Duebnerus hic et infra: ἢ

B 9. ‘Διὰ τί, κἂν ἐξ ἀγροῦ κἂν ἀπὸ ξένης ἐπανίωσιν, ἔχοντες οἴκοι γυναῖκας προπέμπουσι δηλοῦντες αὐταῖς ὅτι παραγίγνονται;’ πότερον ὅτι τοῦτο πιστεύοντός ἐστι τὴν γυναῖκα μηδὲν ῥᾳδιουργεῖν τὸ δ’ ἐξαίφνης καὶ ἀπροσδοκήτως οἷον ἐνέδρα καὶ παρατήρησις, ἢ σπεύδουσιν ὡς ποθούσαις καὶ προσδεχομέναις εὐαγγελίζεσθαι περὶ αὑτῶν; ἢ μᾶλλον αὐτοὶ περὶ ἐκείνων πυθέσθαι ποθοῦσιν, εἰ σῳζομένας καὶ ποθούσας ἐπὶ τῆς οἰκίας καταλαμβάνουσιν; ἢ πλείονες ταῖς γυναιξὶν οἰκονομίαι καὶ ἀσχολίαι, τῶν ἀνδρῶν ἀπόντων, τυγχάνουσι καὶ διαφοραὶ καὶ ὁρμαὶ πρὸς τοὺς ἔνδον· ἵν’ οὖν ἀπαλλαγεῖσα τούτων ἀθόρυβον τῷ ἀνδρὶ παρέχῃ τὴν ὑποδοχὴν καὶ ἡδεῖαν, ἡ προδήλωσις γίγνεται;

C 10. ‘Διὰ τί τοὺς θεοὺς προσκυνοῦντες ἐπικαλύπτονται τὴν κεφαλήν, τῶν δ’ ἀνθρώπων τοῖς ἀξίοις τιμῆς ἀπαντῶντες, κἂν τύχωσιν ἐπὶ τῆς κεφαλῆς ἔχοντες τὸ ἱμάτιον, ἀποκαλύπτονται;’ τοῦτο γὰρ ἔοικε κἀκείνην ἐπιτείνειν τὴν ἀπορίαν. εἰ μὲν οὖν ὁ περὶ Αἰνείου λεγόμενος λόγος ἀληθής ἐστιν, ὅτι τοῦ Διομήδους παρεξιόντος ἐπικαλυψάμενος τὴν θυσίαν ἐπετέλεσε, λόγον ἔχει καὶ ἀκολουθεῖ τῷ συγκαλύπτεσθαι πρὸς τοὺς πολεμίους τὸ τοῖς φίλοις καὶ ἀγαθοῖς ἐντυγχάνοντας ἀποκαλύπτεσθαι· τὸ γὰρ πρὸς τοὺς θεοὺς οὐκ ἴδιόν ἐστιν ἀλλὰ κατὰ συμβεβηκός, καὶ ἀπ’ ἐκείνου μεμένηκε τηρούμενον. εἰ δ’ ἄλλο τι λέγειν χρή, σκόπει μὴ μόνον ἐκεῖνο δεῖ ζητεῖν, δι’ ὃ τοὺς θεοὺς προσκυνοῦντες ἐπικαλύπτονται,

5 παρατήρησις X: παρατηρήσει ἢ W 7 αὑτῶν *: αὐτῶν 11 ὁρμαὶ] ὀργαὶ W

θάτερον δ' ἀκόλουθόν ἐστι. τῶν γὰρ ἀνθρώπων
ἀποκαλύπτονται τοῖς δυνατωτέροις, οὐ τιμὴν αὐτοῖς D
προστιθέντες, ἀλλὰ τὸν φθόνον αὐτῶν μᾶλλον ἀφαι-
ροῦντες, ἵνα μὴ δόξωσι τὰς αὐτὰς τοῖς θεοῖς τιμὰς
ἀπαιτεῖν μηδ' ὑπομένειν μηδὲ χαίρειν θεραπευό-
μενοι παραπλησίως ἐκείνοις. τοὺς δὲ θεοὺς οὕτω
προσεκύνουν ἢ ταπεινοῦντες ἑαυτοὺς τῇ ἐπικρύψει
τῆς κεφαλῆς, ἢ μᾶλλον εὐλαβούμενοί τινα φωνὴν
προσπεσεῖν αὐτοῖς ἔξωθεν εὐχομένοις ἀπαίσιον καὶ
δύσφημον ἄχρι τῶν ὤτων ἀνελάμβανον τὸ ἱμάτιον·
ὅτι γὰρ ἰσχυρῶς ἐφυλάττοντο ταῦτα, δῆλόν ἐστι τῷ
προσιόντας ἐπὶ μαντείαν χαλκωμάτων πατάγῳ περι-
ψοφεῖσθαι. ἢ ὡς Κάστωρ λέγει τὰ Ῥωμαϊκὰ τοῖς E
Πυθαγορικοῖς συνοικειῶν, τὸν ἐν ἡμῖν δαίμονα
δεῖσθαι τῶν ἐκτὸς θεῶν καὶ ἱκετεύειν, τῇ τῆς κεφα-
λῆς ἐπικαλύψει τὴν τῆς ψυχῆς αἰνιττόμενον ὑπὸ τοῦ
σώματος ἐγκάλυψιν καὶ ἀπόκρυψιν.

11. 'Διὰ τί δὲ τῷ Κρόνῳ θύουσιν ἀπαρακα-
λύπτῳ τῇ κεφαλῇ;' πότερον ὅτι τὴν ἐγκάλυψιν
Αἰνείας παρέδωκεν, ἡ δὲ τοῦ Κρόνου θυσία παμπά-
λαιός ἐστιν· ἢ ὅτι τοῖς οὐρανίοις ἐπικαλύπτονται, τὸν
δὲ Κρόνον ἡγοῦνται θεὸν ὑπουδαῖον καὶ χθόνιον;
ἢ ὅτι τῆς ἀληθείας οὐδὲν ἀπόκρυφον ἢ ἐπίσκιον, ἀλη-
θείας δὲ νομίζουσι Ῥωμαῖοι πατέρα τὸν Κρόνον εἶναι;

12. 'Διὰ τί δὲ τὸν Κρόνον πατέρα τῆς ἀλη-
θείας νομίζουσι;' πότερον, ὥσπερ ἔνιοι τῶν φιλοσό-
φων, χρόνον οἴονται τὸν Κρόνον εἶναι, τὸ δ' ἀληθὲς F
εὑρίσκει χρόνος· ἢ τὸν μυθολογούμενον ἐπὶ Κρόνου

13 *Κάστωρ*] vid. Fragm. ill. a C. Muellero Paris. 1844 p. 181

βίον, εἰ δικαιότατος ἦν, εἰκός ἐστι μάλιστα μετέχειν ἀληθείας;

13. ‛Διὰ τί καὶ τῷ λεγομένῳ ‛Ονώρει θύουσιν ἀπαρακαλύπτῳ τῇ κεφαλῇ (τὸν δὲ ‛Ονῶρεμ δόξαν ἄν τις ἢ τιμὴν μεθερμηνεύσειε);’ πότερον διότι λαμπρὸν ἡ δόξα καὶ περιφανὲς καὶ ἀναπεπταμένον, δι’ ἣν
267 αἰτίαν τοῖς ἀγαθοῖς καὶ τιμωμένοις ἀνδράσιν ἀποκαλύπτονται, διὰ ταύτην καὶ τὸν ἐπώνυμον τῆς τιμῆς θεὸν οὕτω προσκυνοῦσι;

14. ‛Διὰ τί τοὺς γονεῖς ἐκκομίζουσιν οἱ μὲν υἱοὶ συγκεκαλυμμένοι, αἱ δὲ θυγατέρες γυμναῖς ταῖς κεφαλαῖς καὶ ταῖς κόμαις λελυμέναις;’ πότερον ὅτι τιμᾶσθαι μὲν ὑπὸ τῶν ἀρρένων δεῖ τοὺς πατέρας ὡς θεοὺς πενθεῖσθαι δ’ ὑπὸ τῶν θυγατέρων ὡς τεθνηκότας, ἑκατέρῳ τὸ οἰκεῖον ὁ νόμος ἀποδοὺς ἐξ ἀμφοτέρων ἐποίησε τὸ ἁρμόττον· ἢ πένθους μὲν οἰκεῖον τὸ μὴ σύνηθες, συνηθέστερον δὲ ταῖς μὲν γυναιξὶν ἐγκεκαλυμμέναις, τοῖς δ’ ἀνδράσιν ἀκαλύ-
B πτοις εἰς τὸ δημόσιον προϊέναι; καὶ γὰρ παρ’ Ἕλλησιν ὅταν δυστυχία τις γένηται, κείρονται μὲν αἱ γυναῖκες κομῶσι δ’ οἱ ἄνδρες, ὅτι τοῖς μὲν τὸ κείρεσθαι ταῖς δὲ τὸ κομᾶν σύνηθές ἐστιν. ἢ τοὺς μὲν υἱοὺς ἐπικαλύπτεσθαι δι’ ἣν εἰρήκαμεν αἰτίαν ἐνομίσθη (καὶ γὰρ ἐπὶ τῶν τάφων ὥς φησι Βάρρων περιστρέφονται, καθάπερ θεῶν ἱερὰ τιμῶντες τὰ τῶν πατέρων μνήματα, καὶ καύσαντες τοὺς γονεῖς, ὅταν ὀστέῳ πρῶτον

5 διότι W: δὲ ὅτι 6 δι’ ἣν] malim ἢ δι’ ἣν 13 μὲν ὑπὸ τῶν ἀρρένων] del. Madvigius 14 ὑπὸ τῶν θυγατέρων] del. idem 24 Βάρρων] cf. De Ling. Lat. V § 23 περιστρέφονται] περιστέφονται male W. cf. Vit. Num. c. 14

ἐντύχωσι, θεὸν γεγονέναι τὸν τεθνηκότα λέγουσι)· ταῖς δὲ γυναιξὶν οὐδ' ὅλως ἐξῆν ἐπικαλύπτεσθαι τὴν κεφαλήν; ἱστορεῖται γοῦν ὅτι πρῶτος μὲν ἐξέβαλε γυναῖκα Σπόριος Καρβίλιος ἐπ' ἀτεκνίᾳ, δεύ- C *τερος δὲ Σουλπίκιος Γάλλος ἐφελκυσαμένην ἰδὼν κατὰ κεφαλῆς τὸ ἱμάτιον, τρίτος δὲ Πόπλιος Σεμπρώνιος ἀγῶνα θεωρήσασαν ἐπιτάφιον.*

15. *'Διὰ τί τὸν Τέρμινον, ᾧ τὰ Τερμινάλια ποιοῦσι, θεὸν νομίζοντες οὐδὲν ἔθυον αὐτῷ ζῷον;' ἢ Ῥωμύλος μὲν ὅρους οὐκ ἔθηκε τῆς χώρας, ὅπως ἐξῇ προϊέναι καὶ ἀποτέμνεσθαι καὶ νομίζειν πᾶσαν ἰδίαν, ὥσπερ ὁ Λάκων εἶπεν, ἧς ἂν τὸ δόρυ ἐφικνῆται· Νομᾶς δὲ Πομπίλιος, ἀνὴρ δίκαιος καὶ πολιτικὸς ὢν καὶ φιλόσοφος γενόμενος, τήν τε χώραν ὡρίσατο πρὸς τοὺς γειτνιῶντας καὶ τοῖς ὅροις ἐπιφημίσας τὸν Τέρμινον ὡς ἐπίσκοπον καὶ φύλακα φιλίας καὶ εἰρήνης ᾤετο δεῖν αἵματος καὶ φόνου καθαρὸν καὶ ἀμίαντον διαφυλάττειν;*

16. *'Διὰ τί δούλαις τὸ τῆς Λευκοθέας ἱερὸν* D *ἄβατόν ἐστι, μίαν δὲ μόνην αἱ γυναῖκες εἰσάγουσαι παίουσιν ἐπὶ κόρρης καὶ ῥαπίζουσιν;' ἢ τὸ μὲν ταύτην ῥαπίζεσθαι σύμβολόν ἐστι τοῦ μὴ ἐξεῖναι; κωλύουσι δὲ τὰς ἄλλας διὰ τὸν μῦθον. ἡ γὰρ Ἰνὼ ζηλοτυπήσασα δούλην ἐπὶ τῷ ἀνδρὶ λέγεται περὶ τὸν υἱὸν ἐκμανῆναι· τὴν δὲ δούλην Ἕλληνες Αἰτωλίδα γένει φασὶν εἶναι, καλεῖσθαι δ' Ἀντιφέραν. διὸ καὶ παρ' ἡμῖν ἐν Χαιρωνείᾳ πρὸ τοῦ σηκοῦ τῆς Λευκοθέας ὁ νεωκόρος λαβὼν μάστιγα κηρύσσει*

10 *ἤ* Duebnerus hic et infra: *ἢ*

‘μὴ δοῦλον εἰσιέναι μὴ δούλαν, μὴ Αἰτωλὸν μὴ Αἰτωλάν.’

E 17. ‘Διὰ τί παρὰ τῇ θεῷ ταύτῃ τοῖς μὲν ἰδίοις τέκνοις οὐκ εὔχονται τἀγαθὰ τοῖς δὲ τῶν ἀδελφῶν;’ πότερον ὅτι φιλάδελφος μέν τις ἡ Ἰνὼ καὶ τὸν ἐκ τῆς ἀδελφῆς ἐτιθηνήσατο, ἡ δὲ περὶ τοὺς ἑαυτῆς παῖδας ἐδυστύχησεν· ἢ καὶ ἄλλως ἠθικὸν καὶ καλὸν τὸ ἔθος καὶ πολλὴν παρασκευάζον εὔνοιαν ταῖς οἰκειότησι;

18. ‘Διὰ τί τῷ Ἡρακλεῖ πολλοὶ τῶν πλουσίων ἐδεκάτευον τὰς οὐσίας;’ πότερον ὅτι κἀκεῖνος ἐν Ῥώμῃ τῶν Γηρυόνου βοῶν ἀπέθυσε τὴν δεκάτην,
F ἢ ὅτι Ῥωμαίους ὑπὸ Τυρρηνῶν δεκατευομένους ἀπήλλαξεν; ἢ ταῦτα μὲν οὐκ εἶχε τὴν ἱστορίαν ἀξιόπιστον, ὡς δ’ ἀδηφάγῳ τινὶ τῷ Ἡρακλεῖ καὶ εὐθοίνῳ δαψιλῶς καὶ ἀφθόνως ἀπέθυον; ἢ μᾶλλον ὡς ἐπαχθῆ τοῖς πολίταις τὸν ὑπερβάλλοντα πλοῦτον κολούοντες καὶ καθάπερ εὐεξίας ἐπ’ ἄκρον εὐσωματούσης ἀφαιροῦντες, ᾤοντο μάλιστα τιμᾶσθαι τὸν Ἡρακλέα καὶ χαίρειν ταῖς τοιαύταις ἀποχρήσεσι καὶ συστολαῖς τῶν περιττῶν, εὐτελῆ καὶ αὐτάρκη καὶ ἀπέριττον τῷ βίῳ γενόμενον;

19. ‘Διὰ τί τὸν Ἰανουάριον μῆνα νέου ἔτους
268 ἀρχὴν λαμβάνουσι;’ τὸ γὰρ παλαιὸν ὁ Μάρτιος ἠριθμεῖτο πρότερος, ὡς ἄλλοις τε πολλοῖς δῆλόν ἐστι τεκμηρίοις καὶ μάλιστα τῷ τὸν πέμπτον ἀπὸ τοῦ Μαρτίου Πέμπτον καὶ τὸν ἕκτον Ἕκτον ὀνομάζεσθαι, καὶ τοὺς ἄλλους ἐφεξῆς ἄχρι τοῦ τελευταίου, ὃν Δεκέμβριον καλοῦσιν ἀπὸ τοῦ Μαρτίου δέκατον ἀριθμούμενον. ἐξ οὗ δὴ καὶ παρέστη τισὶν οἴεσθαι

13 ἔχει? 19 ἀποχρήσεσι] ἀποκρίσεσι vel ἀποχωρίσεσι W

καὶ λέγειν, ὡς οὐ δώδεκα μησὶν ἀλλὰ δέκα συνεπλήρουν οἱ τότε Ῥωμαῖοι τὸν ἐνιαυτὸν ἐνίοις τῶν μηνῶν ἡμέρας πλείονας τῶν τριάκοντα προστιθέντες. ἄλλοι δ' ἱστοροῦσι τὸν μὲν Δεκέμβριον ἀπὸ τοῦ B
Μαρτίου δέκατον εἶναι, τὸν δ' Ἰανουάριον ἑνδέκατον, τὸν δὲ Φεβρουάριον δωδέκατον, ἐν ᾧ καθαρμοῖς τε χρῶνται καὶ τοῖς φθιμένοις ἐναγίζουσι τοῦ ἐνιαυτοῦ τελευτῶντος. μετατεθῆναι δὲ τούτους καὶ γενέσθαι τὸν Ἰανουάριον πρῶτον, ὅτι τῇ νουμηνίᾳ τούτου τοῦ μηνός, ἣν ἡμέραν καλάνδας Ἰανουαρίας καλοῦσιν, οἱ πρῶτοι κατεστάθησαν ὕπατοι, τῶν βασιλέων ἐκπεσόντων. πιθανώτεροι δ' εἰσὶν οἱ λέγοντες, ὅτι τὸν μὲν Μάρτιον ὁ Ῥωμύλος πολεμικὸς καὶ ἀρειμάνιος ὢν καὶ δοκῶν ἐξ Ἄρεος γεγονέναι προέταξε τῶν μηνῶν, ἐπώνυμον ὄντα τοῦ Ἄρεος· Νομᾶς δ' αὖθις εἰρηνικὸς γενόμενος καὶ πρὸς ἔργα τῆς γῆς C
φιλοτιμούμενος τρέψαι τὴν πόλιν ἀποστῆσαι δὲ τῶν πολεμικῶν, τῷ Ἰανουαρίῳ τὴν ἡγεμονίαν ἔδωκε καὶ τὸν Ἰανὸν εἰς τιμὰς προήγαγε μεγάλας, ὡς πολιτικὸν καὶ γεωργικὸν μᾶλλον ἢ πολεμικὸν γενόμενον. ὅρα δὲ μὴ μᾶλλον ὁ Νομᾶς τῇ φύσει προσήκουσαν ἀρχὴν ἔλαβε τοῦ ἔτους ὡς πρὸς ἡμᾶς. καθόλου μὲν γὰρ οὐδέν ἐστι φύσει τῶν ἐν κύκλῳ περιφερομένων οὔτ' ἔσχατον οὔτε πρῶτον, νόμῳ δ' ἄλλην ἄλλοι τοῦ χρόνου λαμβάνουσιν ἀρχήν· ἄριστα δ' οἱ τὴν D
μετὰ τροπὰς χειμερινὰς λαμβάνοντες, ὁπηνίκα τοῦ πρόσω βαδίζειν πεπαυμένος ὁ ἥλιος ἐπιστρέφει καὶ ἀνακάμπτει πάλιν πρὸς ἡμᾶς· γίγνεται γὰρ

2 ἐνίοις W: ἐνίας 15. 21 Νομᾶς *: νουμᾶς

αὐτοῖς τρόπον τινὰ καὶ φύσει, τὸν μὲν τοῦ φωτὸς αὔξουσα χρόνον ἡμῖν, μειοῦσα δὲ τὸν τοῦ σκότους, ἐγγυτέρω δὲ ποιοῦσα τὸν κύριον καὶ ἡγεμόνα τῆς ῥευστῆς οὐσίας ἁπάσης.

20. 'Διὰ τί τῇ γυναικείᾳ θεῷ, ἣν Ἀγαθὴν καλοῦσιν, κοσμοῦσαι σηκὸν αἱ γυναῖκες οἴκοι μυρσίνας οὐκ εἰσφέρουσι, καίτοι πᾶσι φιλοτιμούμεναι χρῆσθαι τοῖς βλαστάνουσι καὶ ἀνθοῦσι;' πότερον ὡς οἱ μυθολογοῦντες ἱστοροῦσι Φαύνου μὲν ἦν γυνὴ τοῦ μάντεως, οἴνῳ δὲ χρησαμένη κρύφα καὶ μὴ λαθοῦσα
E ῥάβδοις ὑπὸ τοῦ ἀνδρὸς ἐκολάσθη μυρσίνης (ὅθεν μυρσίνην μὲν οὐκ εἰσφέρουσιν, οἶνον δ' αὐτῇ σπένδουσι, γάλα προσαγορεύουσαι)· ἢ πολλῶν μὲν ἁγναὶ μάλιστα δ' ἀφροδισίων τὴν ἱερουργίαν ἐκείνην ἐπιτελοῦσιν; οὐ γὰρ μόνον ἐξοικίζουσι τοὺς ἄνδρας, ἀλλὰ καὶ πᾶν ἄρρεν ἐξελαύνουσι τῆς οἰκίας, ὅταν τὰ νενομισμένα τῇ θεῷ ποιῶσι. τὴν οὖν μυρσίνην ὡς ἱερὰν Ἀφροδίτης ἀφοσιοῦνται· καὶ γὰρ ἣν νῦν Μουρκίαν Ἀφροδίτην καλοῦσι, Μυρτίαν τὸ παλαιὸν ὡς ἔοικεν ὠνόμαζον.

21. 'Διὰ τί τὸν δρυοκολάπτην οἱ Λατῖνοι σέβονται,
F καὶ ἀπέχονται πάντες ἰσχυρῶς τοῦ ὄρνιθος;' πότερον ὅτι τὸν Πῖκον λέγουσιν ὑπὸ φαρμάκων τῆς γυναικὸς μεταβαλεῖν τὴν φύσιν καὶ γενόμενον δρυοκολάπτην ἀποφθέγγεσθαι λόγια καὶ χρησμῳδεῖν τοῖς ἐρωτῶσιν· ἢ τοῦτο μὲν ἄπιστόν ἐστιν ὅλως καὶ τερατῶδες, ἅτερος δὲ τῶν μύθων πιθανώ-

1 αὐτοῖς] αὖθις W   καὶ φύσει] καινὴ φύσις Huttenus
9 Φαύνου M: φαυλίου   18 Ἀφροδίτης Schellensius: ἀφροδίτη

τερος, ὡς ἄρα τοῖς περὶ Ῥωμύλον καὶ Ῥῶμον ἐκτεθεῖσιν οὐ μόνον λύκαινα θηλὴν ἐπεῖχεν, ἀλλὰ καὶ δρυοκολάπτης τις ἐπιφοιτῶν ἐψώμιζεν; ἐπιεικῶς γὰρ ἔτι καὶ νῦν τοῖς ὑπορείοις καὶ δρυμώδεσι τόποις ὅπου φαίνεται δρυοκολάπτης, ἐκεῖ καὶ λύκος, ὡς Νιγίδιος ἱστορεῖ. ἢ μᾶλλον, ὡς ἄλλον ἄλλου θεοῦ, καὶ τοῦτον Ἄρεος ἱερὸν νομίζουσι τὸν ὄρνιν; καὶ γὰρ εὐθαρσὴς καὶ γαῦρός ἐστι καὶ τὸ ῥύγχος οὕτως 269
ἔχει κραταιόν, ὥστε δρῦς ἀνατρέπειν, ὅταν κόπτων πρὸς τὴν ἐντεριώνην ἐξίκηται.

22. ‛Διὰ τί τὸν Ἰανὸν διπρόσωπον οἴονται γεγονέναι καὶ γράφουσιν οὕτω καὶ πλάττουσιν;’ πότερον ὅτι τῷ μὲν γένει Ἕλλην ἐκ Περραιβίας ἦν, ὡς ἱστοροῦσιν, διαβὰς δ' εἰς Ἰταλίαν καὶ συνοικήσας τοῖς αὐτόθι βαρβάροις μετέβαλε καὶ γλῶτταν καὶ δίαιταν· ἢ μᾶλλον ὅτι τοὺς περὶ τὴν Ἰταλίαν αὐτὸς ἀγρίοις καὶ ἀνόμοις χρωμένους ἔθεσιν εἰς ἕτερον βίου σχῆμα, πείσας γεωργεῖν καὶ πολιτεύεσθαι, μετέβαλε καὶ μετεκόσμησε;

23. ‛Διὰ τί τὰ πρὸς τὰς ταφὰς πιπράσκουσιν
ἐν τῷ τεμένει τῷ Λιβιτίνης, νομίζοντες Ἀφροδίτην B
εἶναι τὴν Λιβιτίνην;’ πότερον καὶ τοῦτο τῶν Νομᾶ τοῦ βασιλέως φιλοσοφημάτων ἕν ἐστιν, ὅπως μανθάνωσι μὴ δυσχεραίνειν τὰ τοιαῦτα μηδὲ φεύγειν ὡς μιασμόν· ἢ μᾶλλον ὑπόμνησίς ἐστι τοῦ φθαρτὸν εἶναι τὸ γεννητόν, ὡς μιᾶς θεοῦ τὰς γενέσεις καὶ τὰς τελευτὰς ἐπισκοπούσης; καὶ γὰρ ἐν Δελφοῖς

4 τοῖς] ἐν τοῖς? 16 αὐτὸς] ἀνθρώπους Abreschius 20 πρὸς] περὶ Vit. Num. c. 12 26 γενητόν?

Ἀφροδίτης ἐπιτυμβίας ἀγαλμάτιόν ἐστι πρὸς ὃ τοὺς κατοιχομένους ἐπὶ τὰς χοὰς ἀνακαλοῦνται.

24. ‛Διὰ τί τρεῖς τοῦ μηνὸς ἀρχὰς καὶ προθεσμίας ἔχουσιν, οὐ ταὐτὸ διάστημα τῶν ἡμερῶν μεταξὺ λαμβάνοντες;’ πότερον ὡς οἱ περὶ τὸν Ἰόβαν
C ἱστοροῦσιν ὅτι ταῖς καλάνδαις ἐκάλουν τὸν δῆμον οἱ ἄρχοντες καὶ κατήγγελλον εἰς πέμπτην τὰς νόννας, εἰδοὺς δ’ ἡμέραν ἱερὰν ἐνόμιζον· ἢ μᾶλλον ὅτι ταῖς τῆς σελήνης διαφοραῖς ὁρίζοντες τὸν χρόνον, ἑώρων ἐν τρισὶ γιγνομένην διαφοραῖς τὴν σελήνην κατὰ μῆνα ταῖς μεγίσταις, πρώτῃ μὲν ὅτε κρύπτεται σύνοδον ποιησαμένη πρὸς ἥλιον, δευτέρᾳ δ’ ὅταν ἐκφυγοῦσα τὰς αὐγὰς τοῦ ἡλίου καταφανὴς πρῶτον ἐπὶ δυσμῶν γένηται, τρίτῃ δὲ τῇ περὶ τὴν πλήρωσιν αὐτῆς πανσελήνου γενομένης; ὀνομάζουσι
D δὲ τὸν μὲν ἀφανισμὸν αὐτῆς καὶ τὴν κρύψιν ‛καλάνδας’, ὅτι πᾶν τὸ κρύφα καὶ λάθρα ‛κλάμ’ καὶ ‛κηλᾶρε’ τὸ λανθάνειν· τὴν δὲ πρώτην φάσιν ‛νόννας’ τῷ δικαιοτάτῳ τῶν ὀνομάτων, νουμηνίαν οὖσαν· καὶ γὰρ αὐτοὶ τὸ νέον καὶ καινὸν ὥσπερ ἡμεῖς προσαγορεύουσι· τὰς δ’ ‛εἰδούς’ ἢ διὰ τὸ κάλλος καὶ τὸ εἶδος ὁλοκλήρου καθισταμένης τῆς σελήνης ἢ τῷ Διὶ τὴν ἐπωνυμίαν ἀποδιδόντες. οὐ δεῖ δὲ τῶν ἡμερῶν τὸν ἀκριβέστατον ἀριθμὸν διώκειν οὐδὲ τῷ παρ’ ὀλίγον συκοφαντεῖν, ὅπου καὶ νῦν ἐπίδοσιν τοσαύτην ἀστρολογίας ἐχούσης, περιγίγνεται τῆς ἐμ-

5 Ἰόβαν] Mueller. 3 p. 470 11 πρώτῃ — δευτέρᾳ *: πρώτη — δευτέρα 15 γενομένης Madvigius: γινομένης 18 φάσιν Polus: φασὶ

πειρίας τῶν μαθηματικῶν ἢ τῆς κινήσεως ἀνωμαλία διαφεύγουσα τὸν λόγον.

25. ‘Διὰ τί τὴν μετὰ καλάνδας ἡμέραν καὶ νόννας E καὶ εἰδοὺς ἀνέξοδον καὶ ἀνεκδήμητον τίθενται;’ πότερον, ὡς οἱ πλεῖστοι νομίζουσι καὶ Λίβιος ἱστορεῖ, ὅτι μετὰ τὰς Κυιντιλίας εἰδούς, ἃς νῦν Ἰουλίας καλοῦσιν, ἐξάγοντες οἱ χιλίαρχοι τὸ στράτευμα περὶ τὸν Ἀλλίαν ποταμὸν ἐκρατήθησαν ὑπὸ Κελτῶν μάχῃ καὶ τὴν πόλιν ἀπώλεσαν· νομισθείσης δὲ τῆς μετὰ τὰς εἰδοὺς ἀποφράδος προήγαγεν ὥσπερ φιλεῖ πορρωτέρω τὸ ἔθος ἡ δεισιδαιμονία καὶ κατέστησεν εἰς τὴν αὐτὴν εὐλάβειαν τήν τε μετὰ νόννας καὶ τὴν μετὰ καλάνδας· ἢ τοῦτο μὲν ἔχει πολλὰς ἀλογίας; F ἄλλῃ τε γὰρ ἡμέρᾳ τὴν μάχην ἡττήθησαν, ἣν Ἀλλιάδα διὰ τὸν ποταμὸν καλοῦντες ἀφοσιοῦνται, καὶ πολλῶν ἀποφράδων οὐσῶν οὐκ ἐν παντὶ μηνὶ τὰς ὁμωνύμους παραφυλάττουσιν, ἀλλ' ἑκάστην ἐν ᾧ συνέτυχε· τό τε ταῖς μετὰ νόννας καὶ καλάνδας ἁπλῶς ἁπάσαις προστρίψασθαι τὴν δεισιδαιμονίαν ἀπιθανώτατον. ὅρα δὴ μή, καθάπερ τῶν μηνῶν τὸν μὲν πρῶτον ὀλυμπίοις θεοῖς ἱέρωσαν, τὸν δὲ δεύτερον χθονίοις ἐν ᾧ καὶ καθαρμούς τινας τελοῦσι καὶ τοῖς κατοιχομένοις ἐναγίζουσιν, οὕτω καὶ τῶν ἡμερῶν 270 τὰς μὲν οἷον ἀρχὰς καὶ κυρίας ὥσπερ εἴρηται τρεῖς οὔσας ἑορτασίμους καὶ ἱερὰς ἔθεντο, τὰς δ' ἐφεξῆς δαίμοσι καὶ φθιτοῖς ἐπιφημίσαντες ἀποφράδας καὶ ἀπράκτους ἐνόμισαν. καὶ γὰρ Ἕλληνες ἐν

5 *Λίβιος* V 37 sqq. cf. VI 1 8. 14 malim *Ἀλίαν* et *Ἀλιάδα* 9 *τῆς* M 10 *προήγαγεν* W: *προσταγέν*

τῇ νουμηνίᾳ τοὺς θεοὺς σεβόμενοι, τὴν δευτέραν ἥρωσι καὶ δαίμοσιν ἀποδεδώκασι καὶ τῶν κρατήρων ὁ δεύτερος ἥρωσιν ἐπικίρναται καὶ ἡρωίσι. καὶ ὅλως ἀριθμός τις ὁ χρόνος, ἀριθμοῦ δὲ θεῖον ἡ ἀρχή· μονὰς γάρ ἐστιν. ἡ δὲ μετ' αὐτὴν δυὰς ἀντίπαλος τῇ ἀρχῇ καὶ ἀρτίων πρώτη. τὸ δ' ἄρτιον
B ἐνδεὲς καὶ ἀτελὲς καὶ ἀόριστον, ὥσπερ αὖ τὸ περιττὸν ὥρισται καὶ περαίνει καὶ τέλειόν ἐστι. διὸ καὶ νόνναι μὲν ἐπιβάλλουσι διὰ πέμπτης καλάνδαις, νόνναις δ' εἰδοὶ δι' ἐνάτης. ὁρίζουσι γὰρ οἱ περισσοὶ τὰς ἀρχάς· οἱ δὲ μετὰ τὰς ἀρχὰς ἄρτιοι ὄντες οὐκ ἔχουσι τάξιν οὐδὲ δύναμιν, ὅθεν οὐκ ἄρχονται πράξεως οὐδ' ἀποδημίας ἐν ταύταις. ἢ καὶ τὸ τοῦ Θεμιστοκλέους ἔχει λόγον, ἐρίσαι ποτὲ τὴν ὑστεραίαν πρὸς τὴν ἑορτήν, ἐκείνης μὲν ἀσχολίαν καὶ κόπον ἐχούσης πολύν, αὐτὴ δὲ παρέχουσα μετὰ σχολῆς καὶ ἡσυχίας ἀπολαῦσαι τῶν παρεσκευασμένων πρὸς τὴν ἑορτήν· ἀποκρίνασθαι δὲ πρὸς ταῦτα τὴν ἑορτήν
C 'ἀληθῆ λέγεις, ἀλλ' ἐμοῦ μὴ γενομένης οὐδ' ἂν σὺ ἦς;' ταῦτα δ' ὁ Θεμιστοκλῆς πρὸς τοὺς αὖθις ἔλεγε στρατηγοὺς τῶν Ἀθηναίων ὡς οὐκ ἂν οὐδαμοῦ φανέντας, εἰ μὴ τὴν πόλιν αὐτὸς ἔσωσεν. ἐπεὶ τοίνυν πᾶσα μὲν ἀξία σπουδῆς ἀποδημία καὶ πρᾶξις οἰκονομίας δεῖται καὶ παρασκευῆς, Ῥωμαῖοι δὲ τὸ παλαιὸν ἐν ταῖς ἑορταῖς οὐδὲν ᾠκονόμουν οὐδ' ἐφρόντιζον ἀλλ' ἢ περὶ τοὺς θεοὺς ἠσχολοῦντο καὶ τοῦτ' ἔπραττον, ὥσπερ ἔτι νῦν προκηρύττουσιν οἱ

15 ἐκείνης] ὡς ἐκείνης? 16 αὐτὴ δὲ παρέχουσα] αὐτὴν δὲ παρέχουσαν? 17 πρὸς τὴν ἑορτὴν] deleverim

ἱερεῖς ἐπὶ τὰς θυσίας βαδίζοντες, εἰκότως εὐθὺς οὐκ ἐξεδήμουν μετὰ τὰς ἑορτὰς οὐδ' ἔπραττον (ἀπαράσκευοι γὰρ ἦσαν), ἀλλ' ἐκφροντίζοντες οἴκοι καὶ παρασκευαζόμενοι τὴν ἡμέραν ἐκείνην διετέλουν. D ἢ καθάπερ ἔτι νῦν προσευξάμενοι καὶ προσκυνήσαντες ἐν τοῖς ἱεροῖς ἐπιμένειν καὶ καθίζειν εἰώθασιν, οὕτως οὐκ εὐθὺς ἐπέβαλλον ταῖς ἱεραῖς ἡμέραις τὰς ἐνεργούς, ἀλλ' ἐποίουν τι διάλειμμα καὶ διάστημα, πολλὰ τῶν πραγμάτων δυσχερῆ καὶ ἀβούλητα φερόντων;

26. ʻΔιὰ τί λευκὰ φοροῦσιν ἐν τοῖς πένθεσιν αἱ γυναῖκες ἱμάτια καὶ λευκοὺς κεκρυφάλους;' πότερον ὡς τοὺς μάγους φασὶν πρὸς τὸν Ἅιδην καὶ τὸ σκότος ἀντιταττομένους, τῷ δὲ φωτεινῷ καὶ λαμπρῷ συνεξομοιοῦντας ἑαυτοὺς τοῦτο ποιεῖν· ἤ, καθάπερ τὸ σῶμα τοῦ τεθνηκότος ἀμφιεννύουσι λευκοῖς, καὶ τοὺς E προσήκοντας ἀξιοῦσι; τὸ δὲ σῶμα κοσμοῦσιν οὕτως, ἐπεὶ μὴ δύνανται τὴν ψυχήν· βούλονται δ' ἐκείνην λαμπρὰν καὶ καθαρὰν προπέμπειν, ὡς ἀφειμένην ἤδη καὶ διηγωνισμένην μέγαν ἀγῶνα καὶ ποικίλον. ἢ τὸ μὲν λιτὸν ἐν τούτοις μάλιστα καὶ τὸ ἁπλοῦν πρέπει; τῶν δὲ βαπτῶν τὰ μὲν καὶ πολυτέλειαν ἐμφαίνει τὰ δὲ περιεργίαν· οὐ γὰρ ἧττον ἔστι πρὸς τὸ μέλαν ἢ τὸ ἁλουργὸν εἰπεῖν ʻδολερὰ μὲν τὰ εἵματα, δολερὰ δὲ τὰ χρώματα.' τὸ δ' αὐτόχρουν F μέλαν οὐχ ὑπὸ τέχνης ἀλλὰ φύσει βαπτόν ἐστι, καὶ μεμιγμένον τῷ σκιώδει κεκράτηται. μόνον οὖν τὸ λευκὸν εἰλικρινὲς καὶ ἀμιγὲς καὶ ἀμίαντόν ἐστι βαφῇ καὶ ἀμίμητον· οἰκειότατον οὖν τοῖς θαπτομένοις.

23 δολερὰ] Herod. III 22 27 βαφῇ καὶ] καὶ βαφῇ X

καὶ γὰρ ὁ τεθνηκὼς ἁπλοῦν τι γέγονε καὶ ἀμιγὲς καὶ
καθαρὸν ἀτεχνῶς οὐδὲν ἀλλ' ἢ φαρμάκου δευσοποιοῦ
τοῦ σώματος ἀπηλλαγμένος. ἐν δ' Ἄργει λευκὰ φοροῦ-
σιν ἐν τοῖς πένθεσιν, ὡς Σωκράτης φησίν, ὑδατόκλυστα.

27. 'Διὰ τί πᾶν τεῖχος ἀβέβηλον καὶ ἱερὸν νομί-
271 ζουσι, τὰς δὲ πύλας οὐ νομίζουσιν;' ἢ καθάπερ
ἔγραψε Βάρρων τὸ μὲν τεῖχος ἱερὸν δεῖ νομίζειν,
ὅπως ὑπὲρ αὐτοῦ μάχωνται προθύμως καὶ ἀποθνή-
σκωσιν; οὕτω γὰρ δοκεῖ καὶ Ῥωμύλος ἀποκτεῖναι
τὸν ἀδελφὸν ὡς ἄβατον καὶ ἱερὸν τόπον ἐπιχει-
ροῦντα διαπηδᾶν καὶ ποιεῖν ὑπερβατὸν καὶ βέβηλον.
τὰς δὲ πύλας οὐχ οἷόν τ' ἦν ἀφιερῶσαι, δι' ὧν
ἄλλα τε πολλὰ τῶν ἀναγκαίων καὶ τοὺς νεκροὺς ἐκ-
κομίζουσιν. ὅθεν οἱ πόλιν ἀπ' ἀρχῆς κτίζοντες, ὅσον
ἂν μέλλωσι τόπον ἀνοικοδομεῖν ἐπίασιν ἀρότρῳ, βοῦν
ἄρρενα καὶ θήλειαν ὑποζεύξαντες· ὅταν δὲ τὰ τείχη
περιορίζωσι, τὰς τῶν πυλῶν χώρας διαμετροῦντες τὴν
B ὕννιν ὑφαιροῦσι, καὶ μεταφέρουσιν οὕτω τὸ ἄροτρον,
ὡς τὴν ἀρουμένην πᾶσαν ἱερὰν καὶ ἄσυλον ἐσομένην.

28. 'Διὰ τί τοὺς παῖδας, ὅταν ὀμνύωσι τὸν
Ἡρακλέα, κωλύουσιν ὑπὸ στέγῃ τοῦτο ποιεῖν καὶ
κελεύουσιν εἰς ὕπαιθρον προϊέναι;' πότερον ὡς
ἔνιοι λέγουσιν οὐκ οἰκουρίᾳ τὸν Ἡρακλέα χαίρειν
ἀλλ' ὑπαίθρῳ βίῳ καὶ θυραυλίαις νομίζοντες· ἢ
μᾶλλον, ὅτι τῶν θεῶν οὐκ ἐπιχώριος οὗτος ἀλλὰ
πόρρωθεν καὶ ξένος; οὐδὲ γὰρ τὸν Διόνυσον ὀμνύ-
ουσιν ὑπὸ στέγῃ, ξένον ὄντα καὶ αὐτόν, εἴπερ

4 Σωκράτης] Mueller. 4 p. 498. 27 εἴπερ — Διόνυσος] suspecta W. Fort. εἴπερ — Διόνυσος ὁ Βάκχος

ἐστὶ Διόνυσος. ἢ ταῦτα μὲν λέγεται καὶ παίζεται πρὸς τοὺς παῖδας, ἄλλως δ' ἐπίσχεσίς ἐστι τῆς πρὸς C
τὸν ὅρκον εὐχερείας καὶ ταχύτητος τὸ γιγνόμενον, ὡς Φαβωρῖνος ἔλεγε; τὸ γὰρ ὥσπερ ἐκ παρασκευῆς μέλλησιν ἐμποιεῖ καὶ βουλεύσασθαι δίδωσι. συμβάλοιτο δ' ἄν τις τῷ Φαβωρίνῳ πρὸς τὸ μὴ κοινὸν ἀλλ' ἴδιον εἶναι τοῦ θεοῦ τούτου τὸ γιγνόμενον ἐκ τῶν περὶ Ἡρακλέους λεγομένων. ἱστορεῖται γὰρ οὕτως εὐλαβὴς γεγονέναι πρὸς ὅρκον, ὥσθ' ἅπαξ ὀμόσαι καὶ μόνῳ Φυλεῖ τῷ Αὐγέου· διὸ καὶ τὴν Πυθίαν προφέρειν τὰ ὅρκια ταῦτα Λακεδαιμονίοις ὡς 'ἐμπεδοῦσι λῷον εἴη καὶ ἄμεινον.'

29. 'Διὰ τί τὴν γαμουμένην οὐκ ἐῶσιν αὐτὴν D
ὑπερβῆναι τὸν οὐδὸν τῆς οἰκίας, ἀλλ' ὑπεραίρουσιν οἱ προπέμποντες;' πότερον ὅτι καὶ τὰς πρώτας γυναῖκας ἁρπάσαντες οὕτως εἰσήνεγκαν, αὐταὶ δ' οὐκ εἰσῆλθον· ἢ βούλονται δοκεῖν εἰσιέναι βιαζομένας οὐχ ἑκούσας, ὅπου μέλλουσι διαλύειν τὴν παρθενίαν; ἢ συμβολόν ἐστι τοῦ μηδ' ἐξιέναι δι' αὐτῆς μηδὲ καταλιπεῖν τὴν οἰκίαν, εἰ μὴ βιασθείη, καθάπερ καὶ εἰσῆλθε βιασθεῖσα; καὶ γὰρ παρ' ἡμῖν ἐν Βοιωτίᾳ κάουσι πρὸ τῆς θύρας τὸν ἄξονα τῆς ἁμάξης, ἐμφαίνοντες δεῖν τὴν νύμφην ἐμμένειν ὡς ἀνῃρημένου τοῦ ἀπάξοντος.

30. 'Διὰ τί τὴν νύμφην εἰσάγοντες λέγειν κελεύουσιν 'ὅπου σὺ Γάιος, ἐγὼ Γαΐα';' πότερον ὥσπερ E
ἐπὶ ῥητοῖς εὐθὺς εἴσεισι τῷ κοινωνεῖν ἁπάντων καὶ συνάρχειν (καὶ τὸ μὲν δηλούμενόν ἐστιν 'ὅπου σὺ

2 ἄλλως δ'] ἄλλως, ἀληθῶς δ' W 20 καταλείπειν?

κύριος καὶ οἰκοδεσπότης, καὶ ἐγὼ κυρία καὶ οἰκοδέσποινα·' τοῖς δ' ὀνόμασι τούτοις ἄλλως κέχρηνται κοινοῖς οὖσιν, ὥσπερ οἱ νομικοὶ Γάιον Σήιον καὶ Λούκιον Τίτιον, καὶ οἱ φιλόσοφοι Δίωνα καὶ Θέωνα παραλαμβάνουσιν)· ἢ διὰ Γαΐαν Καικιλίαν καλὴν καὶ ἀγαθὴν γυναῖκα, τῶν Ταρκυνίου παίδων ἑνὶ συνοικήσασαν, ἧς ἐν τῷ τοῦ Σάγκτου ἱερῷ χαλκοῦς ἀνδριὰς ἕστηκεν; ἔκειτο δὲ πάλαι καὶ σανδάλια καὶ ἄτρακτοι, τὸ μὲν οἰκουρίας αὐτῆς, τὸ δ' ἐνεργείας σύμβολον.

F 31. *'Διὰ τί ὁ πολυθρύλητος ᾄδεται Ταλάσιος ἐν τοῖς γάμοις;' πότερον ἀπὸ τῆς ταλασίας (καὶ γὰρ τὸν τάλαρον τάλασον ὀνομάζουσι· καὶ τὴν νύμφην εἰσάγοντες νάκος ὑποστρωννύουσιν· αὐτὴ δ' εἰσφέρει μὲν ἠλακάτην καὶ τὴν ἄτρακτον, ἐρίῳ δὲ τὴν θύραν περιστέφει τοῦ ἀνδρός)· ἢ τὸ λεγόμενον ὑπὸ τῶν ἱστορικῶν ἀληθές, ὅτι νεανίας ἦν τις λαμπρὸς ἐν τοῖς πολεμικοῖς καὶ τἄλλα χρηστὸς ὄνομα Ταλάσιος· ἐπεὶ δ' ἥρπαξον οἱ Ῥωμαῖοι τὰς τῶν Σαβίνων* 272 *θυγατέρας ἐλθούσας ἐπὶ θέαν, ἐκομίζετο τῷ Ταλασίῳ παρθένος ἐκπρεπὴς τὴν ὄψιν ὑπὸ δημοτικῶν τινων καὶ πελατῶν τοῦ Ταλασίου, βοώντων ὑπὲρ ἀσφαλείας καὶ τοῦ μηδένα πελάζειν μηδ' ἀντιλαμβάνεσθαι τῆς παιδός, ὡς Ταλασίῳ γυνὴ φέροιτο. τιμῶντες οὖν οἱ λοιποὶ τὸν Ταλάσιον καὶ συνευχόμενοι καὶ συνευφημοῦντες εἵποντο καὶ παρέπεμπον· ὅθεν, εὐτυχοῦς γάμου γενομένου, καὶ τοῖς ἄλλοις*

7 *Σάγκτου*] *Σάγκου*? 13 *τάλασον* X: *τάλαντον* 22 *πελατῶν* W: *πελαστῶν*

εἰθίσθησαν ἐπιφωνεῖν τὸν Ταλάσιον, ὥσπερ Ἕλληνες B τὸν Ὑμέναιον.

32. ‘Διὰ τί τοῦ Μαΐου περὶ τὴν πανσέληνον ἀπὸ τῆς ξυλίνης γεφύρας εἴδωλα ῥιπτοῦντες ἀνθρώπων εἰς τὸν ποταμὸν Ἀργείους τὰ ῥιπτούμενα καλοῦσιν;’ ἢ τὸ παλαιὸν οἱ περὶ τὸν τόπον οἰκοῦντες βάρβαροι τοὺς ἁλισκομένους Ἕλληνας οὕτως ἀπώλλυσαν· Ἡρακλῆς δὲ θαυμασθεὶς ὑπ’ αὐτῶν ἔπαυσε μὲν τὴν ξενοκτονίαν, ἐδίδαξε δὲ τὸ ἔθος καὶ τὴν δεισιδαιμονίαν ἀπομιμουμένους εἴδωλα ῥιπτεῖν; Ἀργείους δὲ τοὺς Ἕλληνας οἱ παλαιοὶ πάντας ὁμαλῶς προσηγόρευον. εἰ μὴ νὴ Δία τῶν Ἀρκάδων πολεμίους καὶ τοὺς Ἀργείους διὰ τὴν γειτνίασιν ἡγουμένων, οἱ περὶ Εὔανδρον ἐκ τῆς Ἑλλάδος φυγόντες καὶ κατοικήσαντες C αὐτόθι τὴν μνησικακίαν καὶ τὴν ἔχθραν διεφύλαττον.

33. ‘Διὰ τί τὸ παλαιὸν οὐκ ἐδείπνουν ἔξω χωρὶς τῶν υἱῶν, ἔτι τὴν παιδικὴν ἡλικίαν ἐχόντων;’ ἢ τοῦτο μὲν καὶ Λυκοῦργος εἴθισε, τοὺς παῖδας ἐπεισάγων τοῖς φιδιτίοις, ὅπως ἐθίζωνται μὴ θηριωδῶς μηδ’ ἀτάκτως ἀλλὰ μετ’ εὐλαβείας ταῖς ἡδοναῖς προσφέρεσθαι, τοὺς πρεσβυτέρους οἷον ἐπισκόπους καὶ θεατὰς ἔχοντες; οὐκ ἔλαττον δὴ τοῦτο καὶ τοὺς πατέρας αὐτοὺς μᾶλλον αἰδεῖσθαι καὶ σωφρονεῖν τῶν υἱῶν παρόντων· ὅπου γὰρ ἀναισχυντοῦσι γέροντες, ὥς φησιν ὁ Πλάτων, ἐνταῦθ’ ἀνάγκη καὶ νέους ἀναισχυντοτάτους εἶναι.

34. ‘Διὰ τί, τῶν ἄλλων Ῥωμαίων ἐν τῷ Φεβρουαρίῳ μηνὶ ποιουμένων χοὰς καὶ ἐναγισμοὺς τοῖς D

25 *Πλάτων*] Legg. p. 729 c

τεθνηκόσι, Δέκιμος Βροῦτος, ὡς Κικέρων ἱστόρηκεν, ἐν τῷ Δεκεμβρίῳ τοῦτ' ἔπραττεν (ἦν δ' οὗτος ὁ Λυσιτάνειαν ἐπελθὼν καὶ πρῶτος ἐπέκεινα στρατῷ διαβὰς τὸν τῆς Λήθης ποταμόν);' πότερον, ὥσπερ ἡμέρας ληγούσης καὶ μηνὸς φθίνοντος εἰώθασιν ἐναγίζειν οἱ πολλοί, λόγον ἔχει καὶ τοῦ ἐνιαυτοῦ καταστρέφοντος ἐν τῷ τελευταίῳ μηνὶ τιμᾶν τοὺς τεθνηκότας (ἔστι δὲ τῶν μηνῶν τελευταῖος ὁ Δεκέμβριος)· ἢ χθονίων μὲν αἱ τιμαὶ θεῶν, τιμᾶν δὲ τοὺς χθονίους ὡραῖόν ἐστι, τῶν καρπῶν ἁπάντων E εἰληφότων συντέλειαν; ἢ ὅτε κινοῦσι τὴν γῆν ἀρχόμενοι σπόρου, μεμνῆσθαι μάλιστα τῶν κάτω προσήκει; ἢ Κρόνῳ μὲν οὗτος ὁ μὴν ὑπὸ Ῥωμαίων καθιέρωται, Κρόνον δὲ τῶν κάτω θεῶν οὐ τῶν ἄνω νομίζουσιν; ἢ μεγίστης αὐτοῖς ἑορτῆς τῶν Κρονίων καθεστώσης καὶ συνουσίας τε πλείστας καὶ ἀπολαύσεις ἔχειν δοκούσης, ἔδοξε καὶ ταύτης ἀπονέμειν τινὰς ἀπαρχὰς τοῖς τεθνηκόσιν; ἢ τοῦτο, μόνον Βροῦτον ἐναγίζειν ἐν τῷ μηνὶ τούτῳ, καθόλου ψεῦδός ἐστι; καὶ γὰρ τῇ Λαρεντίᾳ ποιοῦσι τὸν ἐναγισμὸν καὶ χοὰς ἐπιφέρουσιν ἐπὶ τὸν τάφον τοῦ Δεκεμβρίου μηνός.

35. 'Διὰ τί δὲ τὴν Λαρεντίαν, ἑταίραν F γεγενημένην, οὕτω τιμῶσιν;' ἄλλην γὰρ εἶναι Λαρεντίαν Ἄκκαν ἱστοροῦσι τὴν Ῥωμύλου τροφόν, ἣν τῷ Ἀπριλλίῳ μηνὶ τιμῶσι. τῇ δ' ἑταίρᾳ Λαρεντίᾳ Φαβόλαν ἐπίκλησιν εἶναι λέγουσιν, ἐγνωρίσθη δὲ διὰ τοιαύτην αἰτίαν. ζάκορός τις Ἡρακλέους ὡς ἔοικεν ἀπολαύων

1 *Κικέρων*] De Legg. II 21   18 *τοῦτο*] τὸ W. Malim τοῦτο τὸ   25 ἑταίρᾳ *: ἑτέρᾳ

σχολῆς, ἔθος εἶχεν ἐν πεττοῖς καὶ κύβοις τὰ πολλὰ διημερεύειν· καί ποτε, τῶν εἰωθότων παίζειν σὺν αὐτῷ καὶ μετέχειν τῆς τοιαύτης διατριβῆς κατὰ τύχην μηδενὸς παρόντος, ἀδημονῶν τὸν θεὸν προυκαλεῖτο διαβαλέσθαι τοῖς κύβοις πρὸς αὐτὸν ὥσπερ ἐπὶ ῥητοῖς· καὶ νικήσας μὲν εὑρέσθαι τι παρὰ τοῦ 273
θεοῦ χρηστόν· ἂν δὲ λειφθῇ, δεῖπνον αὐτὸς τῷ θεῷ παρασχεῖν καὶ μείρακα καλὴν συναναπαυσομένην. ἐκ τούτου δὲ τοὺς κύβους προθέμενος, τὸν μὲν ὑπὲρ ἑαυτοῦ, τὸν δ' ὑπὲρ τοῦ θεοῦ βαλὼν ἐλείφθη. ταῖς οὖν προκλήσεσιν ἐμμένων τράπεζάν τε λαμπροτέραν παρεσκεύασε τῷ θεῷ, καὶ τὴν Λαρεντίαν παραλαβὼν ἐμφανῶς ἑταιροῦσαν εἱστίασε καὶ κατέκλινεν ἐν τῷ ἱερῷ καὶ τὰς θύρας ἀπιὼν ἔκλεισε. λέγεται δὲ νύκτωρ ἐντυχεῖν αὐτῇ τὸν θεὸν οὐκ ἀνθρωπίνως καὶ κελεῦσαι βαδίζειν ἕωθεν εἰς ἀγοράν, ᾧ δ' ἂν ἐντύχῃ πρώτῳ, προσέχειν μάλιστα B
καὶ ποιεῖσθαι φίλον. ἀναστᾶσαν οὖν τὴν Λαρεντίαν βαδίζειν, καὶ συντυχεῖν τινι τῶν πλουσίων, ἀγάμων δὲ καὶ παρηκμακότων, ὄνομα Ταρρουτίῳ· γνωρισθεῖσαν δὲ τούτῳ καὶ ζῶντος ἄρχειν τοῦ οἴκου καὶ κληρονομῆσαι τελευτήσαντος· ὕστερον δὲ χρόνοις αὐτὴν τελευτῶσαν τῇ πόλει τὴν οὐσίαν ἀπολιπεῖν· διὸ τὰς τιμὰς ἔχειν ταύτας.

36. 'Διὰ τί πύλην μίαν θυρίδα καλοῦσι (τὴν γὰρ 'φαινέστραν' τοῦτο σημαίνειν), καὶ παρ' αὐτὴν ὁ καλούμενος Τύχης θάλαμός ἐστι;' πότερον ὅτι Σέρβιος ὁ βασιλεὺς εὐτυχέστατος γενόμενος δόξαν ἔσχε τῇ Τύχῃ συνεῖναι φοιτώσῃ διὰ θυρίδος πρὸς

C αὐτόν· ἢ τοῦτο μὲν μῦθός ἐστιν, ἐπεὶ δὲ Ταρκυνίου Πρίσκου τοῦ βασιλέως ἀποθανόντος ἡ γυνὴ Τανακυλλὶς ἔμφρων οὖσα καὶ βασιλικὴ διὰ θυρίδος προκύψασα τοῖς πολίταις ἐνέτυχε καὶ συνέπεισεν ἀποδεῖξαι βασιλέα τὸν Σέρβιον, ἔσχε ταύτην ὁ τόπος τὴν ἐπωνυμίαν;

37. ʽΔιὰ τί τῶν τοῖς θεοῖς ἀνατιθεμένων μόνα τὰ σκῦλα νενόμισται περιορᾶν ἀφανιζόμενα τῷ χρόνῳ, καὶ μήτε προσκυνεῖν μήτ' ἐπισκευάζειν;' πότερον ἵνα τὴν δόξαν οἰόμενοι τοῖς πρώτοις συνεκλιπεῖν ἀεί τι πρόσφατον ὑπόμνημα τῆς ἀρετῆς ζητῶσι κο- D μίζειν, ἢ μᾶλλον ὅτι τοῦ χρόνου τὰ σημεῖα τῆς πρὸς τοὺς πολεμίους διαφορᾶς ἀμαυροῦντος, αὐτοὺς ἀναλαμβάνειν καὶ καινοποιεῖν ἐπίφθονόν ἐστι καὶ φιλαπέχθημον; οὐδὲ γὰρ παρ' Ἕλλησιν οἱ πρῶτοι λίθινον καὶ χαλκοῦν στήσαντες τρόπαιον εὐδοκιμοῦσι.

38. ʽΔιὰ τί Κόιντος Μέτελλος ἀρχιερεὺς γενόμενος καὶ τἄλλα δοκῶν φρόνιμος εἶναι καὶ πολιτικὸς ἀνὴρ ἐκώλυεν οἰωνίζεσθαι μετὰ τὸν Σεξτίλιον μῆνα τὸν νῦν Αὔγουστον προσαγορευόμενον;' πότερον ὅτι καθάπερ ἡμέρας ἀκμαζούσης ἢ ἀρχομένης πράττομεν τὰ τοιαῦτα καὶ μηνὸς ἱσταμένου καὶ αὐξομένου, τὰς E δ' ἀποκλίτους ὡς ἀχρηματίστους φυλαττόμεθα· παραπλησίως τὸν μετὰ μῆνας ὀκτὼ χρόνον ὥσπερ ἑσπέραν τινὰ τοῦ ἐνιαυτοῦ καὶ δείλην ἀποκλίνοντος ἤδη καὶ φθίνοντος νομίζειν· ἢ καὶ τοῖς ὄρνισι χρηστέον

9 προσκυνεῖν] προσκαινοῦν vel προσκονιᾶν W. Sanum vid. 14 φιλαπέχθημον *: φιλαπεχθῆμον 26 νομίζειν] add. δεῖ M

ἀκμαίοις καὶ τελείοις; εἰσὶ δὲ πρὸ τοῦ θέρους τοιοῦτοι· περὶ δὲ τὸ φθινόπωρον οἱ μὲν ἀσθενεῖς καὶ νοσώδεις, οἱ δὲ νεοσσοὶ καὶ ἀτελεῖς, οἱ δὲ παντάπασι φροῦδοι διὰ τὴν ὥραν ἐκτοπίζοντες.

39. ‛Διὰ τί τοῖς μὴ στρατευομένοις μὲν ἐν στρατοπέδῳ δ' ἄλλως ἀναστρεφομένοις οὐκ ἐξῆν ἄνδρα βαλεῖν πολέμιον οὐδὲ τρῶσαι;' καὶ τοῦτο Κάτων ὁ πρεσβύτης ἐν ἐπιστολῇ τινι δεδήλωκε, γράφων πρὸς τὸν υἱὸν καὶ κελεύων, εἰ παρεθείη τῆς στρατείας ἀποπληρώσας τὸν χρόνον, ὑποστρέφειν· ἢ προσ- F
μένοντα λαβεῖν παρὰ τοῦ στρατηγοῦ τὸ ἐξεῖναι τρῶσαι καὶ ἀνελεῖν πολέμιον. πότερον ὅτι τὴν ἀνάγκην μόνην ἐξουσίαν εἶναι δεῖ τοῦ ἀνελεῖν ἄνθρωπον, ὁ δ' ἄνευ νόμου καὶ προστάγματος τοῦτο ποιῶν ἀνδροφόνος ἐστί (διὸ καὶ Χρυσάνταν ἐπῄνεσεν ὁ Κῦρος, ὅτι μέλλων ἀναιρεῖν πολέμιον καὶ τὴν κοπίδα διηρμένος, ἀκούσας τὸ ἀνακλητικὸν ἀφῆκε τὸν ἄνδρα καὶ οὐκ ἔπαισεν ὡς κεκωλυμένος)· ἢ δεῖ τὸν συνι- 274
στάμενον πολεμίοις καὶ μαχόμενον, ἂν ἀποδειλιάσῃ, μὴ ἀνυπεύθυνον εἶναι μηδ' ἀθῷον; οὐ γὰρ οὕτω βαλών τινα καὶ τρώσας ὠφέλησεν, ὡς φυγὼν καὶ ἀναχωρήσας ἔβλαψεν. ὁ μὲν οὖν ἀφειμένος στρατείας ἀπήλλακται τῶν στρατιωτικῶν νόμων· ὁ δ' αἰτησάμενος τὸ πράττειν τὰ τῶν στρατευομένων πάλιν ἑαυτὸν ὑπεύθυνον τῷ νόμῳ καὶ τῷ στρατηγῷ δέδωκεν.

40. ‛Διὰ τί τῷ ἱερεῖ τοῦ Διὸς οὐκ ἔξεστιν ἐν

7 *Κάτων*] cf. Cic. de Off. I 11   15 *Χρυσάνταν*] Xen. Cyrop. IV 1, 3

ὑπαίθρῳ ἀλείφεσθαι;’ πότερον ὅτι καὶ παῖδας γυμνοῦσθαι πατρὸς ὁρῶντος καὶ πενθεροῦ γαμβρὸν οὐχ B ὅσιον ἦν οὐδὲ καλόν, οὐδὲ συνελούοντο τὸ παλαιὸν ἀλλήλοις· πατὴρ δ’ ὁ Ζεὺς καὶ τὸ ἐν ὑπαίθρῳ μάλιστά πως εἶναι δοκεῖ τοῦ Διὸς ἐνώπιον· ἤ, καθάπερ ἐν ναῷ καὶ ἱερῷ γυμνοῦν ἑαυτὸν ἀθέμιτόν ἐστιν, οὕτω τὸν ὕπαιθρον ἀέρα καὶ τὸν ὑπουράνιον, ὄντα καὶ θεῶν καὶ δαιμόνων μεστόν, ἐξευλαβοῦντο; διὸ καὶ τὰ πολλὰ τῶν ἀναγκαίων ὑπὸ στέγῃ δρῶμεν ἐπικρυπτόμενοι καὶ ἐπικαλυπτόμενοι ταῖς οἰκίαις πρὸς τὸ θεῖον. ἢ τὰ μὲν μόνῳ τῷ ἱερεῖ, τὰ δὲ πᾶσιν ὑπὸ τοῦ νόμου προστέτακται διὰ τοῦ ἱερέως; διὸ καὶ παρ’ ἡμῖν τὸ μὲν στεφανηφορεῖν καὶ κομᾶν καὶ μὴ σιδηροφορεῖν μηδὲ τοῖς Φωκέων ὅροις ἐμ- C βαίνειν ἴδια λειτουργήματα τοῦ ἄρχοντός ἐστι· τὸ δ’ ὀπώρας μὴ γεύεσθαι πρὸ ἰσημερίας μετοπωρινῆς μηδ’ ἄμπελον τέμνειν πρὸ ἰσημερίας ἐαρινῆς ὁμοῦ τι πᾶσι δηλοῦται διὰ τοῦ ἄρχοντος· ἑκατέρου γὰρ ὁ καιρὸς ἐκεῖνός ἐστι. τὸν αὐτὸν οὖν τρόπον ὡς ἔοικε καὶ τοῦ παρὰ Ῥωμαίοις ἱερέως ἴδιόν ἐστι τὸ μήθ’ ἵππῳ χρῆσθαι μήτε πλείονας νύκτας ἀποδημεῖν τριῶν μήτ’ ἀποτίθεσθαι τὸν πῖλον, ἀφ’ οὗ καί ‘φλᾶμεν’ κέκληται. πολλὰ δ’ ἄλλα δηλοῦται πᾶσι διὰ τοῦ D ἱερέως· ὧν ἕν ἐστι καὶ τὸ ἐν ὑπαίθρῳ μὴ ἀλείφεσθαι. τὸ γὰρ ξηραλοιφεῖν ὑφεωρῶντο Ῥωμαῖοι σφόδρα, καὶ τοῖς Ἕλλησιν οἴονται μηδὲν οὕτως αἴτιον δουλείας γεγονέναι καὶ μαλακίας, ὡς τὰ γυμνάσια καὶ τὰς παλαίστρας, πολὺν ἄλυν καὶ σχολὴν ἐντικτούσας

11 ἣ M   14 μὴ idem

ταῖς πόλεσι καὶ κακοσχολίαν καὶ τὸ παιδεραστεῖν καὶ τὸ διαφθείρειν τὰ σώματα τῶν νέων ὕπνοις καὶ περιπάτοις καὶ κινήσεσιν εὐρύθμοις καὶ διαίταις ἀκριβέσιν, ὑφ' ὧν ἔλαθον ἐκρυέντες τῶν ὅπλων καὶ ἀγαπήσαντες ἀνθ' ὁπλιτῶν καὶ ἱππέων ἀγαθῶν εὐτράπελοι καὶ παλαιστρῖται καλοὶ λέγεσθαι. ταῦτα γοῦν ἔργον ἐστὶν ἀποφυγεῖν εἰς ὕπαιθρον ἀποδυομένους· F οἱ δὲ κατ' οἰκίαν ἀλειφόμενοι καὶ θεραπεύοντες ἑαυτοὺς οὐδὲν ἁμαρτάνουσι.

41. 'Διὰ τί τὸ παλαιὸν νόμισμα πῇ μὲν εἶχεν Ἰανοῦ διπρόσωπον εἰκόνα, πῇ δὲ πλοίου πρύμναν ἢ πρῷραν ἐγκεχαραγμένην;' πότερον ὡς οἱ πολλοὶ λέγουσιν ἐπὶ τιμῇ τοῦ Κρόνου πλοίῳ διαπεράσαντος εἰς Ἰταλίαν, ἢ τοῦτο μὲν ἔστιν ἐπὶ πολλῶν λέγειν (καὶ γὰρ Ἰανὸς καὶ Εὔανδρος καὶ Αἰνείας ἐκ θαλάττης προσεκομίσθησαν), ἐκεῖνο δ' ἄν τις μᾶλλον εἰκάσειεν, ὅτι τὰ μὲν καλὰ ταῖς πόλεσίν ἐστι τὰ δ' ἀναγκαῖα· καὶ μέγιστον τῶν μὲν καλῶν ἡ εὐνομία, τῶν δ' ἀναγκαίων ἡ εὐπορία; ἐπεὶ τοίνυν F εὐκοσμίαν μὲν Ἰανὸς κατέστησεν αὐτοῖς ἐξημερώσας τὸν βίον, ἀφθονίαν δὲ παρέχει τῶν ἀναγκαίων ὁ ποταμὸς πλόιμος ὢν καὶ τὰ μὲν ἐκ θαλάττης τὰ δ' ἀπὸ τῆς χώρας κατακομίζων, σύμβολον ἔσχε τὸ νόμισμα τοῦ μὲν νομοθέτου τὸ δίμορφον ὡς εἴρηται διὰ τὴν μεταβολήν, τοῦ δὲ ποταμοῦ τὸ πορθμεῖον. ἑτέρῳ δ' ἐχρήσαντο νομίσματι βοῦν ἔχοντι καὶ πρόβατον καὶ ὗν παράσημον, εὐποροῦντες ἀπὸ τῶν θρεμμάτων μάλιστα καὶ τὴν περιουσίαν ἀπὸ τούτων ἔχοντες· διὸ καὶ τῶν ὀνομάτων πολλὰ τοῖς παλαιοῖς

275 Συέλλιοι καὶ Βουβολκοὶ καὶ Πόρκιοι ἦσαν, ὡς Φενεστέλλας εἴρηκεν.

42. 'Διὰ τί τῷ τοῦ Κρόνου ναῷ χρῶνται ταμιείῳ τῶν δημοσίων χρημάτων, ἅμα δὲ καὶ φυλακτηρίῳ τῶν συμβολαίων;' πότερον ὅτι δόξα κατεῖχε καὶ λόγος οὐκ εἶναι πλεονεξίαν ἐν ἀνθρώποις οὐδ' ἀδικίαν Κρόνου βασιλεύοντος, ἀλλὰ πίστιν καὶ δικαιοσύνην· ἢ ὅτι καρπῶν ἀρετῆς ἢ γεωργίας ἡγεμὼν ὁ θεός; ἡ γὰρ ἅρπη τοῦτο σημαίνει καὶ οὐχ ὡς γέγραφεν Ἀντίμαχος Ἡσιόδῳ πειθόμενος

'λέχρις δὲ δρεπάνῳ τέμνων ἀπὸ μήδεα πατρὸς
Οὐρανοῦ Ἀκμονίδεω λάσιος Κρόνος ἀντιτέτυκτο.'

καρπῶν δ' ἀφθονία καὶ διάθεσις γένεσίς ἐστι νο-
B μίσματος· διὸ τὸν αἴτιον καὶ φύλακα ποιοῦνται τῆς εὐδαιμονίας. μαρτυρεῖ δὲ τούτῳ τὸ τὰς ἀγομένας δι' ἐννέα ἡμερῶν ἐπ' ἀγορὰν συνόδους, νουνδίνας δὲ καλουμένας, ἱερὰς τοῦ Κρόνου νομίζεσθαι· πράσεως γὰρ καὶ ὠνῆς περιουσία καρπῶν ἀρχὴν παρέσχεν. ἢ ταῦτα μέν ἐστι παλαιά, πρῶτος δὲ ταμιεῖον ἀπέδειξε τὸ Κρόνιον, τῶν βασιλέων καταλυθέντων, Οὐαλέριος Ποπλικόλας πειθόμενος εὐερκῆ καὶ καταφανῆ καὶ δυσεπιβούλευτον εἶναι τὸν τόπον;

43. 'Διὰ τί δ' οἱ πρεσβεύοντες εἰς Ῥώμην ὁποθενοῦν ἐπὶ τὸν τοῦ Κρόνου ναὸν βαδίζοντες ἀπο-
C γράφονται πρὸς τοὺς ἐπάρχους τοῦ ταμιείου;' πότερον

1 Συέλλιοι] Συίλλιοι? cf. Vit. Popl. c. 11 Φενεστέλλας *: φαινεστέλλας 3 ταμιείῳ * hic et infra: ταμείῳ 8 ἀρετῆς] ἀγέτης Abreschius 10 Ἡσιόδῳ] Theog. 160 11 λέχρις X: λέχριε. cf. Kinkel. Fragm. p. 287 14 τὸν] τοῦτον?

ὡς ξένου τοῦ Κρόνου γενομένου καὶ διὰ τοῦτο τοῖς ξένοις χαίροντος, ἢ καὶ τοῦτο λύεται τῇ ἱστορίᾳ; τὸ γὰρ παλαιὸν ὡς ἔοικεν οἱ ταμίαι ξένια τοῖς πρεσβεύουσιν ἔπεμπον (ἐκαλεῖτο δὲ ʽλαύτια’ τὰ πεμπόμενα), καὶ νοσούντων ἐπεμέλοντο καὶ τελευτήσαντας ἔθαπτον ἐκ δημοσίου· νῦν δ’ ὑπὸ πλήθους τῶν ἀφικνουμένων πρέσβεων ἐκλέλειπται τὸ τῆς δαπάνης, μένει δ’ ἔτι τὸ τοῖς ἐπάρχοις τοῦ ταμιείου προεντυγχάνειν διὰ τῆς ἀπογραφῆς.

44. ʽΔιὰ τί τῷ ἱερεῖ τοῦ Διὸς οὐκ ἔξεστιν ὀμόσαι;’ πότερον ὅτι βάσανός τις ἐλευθέρων ὁ ὅρκος ἐστί, δεῖ δ’ ἀβασάνιστον εἶναι καὶ τὸ σῶμα καὶ τὴν ψυχὴν τοῦ ἱερέως· ἢ ὅτι περὶ μικρῶν ἀπιστεῖσθαι τὸν τὰ θεῖα καὶ μέγιστα πεπιστευμένον οὐκ εἰκός D ἐστιν; ἢ ὅτι πᾶς ὅρκος εἰς κατάραν τελευτᾷ τῆς ἐπιορκίας, κατάρα δὲ δύσφημον καὶ σκυθρωπόν; ὅθεν οὐδ’ ἄλλοις ἐπαρᾶσθαι νομίζεται τοὺς ἱερεῖς. ἐπῃνέθη γοῦν Ἀθήνησιν ἡ ἱέρεια μὴ θελήσασα καταράσασθαι τῷ Ἀλκιβιάδῃ τοῦ δήμου κελεύοντος· ἔφη γὰρ εὐχῆς οὐ κατάρας ἱέρεια γεγονέναι. ἢ κοινὸς ὁ τῆς ἐπιορκίας κίνδυνος, ἂν ἀνὴρ ἀσεβὴς καὶ ἐπίορκος εὐχῶν κατάρχηται καὶ ἱερῶν ὑπὲρ τῆς πόλεως;

45. ʽΔιὰ τί τῶν Οὐενεραλίων τῇ ἑορτῇ πολὺν οἶνον ἐκχέουσιν ἐκ τοῦ ἱεροῦ τῆς Ἀφροδίτης;’ πό- E τερον, ὡς οἱ πλεῖστοι λέγουσι, Μεζέντιος ὁ Τυρρηνῶν στρατηγὸς ἔπεμψε πρὸς Αἰνείαν σπενδόμενος ἐπὶ τῷ λαβεῖν τὸν ἐπέτειον οἶνον· ἀρνησαμένου δ’

4 λαύτια Abreschius: λαύτεια 23 Οὐενεραλίων] Οὐιναλίων Ursinus

ἐκείνου, τοῖς Τυρρηνοῖς ὑπέσχετο κρατήσας μάχῃ δώσειν τὸν οἶνον· Αἰνείας δὲ τὴν ὑπόσχεσιν αὐτοῦ πυθόμενος τοῖς θεοῖς τὸν οἶνον καθιέρωσε, καὶ μετὰ τὸ νικῆσαι συναγαγὼν τὸ καρπευθὲν ἐξέχεε πρὸ τοῦ ἱεροῦ τῆς Ἀφροδίτης· ἢ καὶ τοῦτο σύμβολόν ἐστι τοῦ χρῆναι νήφοντας ἑορτάζειν ἀλλὰ μὴ μεθύοντας, ὡς τῶν θεῶν μᾶλλον τοῖς ἐκχέουσι χαιρόντων τὸν πολὺν ἄκρατον ἢ τοῖς πίνουσι;

F 46. ‘Διὰ τί τὸν τῆς Ὅρτας ναὸν ἀνεῳγμένον εἶχον οἱ παλαιοὶ διὰ παντός;’ πότερον, ὡς Ἀντίστιος Λαβεὼν ἱστόρηκε, τοῦ παρορμᾶν ‘ὁρτάρι’ λεγομένου, τὴν οἷον ἐγκελευομένην πρὸς τὰ καλὰ καὶ παρορμῶσαν θεὸν Ὅρταν λεγομένην ᾤοντο δεῖν ὡς ἐνεργὸν ἀεὶ μηδέποτε μέλλειν μηδ’ ἀποκεκλεῖσθαι μηδ’ ἐλινύειν· ἢ μᾶλλον ὡς νῦν ὀνομάζουσιν αὐτὴν Ὥραν
276 μηκυνομένης τῆς προτέρας συλλαβῆς, ἐπιστρεφῆ τινα καὶ πολυωρητικὴν θεόν, ἣν διαφυλακτικὴν καὶ φροντιστικὴν οὖσαν οὐδέποτε ῥάθυμον οὐδ’ ὀλίγωρον εἶναι τῶν ἀνθρωπίνων ἐνόμιζον; ἤ, καθάπερ ἄλλα πολλά, καὶ τοῦτο τῶν Ἑλληνικῶν ὀνομάτων ἐστὶ καὶ δηλοῖ θεὸν ἐπισκοποῦσαν καὶ ἐφορῶσαν; ὅθεν ὡς ἀκοιμήτου καὶ ἀύπνου διὰ παντὸς ἀνεῳγμένον ἦν τὸ ἱερὸν αὐτῆς. εἰ μέντοι τὴν ὥραν ὀρθῶς ὁ Λαβεὼν ἀπὸ τοῦ παρορμᾶν ὠνομάσθαι δέδεκται, σκόπει μὴ τὸν ‘ὡράτορα’ προτρεπτικόν τινα καὶ παρορμητικὸν ὄντα σύμβουλον ἢ δημαγωγὸν οὕτως

1 Τυρρηνοῖς] add. Τύρνος Urlichsius 14 ἐλιννύειν Huttenus: κλειννύειν 17 ἣν] del. Madvigius 24 δέδεκται *: δέδεικται

ὠνομάσθαι φατέον, οὐκ ἀπὸ τῆς ἀρᾶς καὶ εὐχῆς ὡς ἔνιοι λέγουσι.

47. Διὰ τί τὸ τοῦ Ἡφαίστου ἱερὸν ἔξω πόλεως B ὁ Ῥωμύλος ἱδρύσατο;' πότερον διὰ τὴν μυθολογουμένην πρὸς Ἄρη ζηλοτυπίαν τοῦ Ἡφαίστου δι' Ἀφροδίτην υἱὸς εἶναι δοκῶν Ἄρεος οὐκ ἐποιήσατο σύνοικον οὐδ' ὁμόπολιν αὐτόν· ἢ τοῦτο μὲν ἀβέλτερον, ᾠκοδομήθη δ' ὁ ναὸς ἐξ ἀρχῆς συνέδριον καὶ βουλευτήριον ἀπόρρητον αὐτῷ μετὰ Τατίου τοῦ συμβασιλεύσαντος, ὅπως συνιόντες ἐνταῦθα μετὰ τῶν γερόντων ἄνευ τοῦ παρενοχλεῖσθαι καθ' ἡσυχίαν βουλεύοιντο περὶ τῶν πραγμάτων; ἢ πρὸς ἐμπρησμὸν ἄνωθεν ἐπισφαλῶς τῆς Ῥώμης ἐχούσης, ἔδοξε τιμᾶν μὲν ἐξοικίσαι δὲ τῆς πόλεως τὸν θεόν;

48. Διὰ τί τῇ τῶν Κωνσυαλίων ἑορτῇ καὶ τοὺς C ἵππους καὶ τοὺς ὄνους στεφανοῦσι καὶ σχολάζειν ἐῶσι;' πότερον ὅτι Ποσειδῶνι μὲν ἄγουσιν Ἱππείῳ τὴν ἑορτήν, ὁ δ' ὄνος τῷ ἵππῳ συναπολαύει καὶ συμμετέχει τῆς ἀδείας· ἢ ὅτι, ναυτιλίας φανείσης καὶ κομιδῆς κατὰ θάλατταν, ὑπῆρξέ τις ἁμωσγέπως ῥᾳστώνη καὶ ἀνάπαυσις τοῖς ὑποζυγίοις;

49. Διὰ τί τοὺς παραγγέλλοντας ἀρχὴν ἔθος ἦν ἐν ἱματίῳ τοῦτο ποιεῖν ἀχίτωνας, ὡς Κάτων ἱστόρηκε;' πότερον ἵνα μὴ δεκάζωσιν ἀργύριον ἐν τῷ κόλπῳ κομίζοντες, ἢ μᾶλλον ὅτι τοὺς ἀξίους ἄρχειν οὐ γένεσιν οὐδὲ χρήμασιν οὐδὲ δόξαις ἀλλὰ D τραύμασι καὶ ὠτειλαῖς ἔκρινον; ὅπως οὖν ταῦτα καθορῷτο τοῖς ἐντυγχάνουσιν, ἀχίτωνες ἐπὶ τὰς

22 ἀρχὴν M: ἄρχειν

παραγγελίας κατῄεσαν; ἢ καθάπερ τῷ δεξιοῦσθαι καὶ παρακαλεῖν καὶ ὑποπίπτειν, οὕτω τῇ γυμνότητι ταπεινοῦντες ἑαυτοὺς ἐδημαγώγουν;

50. 'Διὰ τί ὁ ἱερεὺς τοῦ Διός, ἀποθανούσης αὐτῷ τῆς γυναικός, ἀπετίθετο τὴν ἀρχήν, ὡς Ἀτήιος ἱστόρηκε;' πότερον ὅτι τοῦ μὴ λαβόντος ὁ λαβὼν εἶτ' ἀποβαλὼν γυναῖκα γαμετὴν ἀτυχέστερος· ὁ μὲν γὰρ τοῦ γεγαμηκότος οἶκος τέλειος, ὁ δὲ τοῦ γήμαντος εἶτ' ἀποβαλόντος οὐκ ἀτελὴς μόνον ἀλλὰ καὶ πεπηρωμένος· ἢ συνιερᾶται μὲν ἡ γυνὴ τῷ ἀνδρί E (ὡς καὶ πολλὰ τῶν ἱερῶν οὐκ ἔστι δρᾶσαι μὴ γαμετῆς συμπαρούσης), τὸ δὲ γαμεῖν εὐθὺς ἑτέραν ἀποβαλόντα τὴν προτέραν οὔτ' ἴσως δυνατὸν οὔτ' ἄλλως ἐπιεικές; ὅθεν οὐδ' ἀποπέμψασθαι πρότερον ἐξῆν, οὐδὲ νῦν ὡς ἔοικεν ἔξεστιν, ἀλλ' ἐφ' ἡμῶν ἐπέτρεψεν ἐντευχθεὶς Δομετιανός. οἱ δ' ἱερεῖς παρεγένοντο τῇ τοῦ γάμου διαλύσει, πολλὰ φρικώδη καὶ ἀλλόκοτα καὶ σκυθρωπὰ δρῶντες. ἧττον δ' ἄν τις τοῦτο θαυμάσειε προσιστορήσας, ὅτι καὶ τῶν τιμητῶν θατέρου τελευτήσαντος ἔδει καὶ τὸν ἕτερον F πεπαῦσθαι τῆς ἀρχῆς· ἀποθανόντος δὲ τιμητοῦ Λιβίου Δρούσου, Σκαῦρος Αἰμίλιος συνάρχων οὐκ ἐβούλετο τὴν ἀρχὴν ἀπείπασθαι, μέχρι οὗ τῶν δημάρχων τινὲς αὐτὸν ἐκέλευον εἰς τὸ δεσμωτήριον ἀπάγεσθαι.

51. 'Διὰ τί τῶν Λαρητῶν, οὓς ἰδίως 'πραιστίτεις' καλοῦσι, τούτοις κύων παρέστηκεν, αὐτοὶ δὲ κυνῶν διφθέραις ἀμπέχονται;' ἢ πραιστίτεις μὲν οἱ

1 παραγγελίας M: ἐπαγγελίας 5 Ἀτήιος M: τήιος

προεστῶτές εἰσι, τοὺς δὲ προεστῶτας οἴκου φυλακτικοὺς εἶναι προσήκει, καὶ φοβεροὺς μὲν τοῖς ἀλλοτρίοις, ὥσπερ ὁ κύων ἐστίν, ἠπίους δὲ καὶ πράους τοῖς συνοικοῦσιν; ἢ μᾶλλον, ὃ λέγουσιν ἔνιοι Ῥωμαίων, ἀληθές ἐστι καί, καθάπερ οἱ περὶ Χρύσιππον 277 οἴονται φιλόσοφοι φαῦλα δαιμόνια περινοστεῖν, οἷς οἱ θεοὶ δημίοις χρῶνται καὶ κολασταῖς ἐπὶ τοὺς ἀνοσίους καὶ ἀδίκους ἀνθρώπους, οὕτως οἱ Λάρητες ἐριννώδεις τινές εἰσι καὶ ποίνιμοι δαίμονες, ἐπίσκοποι βίων καὶ οἴκων· διὸ καὶ κυνῶν δέρμασιν ἀμπέχονται, καὶ κύων πάρεδρός ἐστιν, ὡς δεινοῖς οὖσιν ἐξιχνεῦσαι καὶ μετελθεῖν τοὺς πονηρούς;

52. ʻΔιὰ τί τῇ καλουμένῃ Γενείτῃ Μάνῃ κύνα θύουσι καὶ κατεύχονται μηδένα χρηστὸν ἀποβῆναι τῶν οἰκογενῶν;ʼ ἢ ὅτι δαίμων ἐστὶν ἡ Γενείτα περὶ τὰς γενέσεις καὶ τὰς λοχείας τῶν φθαρτῶν; ῥύσιν γάρ τινα σημαίνει τοὔνομα καὶ γένεσιν ἢ ῥέουσαν γένεσιν. ὥσπερ οὖν οἱ Ἕλληνες τῇ Ἑκάτῃ, καὶ τῇ B Γενείτῃ κύνα Ῥωμαῖοι θύουσιν ὑπὲρ τῶν οἰκογενῶν. Ἀργείους δὲ Σωκράτης φησὶ τῇ Εἰλιονείᾳ κύνα θύειν διὰ τὴν ῥᾳστώνην τῆς λοχείας. τὸ δὲ τῆς εὐχῆς πότερον οὐκ ἐπ' ἀνθρώπων ἐστὶν οἰκογενῶν, μηδένα χρηστὸν γενέσθαι, ἀλλὰ κυνῶν· χαλεποὺς γὰρ εἶναι δεῖ καὶ φοβεροὺς τοὺς κύνας· ἢ διὰ τὸ χρηστοὺς κομψῶς λέγεσθαι τοὺς τελευτῶντας αἰνιττόμενοι, διὰ τῆς εὐχῆς αἰτοῦνται μηδένα τῶν συνοίκων ἀποθανεῖν;

7 χρῶνται καὶ *: χρῶνται 9 ἐριννώδεις *: ἐριννυώδεις 20 Σωκράτης] Mueller. 4 p. 498 Εἰλιονείᾳ] Εἰλειθυίᾳ Amiotus 24 διὰ] νὴ Δία? χρηστοὺς Polus: ἀχρήστους , κομψῶς X: καὶ κομψοὺς

οὐ δεῖ δὲ τοῦτο θαυμάζειν· καὶ γὰρ Ἀριστοτέλης ἐν ταῖς Ἀρκάδων πρὸς Λακεδαιμονίους συνθήκαις
C γεγράφθαι φησὶ μηδένα χρηστὸν ποιεῖν βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν, ὅπερ εἶναι μηδένα ἀποκτιννύναι.

53. 'Διὰ τί τοῖς Καπετωλίοις θέας ἄγοντες ἔτι νῦν κηρύττουσι Σαρδιανοὺς ὠνίους, καὶ γέρων τις ἐπὶ χλευασμῷ προάγεται παιδικὸν ἐναψάμενος περιδέραιον, ὃ καλοῦσι βοῦλλαν;' ἢ ὅτι Ῥωμύλῳ πολὺν χρόνον ἐπολέμησαν οἱ λεγόμενοι Οὐήιοι Τυρρηνῶν, καὶ ταύτην πόλιν ἐσχάτην εἷλε, καὶ πολλοὺς αἰχμαλώτους ἀπεκήρυξε μετὰ τοῦ βασιλέως ἐπισκώπτων
D αὐτοῦ τὴν ἠλιθιότητα καὶ τὴν ἀβελτερίαν; ἐπεὶ δὲ Λυδοὶ μὲν ἦσαν οἱ Τυρρηνοὶ ἐξ ἀρχῆς, Λυδῶν δὲ μητρόπολις αἱ Σάρδεις, οὕτω τοὺς Οὐηίους ἀπεκήρυττον· καὶ μέχρι νῦν ἐν παιδιᾷ τὸ ἔθος διαφυλάττουσι.

54. 'Διὰ τί τὰ κρεοπώλια 'μάκελλα' καὶ 'μακέλλας' καλοῦσι;' πότερον ἀπὸ τῶν μαγείρων τοὔνομα διαφθαρέν, ὥσπερ ἄλλα πολλά, τῇ συνηθείᾳ κεκράτηκε (καὶ γὰρ τὸ κάππα πρὸς τὸ γάμμα συγγένειαν ἔχει παρ' αὐτοῖς· ὀψὲ γὰρ ἐχρήσαντο τῷ γάμμα Καρβιλίου Σπορίου προσεξευρόντος· καὶ τὸ λάμβδα πάλιν τοῖς ἀπολισθάνουσι τοῦ ρ δι' ἀμβλύτητα τῆς γλώττης ὑπόκειται τραυλιζόμενον)· ἢ καὶ τοῦτο
E λυτέον τῇ ἱστορίᾳ; λέγεται γὰρ ἐν Ῥώμῃ βίαιον

1 Ἀριστοτέλης] Fragm. 550 3 χρηστὸν Polus: ἄχρηστον 6 Καπετωλίοις *: καπιτωλίοις 13 ἀβελτερίαν *: ἀβελτηρίαν 18 κρεοπώλια * hic et infra: κρεωπώλια 20 τῇ συνηθείᾳ] τῆς συνηθείας?

ἄνδρα καὶ λῃστρικὸν γενόμενον καὶ περικόψαντα πολλούς, Μάκελλον τοὔνομα, μόγις ἁλῶναι καὶ κολασθῆναι· ἐκ δὲ τῶν χρημάτων αὐτοῦ δημόσιον οἰκοδομηθῆναι κρεοπώλιον ἀπ' ἐκείνου κτησάμενον τὴν προσηγορίαν.

55. 'Διὰ τί ταῖς Ἰανουαρίαις εἰδοῖς περιιέναι δέδοται τοῖς αὐληταῖς τὴν πόλιν ἐσθῆτας γυναικείας φοροῦντας;' ἢ διὰ τὴν λεγομένην αἰτίαν; μεγάλας γὰρ ὡς ἔοικε τιμὰς ἐκαρποῦντο, τοῦ βασιλέως Νομᾶ F δόντος αὐτοῖς διὰ τὴν πρὸς τὸ θεῖον ὁσιότητα· ταύτας δ' ὕστερον ἀφαιρεθέντες ὑπὸ τῆς ἀνθυπατικῆς δεκαδαρχίας ἀπεχώρησαν ἐκ τῆς πόλεως. ἦν οὖν ἐπιζήτησις αὐτῶν καί τις ἥπτετο δεισιδαιμονία τῶν ἱερέων ἄναυλα θυόντων. ἐπεὶ δ' οὐκ ἐπείθοντο μεταπεμπομένοις ἀλλ' ἐν Τιβοῦρι διέτριβον, ἀνὴρ ἀπελεύθερος κρύφα τοῖς ἄρχουσιν ἐπηγγείλατο κατάξειν αὐτούς. καὶ παρασκευάσας θοίνην ἄφθονον ὡς τεθυκὼς θεοῖς ἐκάλεσε τοὺς αὐλητάς· καὶ γύναια παρῆν ἅμα τῷ πότῳ καὶ παννυχὶς συνεκροτεῖτο παιζόντων καὶ χορευόντων. εἶτ' ἐξαίφνης ὁ ἄνθρωπος ἐμβαλὼν λόγον ὡς τοῦ πάτρωνος ἐπιόντος αὐτῷ 278 καὶ ταραττόμενος συνέπεισε τοὺς αὐλητὰς ἀναβάντας ἐφ' ἁμάξας δέρρεσι κύκλῳ περικαλυπτομένας εἰς τὸ Τιβοῦρι κομίζεσθαι. τοῦτο δ' ἦν ἀπάτη· περιαγαγὼν γὰρ τὰς ἁμάξας οὐ συνορῶντας αὐτοὺς διὰ τὸν οἶνον καὶ τὸ σκότος ἔλαθεν εἰς Ῥώμην καταγαγὼν ἅπαντας ἕωθεν· ἐτύγχανον δ' οἱ πολλοὶ διὰ τὴν παννυχίδα καὶ τὸν πότον ἐν ἐσθῆσιν ἀν-

9 Νομᾶ *: νουμᾶ 15 Τιβοῦρι *: τῇ βούριδι

θιναῖς καὶ γυναικείαις ὄντες. ὡς οὖν ἐπείσθησαν ὑπὸ τῶν ἀρχόντων καὶ διηλλάγησαν, ἐνομίσθη τὴν B ἡμέραν ἐκείνην οὕτως ἀμπεχομένους σοβεῖν διὰ τῆς πόλεως.

56. 'Διὰ τί τὸ τῆς Καρμέντης ἱερὸν ἐξ ἀρχῆς δοκοῦσιν αἱ μητέρες ἱδρύσασθαι καὶ νῦν μάλιστα σέβονται;' λέγεται γάρ τις λόγος, ὡς ἐκωλύθησαν ὑπὸ τῆς βουλῆς αἱ γυναῖκες ὀχήμασι χρῆσθαι ζευκτοῖς· συνέθεντο οὖν ἀλλήλαις μὴ κυΐσκεσθαι μηδὲ τίκτειν, ἀμυνόμεναι τοὺς ἄνδρας, ἄχρι οὗ μετέγνωσαν καὶ συνεχώρησαν αὐταῖς· γενομένων δὲ παίδων, εὐτεκνοῦσαι καὶ πολυτεκνοῦσαι τὸ τῆς Καρμέντης ἱερὸν ἱδρύσαντο. τὴν δὲ Καρμένταν οἱ μὲν Εὐάνδρου μητέρα λέγουσιν οὖσαν ἐλθεῖν εἰς Ἰταλίαν C ὀνομαζομένην Θέμιν, ὡς δ' ἔνιοι, Νικοστράτην· ἐμμέτρους δὲ χρησμοὺς ᾄδουσαν ὑπὸ τῶν Λατίνων Καρμένταν ὀνομάζεσθαι· τὰ γὰρ ἔπη 'κάρμινα' καλοῦσιν. οἱ δὲ Μοῖραν ἡγοῦνται τὴν Καρμένταν εἶναι καὶ διὰ τοῦτο θύειν αὐτῇ τὰς μητέρας. ἔστι δὲ τοῦ ὀνόματος τὸ ἔτυμον 'ἐστερημένη νοῦ' διὰ τὰς θεοφορήσεις. ὅθεν οὐ τὰ κάρμινα τῇ Καρμέντῃ τοὔνομα παρέσχεν, ἀλλὰ μᾶλλον ἀπ' ἐκείνης ἐκλήθη διὰ τὸ τοὺς χρησμοὺς ἐν ἔπεσι καὶ μέτροις ἐνθουσιῶσαν ᾄδειν.

57. 'Διὰ τί τῇ Ῥουμίνᾳ θύουσαι γάλα κατασπένδουσι τῶν ἱερῶν, οἶνον δ' οὐ προσφέρουσιν;' ἢ ῥοῦμαν Λατῖνοι τὴν θηλὴν καλοῦσι, καὶ Ῥουμινᾶλιν ὀνομασθῆναι λέγουσιν, παρ' ὅσον ἡ λύκαινα τῷ Ῥωμύλῳ τὴν θηλὴν παρέσχεν· ὥσπερ οὖν ἡμεῖς

26 Ῥουμινᾶλιν *: ῥουμάναλιν

τὰς τρεφούσας τὰ παιδία γάλακτι θηλονὰς ἀπὸ τῆς D θηλῆς καλοῦμεν, οὕτως ἡ Ῥουμῖνα θηλώ τις οὖσα καὶ τιθήνη καὶ κουροτρόφος οὐ προσίεται τὸν ἄκρατον ὡς βλαβερὸν ὄντα τοῖς νηπίοις;

58. ‘Διὰ τί τῶν συγκλητικῶν τοὺς μὲν πατέρας συγγεγραμμένους, τοὺς δ᾽ ἁπλῶς πατέρας προσηγόρευον;’ ἢ τοὺς μὲν ἐξ ἀρχῆς κατανεμηθέντας ὑπὸ τοῦ Ῥωμύλου πατέρας ἐκάλουν καὶ πατρικίους, οἷον εὐπατρίδας ὄντας, πατέρας αὑτῶν ἔχοντας ἀποδεῖξαι· τοὺς δ᾽ ὕστερον ἐπεγγραφέντας ἐκ τῶν δημοτικῶν συγγεγραμμένους πατέρας ὠνόμασαν;

59. ‘Διὰ τί κοινὸς ἦν βωμὸς Ἡρακλέους καὶ Μουσῶν;’ ἢ ὅτι γράμματα τοὺς περὶ Εὔανδρον ἐδί- E δαξεν Ἡρακλῆς, ὡς Ἰόβας ἱστόρηκε; καὶ τὸ πρᾶγμα σεμνὸν ἐνομίζετο, φίλους καὶ συγγενεῖς διδασκόντων· ὀψὲ δ᾽ ἤρξαντο μισθοῦ διδάσκειν, καὶ πρῶτος ἀνέῳξε γραμματοδιδασκαλεῖον Σπόριος Καρβίλιος, ἀπελεύθερος Καρβιλίου τοῦ πρώτου γαμετὴν ἐκβαλόντος.

60. ‘Διὰ τί, δυεῖν βωμῶν Ἡρακλέους ὄντων, οὐ μεταλαμβάνουσι γυναῖκες οὐδὲ γεύονται τῶν ἐπὶ τοῦ μείζονος θυομένων;’ πότερον ὅτι τῶν ἱερῶν αἱ περὶ τὴν Καρμένταν ὑστέρησαν, ὑστέρησε δὲ καὶ τὸ Πιναρίων γένος· ὅθεν εἰργόμενοι τῆς θοίνης, ἑστιωμένων F τῶν ἄλλων, Πινάριοι προσηγορεύθησαν· ἢ διὰ τὰ μυθολογούμενα περὶ τοῦ χιτῶνος καὶ τῆς Δηιανείρας;

61. ‘Διὰ τί τὸν θεὸν ἐκεῖνον, ᾧ μάλιστα τὴν

1 θηλονὰς] θηλοὺς Valckenarius 2 θηλώ τις idem: θηλωτίς. Fort. scribendum θηλῶν τις et supra θηλόνας 14 Ἰόβας] Mueller. 3 p. 470

῾Ρώμην σῴζειν προσήκει καὶ φυλάττειν, εἴτ᾽ ἐστὶν ἄρρην εἴτε θήλεια, καὶ λέγειν ἀπείρηται καὶ ζητεῖν καὶ ὀνομάζειν· ταύτην δὲ τὴν ἀπόρρησιν ἐξάπτουσι δεισιδαιμονίας, ἱστοροῦντες Οὐαλέριον Σωρανὸν ἀπολέσθαι κακῶς διὰ τὸ ἐξειπεῖν;᾽ πότερον, ὡς τῶν ῾Ρωμαϊκῶν τινες ἱστορήκασιν, ἐκκλήσεις εἰσὶ καὶ γοητεῖαι θεῶν, αἷς νομίζοντες καὶ αὐτοὶ θεούς τινας ἐκκεκλῆσθαι παρὰ τῶν πολεμίων καὶ μετῳκηκέναι
279 πρὸς αὐτοὺς ἐφοβοῦντο ταὐτὸ παθεῖν ὑφ᾽ ἑτέρων· ὥσπερ οὖν Τύριοι δεσμοὺς ἀγάλμασι λέγονται περιβαλεῖν, ἕτεροι δ᾽ αἰτεῖν ἐγγυητὰς ἐπὶ λουτρὸν ἢ καθαρμόν τινα προπέμποντες, οὕτως ᾤοντο ῾Ρωμαῖοι τὸ ἄρρητον καὶ τὸ ἄγνωστον ἀσφαλεστάτην εἶναι θεοῦ καὶ βεβαιοτάτην φρουράν· ἢ καθάπερ ῾Ομήρῳ πεποίηται τὸ ῾γαῖα δ᾽ ἔτι ξυνὴ πάντων᾽ ὅπως οἱ ἄνθρωποι τοὺς θεοὺς πάντας σέβωνται καὶ τιμῶσι τὴν γῆν κοινῶς ἔχοντας, οὕτως ἀπεκρύψαντο τὸν κύριον τῆς σωτηρίας οἱ παλαιοὶ ῾Ρωμαῖοι, βουλόμενοι μὴ μόνον τοῦτον ἀλλὰ πάντας ὑπὸ τῶν πολιτῶν τοὺς θεοὺς τιμᾶσθαι;

B 62. ῾Διὰ τί τῶν λεγομένων Φιτιαλέων, ῾Ελληνιστὶ δ᾽ οἷον εἰρηνοποιῶν σπονδοφόρων, ὁ καλούμενος ῾πάτερ πατρᾶτος᾽ ἐνομίζετο μέγιστος (ἔστι δ᾽ οὗτος, ᾧ πατὴρ ζῇ καὶ παῖδες εἰσίν· ἔχει δὲ καὶ νῦν προνομίαν τινὰ καὶ πίστιν· οἱ γὰρ στρατηγοὶ τὰ δι᾽ εὐμορφίαν καὶ ὥραν ἐπιμελοῦς δεόμενα καὶ σώφρονος φυλακῆς σώματα τούτοις παρακατατίθενται)᾽;

9 ταὐτὸ * hic et infra: τὸ αὐτὸ 14 ῾Ομήρῳ] Ο 193
15 ἔτι Homerus: ἐστὶ 21 Φιτιαλέων *: φιδιαλίων

πότερον ὅτι τὸ αἰδεῖσθαι τοὺς παῖδας αὐτοῖς καὶ τὸ φοβεῖσθαι τοὺς πατέρας πρόσεστιν· ἢ τοὔνομα τὴν αἰτίαν ὑπαγορεύει; βούλεται γὰρ εἶναι τὸ 'πατρᾶτον' οἱονεὶ συμπεπερασμένον καὶ πεπερατωμένον, ὡς τελειοτέρου τῶν ἄλλων ὄντος ᾧ συμβέβηκε πατέρα κεκτημένῳ πατρὶ γενέσθαι. ἢ δεῖ τὸν ὅρκων καὶ C εἰρήνης προϊστάμενον 'ἅμα πρόσω καὶ ὀπίσω' καθ' Ὅμηρον ὁρᾶν; εἴη δ' ἂν μάλιστα τοιοῦτος, ᾧ παῖς ἔστιν ὑπὲρ οὗ βουλεύεται, καὶ πατὴρ μεθ' οὗ βουλεύεται.

63. 'Διὰ τί τῷ καλουμένῳ 'ῥῆγι σακρώρουμ' (οὗτος δ' ἐστὶ βασιλεὺς ἱερῶν) ἀπείρηται καὶ ἄρχειν καὶ δημηγορεῖν;' ἢ τὸ παλαιὸν οἱ βασιλεῖς τὰ πλεῖστα καὶ μέγιστα τῶν ἱερῶν ἔδρων καὶ τὰς θυσίας ἔθυον αὐτοὶ μετὰ τῶν ἱερέων; ἐπεὶ δ' οὐκ ἐμετρίαζον ἀλλ' ἦσαν ὑπερήφανοι καὶ βαρεῖς, τῶν μὲν Ἑλλήνων οἱ D πλεῖστοι τὴν ἐξουσίαν αὐτῶν περιελόμενοι μόνον τὸ θύειν τοῖς θεοῖς ἀπέλιπον, Ῥωμαῖοι δὲ παντάπασι τοὺς βασιλεῖς ἐκβαλόντες ἄλλον ἐπὶ τὰς θυσίας ἔταξαν, οὔτ' ἄρχειν ἐάσαντες οὔτε δημαγωγεῖν, ὅπως μόνον ἐν τοῖς ἱεροῖς βασιλεύεσθαι δοκῶσι καὶ βασιλείαν διὰ τοὺς θεοὺς ὑπομένειν. ἔστι γοῦν τις ἐν ἀγορᾷ θυσία πρὸς τῷ λεγομένῳ Κομιτίῳ πάτριος, ἣν θύσας ὁ βασιλεὺς κατὰ τάχος ἄπεισι φεύγων ἐξ ἀγορᾶς.

64. 'Διὰ τί τὴν τράπεζαν οὐκ εἴων ἀναιρεῖσθαι κενήν, ἀλλὰ πάντως τινὸς ἐπόντος;' πότερον αἰνιτ-

7 πρόσσω καὶ ὀπίσσω Homerus Α 343. ω 451   21 βασιλεύεσθαι W: βουλεύεσθαι   23 Κομιτίῳ *: κομητίῳ

E τόμενοι τὸ δεῖν ἀεί τι τοῦ παρόντος εἰς τὸ μέλλον ὑπολιπεῖν καὶ τῆς αὔριον ἐν τῇ σήμερον μνημονεύειν, ἢ νομίζοντες ἀστεῖον εἶναι τὸ συστέλλειν καὶ ἀνέχειν τὴν ὄρεξιν ἔτι παρούσης τῆς ἀπολαύσεως; ἧττον γὰρ ἐπιθυμοῦσι τῶν ἀπόντων ἐθισθέντες ἀπέχεσθαι τῶν παρόντων. ἢ καὶ πρὸς οἰκέτας φιλάνθρωπον τὸ ἔθος; οὐ γὰρ οὕτω λαμβάνοντες ὡς μεταλαμβάνοντες ἀγαπῶσι, κοινωνεῖν τρόπον τινὰ τραπέζης ἡγούμενοι τοῖς δεσπόταις. ἢ τῶν ἱερῶν οὐδέποτε δεῖν κενὸν οὐδὲν περιορᾶν, ἱερὸν δ' ἡ τράπεζα;

65. 'Διὰ τί τῇ νύμφῃ τὸ πρῶτον οὐκ ἐντυγχάνει
F μετὰ φωτὸς ὁ ἀνὴρ ἀλλὰ διὰ σκότους;' πότερον ὅτι αἰδεῖται πρὶν ἢ συνελθεῖν ἀλλοτρίαν νομίζων, ἢ καὶ πρὸς ἰδίαν προσιέναι μετ' αἰδοῦς ἐθιζόμενος; ἤ, καθάπερ ὁ Σόλων ἔγραψε μήλου κυδωνίου τὴν νύμφην ἐντραγοῦσαν εἰς τὸν θάλαμον βαδίζειν, ὅπως τὸ πρῶτον ἄσπασμα μὴ δυσχερὲς γένηται μηδ' ἀχάριστον· οὕτως ὁ Ῥωμαῖος νομοθέτης, εἰ δή τι προσῆν ἄτοπον τῷ σώματι καὶ δυσχερές, ἔκρυψεν; ἢ διαβολή τίς ἐστιν ἀφροδισίων παρανόμων τὸ γιγνόμενον, ὡς καὶ τοῖς νομίμοις αἰσχύνης τινὸς προσούσης;

66. 'Διὰ τί τῶν ἱπποδρόμων εἷς Φλαμίνιος
280 καλεῖται;' ἢ ὅτι, Φλαμινίου τινὸς τῶν παλαιῶν τῇ πόλει χώραν ἐπιδόντος, ἐχρῶντο ταῖς προσόδοις εἰς τοὺς ἱππικοὺς ἀγῶνας· ἔτι δὲ περιόντων χρημάτων,

2 ὑπολείπειν? 10 δεῖ? 22 νομίμοις X: νόμοις

κατεσκεύασαν ὁδόν, ἣν καὶ αὐτὴν Φλαμινίαν προσηγόρευσαν;

67. ʽΔιὰ τί ʽλικτώρεις’ τοὺς ῥαβδούχους ὀνομάζουσι;’ πότερον ὅτι καὶ συνέδεον τοὺς ἀκολασταίνοντας οὗτοι καὶ τῷ Ῥωμύλῳ παρηκολούθουν ἱμάντας ἐν τοῖς κόλποις κομίζοντες (τὸ δὲ δεσμεύειν ʽἀλλιγᾶρε’ λέγουσιν οἱ πολλοὶ Ῥωμαίων, οἱ δὲ καθαρεύοντες ἐν τῷ διαλέγεσθαι ʽλιγᾶρε’)· ἢ νῦν μὲν παρέγκειται τὸ κ, πρότερον δέ ʽλιτώρεις’ ἐκαλοῦντο, λειτουργοί τινες ὄντες περὶ τὸ δημόσιον; ὅτι γὰρ λῆτον ἄχρι νῦν τὸ δημόσιον ἐν πολλοῖς τῶν Ἑλλήνων B νόμων γέγραπται, οὐδένα ὡς ἔπος εἰπεῖν λέληθε.

68. ʽΔιὰ τί κύνα θύουσιν οἱ Λούπερκοι (Λούπερκοι δ’ εἰσὶν οἱ τοῖς Λουπερκαλίοις γυμνοὶ διαθέοντες ἐν περιζώμασι καὶ καθικνούμενοι σκύτει τῶν ἀπαντώντων);’ πότερον ὅτι καθαρμός ἐστι τῆς πόλεως τὰ δρώμενα (καὶ γὰρ τὸν μῆνα ʽΦεβρουάριον’ καλοῦσι καὶ νὴ Δία τὴν ἡμέραν ἐκείνην ʽφεβράτην’, καὶ ʽφεβράριν’ τὸ τῶν σκυτῶν ἤθει καθικνεῖσθαι, τοῦ ῥήματος τὸ καθαίρειν σημαίνοντος· τῷ δὲ κυνὶ πάντες ὡς ἔπος εἰπεῖν Ἕλληνες ἐχρῶντο καὶ χρῶνταί γε μέχρι νῦν ἔνιοι σφαγίῳ πρὸς τοὺς καθαρμούς· C καὶ τῇ Ἑκάτῃ σκυλάκια μετὰ τῶν ἄλλων καθαρσίων ἐκφέρουσι καὶ περιμάττουσι σκυλακίοις τοὺς ἁγνισμοῦ δεομένους, περισκυλακισμὸν τὸ τοιοῦτο γένος τοῦ καθαρμοῦ καλοῦντες)· ἢ λύκος μὲν ὁ λοῦπός ἐστι καὶ Λύκαια τὰ Λουπερκάλια· λύκῳ δὲ κύων

18 φεβράτιν mei codd. 19 φεβράριν] φεβρουάρε Pantazides τῶν σκυτῶν ἤθει] τῶν συνήθων σκύτει?

πολέμιος καὶ διὰ τοῦτο θύεται τοῖς Λυκαίοις; ἢ ὅτι τοὺς Λουπέρκους ὑλακτοῦσι καὶ παραλυποῦσιν οἱ κύνες ἐν τῇ πόλει διαθέοντας; ἢ Πανὶ μὲν ἡ θυσία γίγνεται, Πανὶ δὲ κύων προσφιλὲς διὰ τὰ αἰπόλια;

69. ‛Διὰ τί τῷ καλουμένῳ Σεπτομουντίῳ παρεφύλαττον ὀχήμασι ζευκτοῖς μὴ χρῆσθαι, καὶ μέχρι νῦν οἱ τῶν παλαιῶν μὴ καταφρονοῦντες παραφυλάτ-
D τουσι (τὸ δὲ σεπτομούντιον ἄγουσιν ἐπὶ τῷ τὸν ἕβδομον λόφον τῇ πόλει προσκατανεμηθῆναι καὶ τὴν Ῥώμην ἑπτάλοφον γενέσθαι);’ πότερον, ὡς ἔνιοι τῶν Ῥωμαϊκῶν ἐπινοοῦσι, διὰ τὸ μήπω συνεζεῦχθαι τοῖς μέρεσι παντελῶς τὴν πόλιν· ἢ τοῦτο μὲν ἄλλως οὐ πρὸς Διόνυσόν ἐστιν· ἔργου δὲ μεγάλου τοῦ πρὸς τὸν συνοικισμὸν ἐκτελεσθέντος, οἰόμενοι τὴν πόλιν ἤδη πεπαῦσθαι προϊοῦσαν εἰς τὸ πρόσθεν, ἔπαυσαν μὲν αὐτοὺς ἀνέπαυσαν δὲ τῶν ὑποζυγίων τὰ συμπονήσαντα καὶ παρέσχον ἀπολαῦσαι τῇ σχολῇ τῆς κοινῆς ἑορτῆς; ἢ πᾶσαν μὲν ἐβούλοντο κοσμεῖν
E ἀεὶ καὶ τιμᾶν ἑορτὴν τοὺς πολίτας παρόντας, μάλιστα δὲ τὴν ἐπὶ τῷ συνοικισμῷ τῆς πόλεως ἀγομένην· ἵν’ οὖν τὴν πόλιν, ἧς ἐστιν ἡ ἑορτή, μὴ ἀπολείπωσιν, οὐκ ἐφεῖτο χρῆσθαι ζεύγεσιν ἐκείνην τὴν ἡμέραν;

70. ‛Διὰ τί τοὺς ἀπεγνωσμένους ἐπὶ κλοπαῖς ἢ δουλικοῖς τισιν ἄλλοις ἁμαρτήμασι ‘φουρκίφερας’ καλοῦσιν;’ ἢ καὶ τοῦτο τῆς τῶν παλαιῶν ἐπιμελείας τεκμήριόν ἐστιν; ὁ γὰρ οἰκότριβος ἰδίου καταγνοὺς

25 ἀπεγνωσμένους] κατεγνωσμένους W

τινα μοχθηρίαν ἐκέλευε διπλοῦν ξύλον, ὃ ταῖς ἁμάξαις ὑφιστᾶσιν, ἀράμενον διὰ τῆς συνοικίας ἢ τῆς γειτνιάσεως διεξελθεῖν ὑπὸ πάντων ὁρώμενον, ὅπως ἀπιστοῖεν αὐτῷ καὶ φυλάττοιντο πρὸς τὸ λοιπόν· F τὸ δὲ ξύλον ἡμεῖς μὲν στήριγγα, Ῥωμαῖοι δέ 'φοῦρκαν' ὀνομάζουσι· διὸ καί 'φουρκίφερ' ὁ τοῦτο περιενεγκὼν καλεῖται.

71. 'Διὰ τί τῶν κυριττόντων βοῶν ὑπὲρ τοῦ φυλάττεσθαι τὸν ἐντυγχάνοντα χόρτον τῷ κέρατι προσδέουσιν;' ἢ διὰ κόρον καὶ πλησμονὴν ἐξυβρίζουσι καὶ βόες καὶ ἵπποι καὶ ὄνοι καὶ ἄνθρωποι; ὥς που καὶ Σοφοκλῆς πεποίηκε

'σὺ δὲ σφαδᾴζεις πῶλος ὣς εὐφορβίᾳ,
γαστήρ τε γάρ σου καὶ γνάθος πλήρης.'

διὸ καὶ Μάρκον Κράσσον οἱ Ῥωμαῖοι χόρτον ἔχειν ἔφασαν· ἐφυλάττοντο γὰρ αὐτὸν οἱ τοὺς ἄλλους ἐν τῇ πολιτείᾳ σπαράττοντες ὡς ἀμυντικὸν καὶ δυσεπιχείρητον. 281 οὐ μὴν ἀλλ' ὕστερον ἐλέχθη πάλιν, ὅτι Κράσσου Καῖσαρ ἀφῃρήκει τὸν χόρτον· ἀντέστη γὰρ αὐτῷ πρῶτος ἐν τῇ πολιτείᾳ καὶ κατεφρόνησε.

72. 'Διὰ τί τῶν ἐπ' οἰωνοῖς ἱερέων, οὓς Αὔσπικας πρότερον Αὔγουρας δὲ νῦν καλοῦσιν, ᾤοντο δεῖν ἀεὶ τοὺς λαμπτῆρας ἀνεῳγμένους εἶναι καὶ τὸ πῶμα μὴ ἐπικεῖσθαι;' ἢ καθάπερ οἱ Πυθαγορικοὶ μικρὰ μεγάλων ἐποιοῦντο σύμβολα κωλύοντες 'ἐπὶ χοίνικος καθῆσθαι' καί 'πῦρ μαχαίρᾳ μὴ σκαλεύειν', οὕτως οἱ παλαιοὶ πολλοῖς αἰνίγμασιν ἐχρῶντο καὶ

12 Σοφοκλῆς] Nauck p. 249 14 πλήρης] add. ἀεί Cobetus

B μάλιστα πρὸς τοὺς ἱερεῖς, οἷόν ἐστι καὶ τὸ τοῦ λαμπτῆρος; ἔοικε γὰρ ὁ λαμπτὴρ τῷ περιέχοντι τὴν ψυχὴν σώματι. φῶς γάρ ἐστιν ἡ ἐντὸς ψυχὴ καὶ δεῖ τὸ συνετὸν καὶ φρόνιμον ἀεὶ ἀναπεπταμένον αὐτῆς εἶναι καὶ δεδορκὸς καὶ μηδέποτε συγκεκλεῖσθαι μηδ' ἀποπνεόμενον. πνευμάτων δ' ὄντων, οὐκ εὐσταθοῦσιν οἱ ὄρνιθες οὐδὲ βέβαια σημεῖα παρέχουσι διὰ τὴν πλάνην καὶ τὴν ἀνωμαλίαν. διδάσκουσιν οὖν τῷ ἔθει μὴ πνευμάτων ὄντων, ἀλλὰ νηνεμίας καὶ καταστάσεως, ἐπὶ ταῦτα προϊέναι τοὺς οἰωνοπόλους, ὅτε δύνανται τοῖς λαμπτῆρσιν ἀνεῳγμένοις χρῆσθαι.

C 73. 'Διὰ τί δ' ἀπείρητο τοῖς ἕλκος ἔχουσιν ἱερεῦσιν ἐπ' οἰωνῶν καθέξεσθαι;' πότερον καὶ τοῦτο σύμβολόν ἐστι τοῦ μηδὲν δακνομένους μηδ' οἷον ἕλκος ἴδιον καὶ πάθος ἔχοντας ἐν τῇ ψυχῇ τὰ θεῖα χρηματίζειν, ἀλλ' ἀλύπους καὶ ἀκεραίους καὶ ἀπερισπάστους ὄντας· ἢ κατὰ λόγον ἐστίν, εἰ μήθ' ἱερείῳ χρήσαιτ' ἄν τις ἕλκος ἔχοντι πρὸς θυσίαν μήτ' ὄρνισι πρὸς οἰωνισμόν, ἔτι μᾶλλον ἐφ' ἑαυτῶν φυλάττεσθαι τὰ τοιαῦτα, καὶ καθαροὺς γενομένους καὶ ἀσινεῖς καὶ ὁλοκλήρους ἐπὶ τὰ παρὰ τῶν θεῶν σημαινόμενα βαδίζειν; τὸ γὰρ ἕλκος ἔοικε πήρωσίς
D τις εἶναι καὶ μιασμὸς τοῦ σώματος.

74. 'Διὰ τί μικρᾶς Τύχης ἱερὸν ἱδρύσατο Σερούιος Τούλλιος ὁ βασιλεὺς ἣν 'βρέβεμ' καλοῦσι;' πότερον ὅτι μικρὸς ὢν ἐν ἀρχῇ καὶ ταπεινὰ πράτ-

6 ἀποπνεόμενον] ἐπιπνεόμενον Madvigius 14 καθέξεσθαι W: καθίζεσθαι

των καὶ γεγονὼς ἐκ μητρὸς αἰχμαλώτου διὰ τὴν τύχην ἐβασίλευσε τῆς Ῥώμης· ἢ αὕτη μὲν ἡ μεταβολὴ μέγεθος ἐμφαίνει τύχης μᾶλλον ἢ μικρότητα, πάντων δὲ μάλιστα Σερούιος ἔοικε τὴν τῆς τύχης ἐκθειάσας δύναμιν ἐπιφημίσαι πράξεσιν ἁπάσαις; οὐ γὰρ μόνον Τύχης εὐέλπιδος καὶ ἀποτροπαίου καὶ E μειλιχίας καὶ πρωτογενείας καὶ ἄρρενος ἱερὰ κατεσκεύασεν, ἀλλ' ἔστιν ἰδίας Τύχης ἱερόν, ἕτερον δ' ἐπιστρεφομένης, ἄλλο παρθένου· καὶ τί ἄν τις ἐπεξίοι τὰς ἄλλας ἐπωνυμίας, ὅπου Τύχης ἰξευτηρίας ἱερόν ἐστιν, ἣν βισκᾶταν ὀνομάζουσιν, ὡς πόρρωθεν ἡμῶν ἁλισκομένων ὑπ' αὐτῆς καὶ προσισχομένων τοῖς πράγμασιν; ὅρα δὴ μὴ καταμαθὼν τὸ παρὰ μικρὸν ἀεὶ τῆς τύχης μέγα δυνάμενον, καὶ ὅτι τῷ γενέσθαι τι F μικρὸν ἢ μὴ γενέσθαι τι πολλάκις ὑπῆρξεν ἐνίοις τυχεῖν ἢ διαμαρτεῖν τῶν μεγίστων, μικρᾶς Τύχης ἱερὸν ἱδρύσατο, προσέχειν διδάσκων τοῖς πράγμασι καὶ μὴ καταφρονεῖν διὰ μικρότητα τῶν ἐντυγχανόντων.

75. 'Διὰ τί λύχνον οὐκ ἐσβέννυσαν, ἀλλ' αὐτὸν ὑφ' ἑαυτοῦ περιεώρων μαραινόμενον;' πότερον ὡς συγγενὲς καὶ ἀδελφικὸν σεβόμενοι τοῦ ἀσβέστου καὶ ἀθανάτου πυρός, ἢ καὶ τοῦτο σύμβολόν ἐστι τοῦ μὴ δεῖν τὸ ἔμψυχον, ἂν μὴ βλάπτῃ, διαφθείρειν μηδ' ἀναιρεῖν, ὡς ζῴῳ τοῦ πυρὸς ἐοικότος; καὶ γὰρ τροφῆς δεῖται καὶ αὐτοκίνητόν ἐστιν καὶ σβεννύμενον φωνὴν ἀφίησιν ὥσπερ φονευόμενον. ἢ διδάσκει τὸ

9 ἄλλο Duebnerus: ἄλλο δ' εὐέλπιδος ἄλλο 10 Ἰξευτηρίας] ἰξευτρίας S 11 βισκᾶταν] βισκατρίκεμ M 20 ὑφ'] ἐφ' Abreschius

ἔθος ἡμᾶς, ὅτι δεῖ μήτε πῦρ μήθ' ὕδωρ μήτ' ἄλλο τι τῶν ἀναγκαίων αὐτοὺς ἅδην ἔχοντας διαφθείρειν, ἀλλ' ἐᾶν χρῆσθαι τοὺς δεομένους καὶ ἀπολείπειν ἑτέροις, ὅταν αὐτοὶ μηκέτι χρείαν ἔχωμεν;

282 76. 'Διὰ τί τὰς ἐν τοῖς ὑποδήμασι σεληνίδας οἱ διαφέρειν δοκοῦντες εὐγενείᾳ φοροῦσιν;' πότερον, ὡς Κάστωρ φησί, σύμβολόν ἐστι τοῦτο τῆς λεγομένης οἰκήσεως ἐπὶ τῆς σελήνης καὶ ὅτι μετὰ τὴν τελευτὴν αὖθις αἱ ψυχαὶ τὴν σελήνην ὑπὸ πόδας ἕξουσιν, ἢ τοῖς παλαιοτάτοις τοῦθ' ὑπῆρχεν ἐξαίρετον; οὗτοι δ' ἦσαν Ἀρκάδες τῶν ἀπ' Εὐάνδρου Προσελήνων λεγομένων. ἤ, καθάπερ ἄλλα πολλά, καὶ τοῦτο τοὺς ἐπαιρομένους καὶ μέγα φρονοῦντας ὑπομιμνήσκει τῆς ἐπ' ἀμφότερον τῶν ἀνθρωπίνων μεταβολῆς παράδειγμα ποιουμένους τὴν σελήνην, ὡς

B 'ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα
πρόσωπα καλλύνουσα καὶ πληρουμένη,
χὤταν περ αὑτῆς εὐπρεπεστάτη φανῇ,
πάλιν διαρρεῖ κἀπὶ μηδὲν ἔρχεται;'

ἢ πειθαρχίας ἦν μάθημα βασιλευομένους μὴ δυσχεραίνειν, ἀλλ' ὥσπερ ἡ σελήνη προσέχειν ἐθέλει τῷ κρείττονι καὶ δευτερεύειν

'αἰεὶ παπταίνουσα πρὸς αὐγὰς ἠελίοιο'

κατὰ τὸν Παρμενίδην· οὕτω τὴν δευτέραν τάξιν ἀγαπᾶν χρωμένους τῷ ἡγεμόνι καὶ τῆς ἀπ' ἐκείνου δυνάμεως καὶ τιμῆς ἀπολαύοντας;

7 Κάστωρ] vid. p. 266e 13 ὑπομιμνήσκει *: ὑπομιμνήσκειν 16 ἐξ ἀδήλου] Nauck. p. 253 18 εὐπρεπεστάτη p. 517d: εὐγενεστάτη 23 Mullach. 1 p. 129

77. ‛Διὰ τί τὸν μὲν ἐνιαυτὸν τοῦ Διὸς νομίζουσι, τοὺς δὲ μῆνας τῆς Ἥρας;’ ἦ ὅτι τῶν μὲν ἀοράτων θεῶν καὶ νοητῶν βασιλεύουσι Ζεὺς καὶ C Ἥρα, τῶν δ᾽ ὁρατῶν ἥλιος καὶ σελήνη; ποιεῖ δ᾽ ὁ μὲν ἥλιος τὸν ἐνιαυτόν, ἡ δὲ σελήνη τοὺς μῆνας. δεῖ δὲ μὴ νομίζειν ἁπλῶς εἰκόνας ἐκείνων τούτους, ἀλλ᾽ αὐτὸν ἐν ὕλῃ Δία τὸν ἥλιον, καὶ αὐτὴν τὴν Ἥραν ἐν ὕλῃ τὴν σελήνην. διὸ καὶ Ἰουνῶνεμ ὀνομάζουσι τὴν Ἥραν, τὸ νέον ἢ τὸ νεώτερον ἐμφαίνοντος τοῦ ὀνόματος, ἀπὸ τῆς σελήνης· καὶ Λουκῖναν Ἥραν καλοῦσιν οἷον φωτεινὴν ἢ φωτίζουσαν· καὶ νομίζουσιν ἐπὶ ταῖς λοχείαις καὶ ὠδῖσι βοηθεῖν, ὥσπερ καὶ τὴν σελήνην, ‛διὰ κυάνεον πόλον ἄστρων διά τ᾽ ὠκυτόκοιο σελάνας·’ εὐτοκεῖν γὰρ ἐν ταῖς D πανσελήνοις μάλιστα δοκοῦσι.

78. ‛Διὰ τί τῶν οἰωνῶν ὁ καλούμενος ἀριστερὸς αἴσιος;’ πότερον οὐκ ἔστι τοῦτ᾽ ἀληθές, ἀλλὰ παρακρούεται πολλοὺς ἡ διάλεκτος (τὸ γὰρ ἀριστερόν ‛σίνιστρον’ ὀνομάζουσι, τὸ δ᾽ ἀφεῖναι ‛σίνερε’ καὶ ‛σίνε’ λέγουσιν, ὅταν ἀφεῖναι παρακαλῶσι. τὸν οὖν ἐφιέντα τὴν πρᾶξιν οἰωνὸν σινιστέριον ὄντα σίνιστρον οὐκ ὀρθῶς ὑπολαμβάνουσιν οἱ πολλοὶ καὶ ὀνομάζουσιν)· ἢ καθάπερ Διονύσιός φησιν, Ἀσκανίῳ τῷ Αἰνείου παραταττομένῳ πρὸς Μεζέντιον ἀστραπῆς ἐν ἀριστερᾷ νικηφόρου γενομένης οἰωνισάμενοι, E καὶ πρὸς τὸ λοιπὸν οὕτω παραφυλάττουσιν; ἤ, ὡς

8 ὀνομάζουσι Duebnerus: ἐπονομάζουσι 13 διὰ κυάνεον] Bergk. 3 p. 620 19 ἀφεῖναι — ἀφεῖναι] ἐφεῖναι — ἐφεῖναι X 23 Διονύσιος] Halic. Ant. Rom. II 5

ἄλλοι τινές, Αἰνείᾳ τούτου συμπεσόντος; καὶ γὰρ Θηβαῖοι τῷ ἀριστερῷ κέρατι τρεψάμενοι τοὺς πολεμίους καὶ κρατήσαντες ἐν Λεύκτροις, διετέλεσαν ἐν πάσαις ταῖς μάχαις τῷ ἀριστερῷ τὴν ἡγεμονίαν ἀποδιδόντες. ἢ μᾶλλον, ὡς Ἰόβας φησί, τοῖς πρὸς τὰς ἀνατολὰς ἀποβλέπουσιν ἐν ἀριστερᾷ γίγνεται τὸ βόρειον, ὃ δὴ τοῦ κόσμου δεξιὸν ἔνιοι τίθενται καὶ καθυπέρτερον. ὅρα δὲ μὴ φύσει τοῖς εὐωνύμοις ἀσθενεστέροις οὖσιν οἱ προϊστάμενοι τῶν οἰωνῶν οἷον ἀναρρωννύουσι καὶ ὑπερείδουσι τὸ ἐλλιπὲς τῆς δυνά-
F *μεως ἐπανισοῦντες. ἢ τὰ ἐπίγεια καὶ θνητὰ τοῖς οὐρανίοις καὶ θείοις ἀντικεῖσθαι νομίζοντες ᾤοντο τὰ πρὸς ἡμᾶς ἀριστερὰ τοὺς θεοὺς ἀπὸ τῶν δεξιῶν προπέμπειν;*

79. *'Διὰ τί τοῦ θριαμβεύσαντος εἶτ' ἀποθανόντος καὶ καέντος ἐξῆν ὀστέον λαβόντας εἰς τὴν πόλιν εἰσφέρειν καὶ κατατίθεσθαι, ὡς Πύρρων ὁ Λιπαραῖος ἱστόρηκεν;' ἢ τιμῆς ἕνεκα τοῦ τεθνηκότος; καὶ γὰρ ἄλλοις ἀριστεῦσι καὶ στρατηγοῖς ἔδωκαν οὐκ αὐτοὺς μόνον ἀλλὰ καὶ τοὺς ἀπ' αὐτῶν*
283 *ἐνθάπτεσθαι τῇ ἀγορᾷ, καθάπερ Οὐαλερίῳ καὶ Φαβρικίῳ· καί φασι τούτων ἀπογόνοις ἀποθανοῦσι καὶ κομισθεῖσιν εἰς ἀγορὰν ὑφίεσθαι δᾷδα καομένην, εἶτ' εὐθὺς αἴρεσθαι, χρωμένων ἀνεπιφθόνως τῇ τιμῇ καὶ τὸ ἐξεῖναι μόνον ἐκβεβαιουμένων.*

80. *'Διὰ τί τοὺς θριαμβεύσαντας ἑστιῶντες ἐν δημοσίῳ παρῃτοῦντο τοὺς ὑπάτους, καὶ πέμποντες παρεκάλουν μὴ ἐλθεῖν ἐπὶ τὸ δεῖπνον;' ἢ καὶ*

5 *Ἰόβας*] Mueller. 3 p. 471 9 *προϊστάμενοι* Abreschius: *παριστάμενοι* 16 *Πύρρων*] Mueller. 4 p. 479

τόπον ἔδει τῷ θριαμβεύσαντι κλισίας τὸν ἐντιμότατον ἀποδίδοσθαι καὶ προπομπὴν μετὰ τὸ δεῖπνον; ταῦτα δ᾽ οὐκ ἔξεστιν ἑτέρῳ γίγνεσθαι τῶν ὑπάτων παρόντων, ἀλλ᾽ ἐκείνοις.

81. ʽΔιὰ τί περιπόρφυρον ὁ δήμαρχος οὐ φορεῖ, τῶν ἄλλων ἀρχόντων φορούντων;᾽ ἢ τὸ παράπαν B οὐδ᾽ ἐστὶν ἄρχων; οὐδὲ γὰρ ῥαβδούχους ἔχουσι οὐδ᾽ ἐπὶ δίφρου καθήμενοι χρηματίζουσιν, οὐδ᾽ ἔτους ἀρχῇ καθάπερ οἱ λοιποὶ πάντες ἄρχοντες εἰσίασιν, οὐδὲ παύονται δικτάτωρος αἱρεθέντος ἀλλὰ πᾶσαν ἀρχὴν ἐκείνου μετατιθέντος εἰς ἑαυτὸν αὐτοὶ μόνοι διαμένουσιν, ὥσπερ οὐκ ὄντες ἄρχοντες ἀλλ᾽ ἑτέραν τινὰ τάξιν ἔχοντες. ὡς δὲ τῶν ῥητόρων ἔνιοι τὴν παραγραφὴν οὐ βούλονται δίκην εἶναι, τοὐναντίον τῇ δίκῃ δρῶσαν· ἡ μὲν γὰρ εἰσάγει καὶ ποιεῖ κρίσιν, ἡ δ᾽ ἀναιρεῖ καὶ λύει· τὸν αὐτὸν τρόπον οἴονται τὴν δημαρχίαν κώλυσιν ἀρχῆς μᾶλλον εἶναι καὶ πρὸς ἀρχὴν ἀντίταξιν ἢ ἀρχήν. τὸ γὰρ ἐνστῆναι πρὸς C δύναμιν ἄρχοντος καὶ τὴν ἄγαν ἐξουσίαν ἀφελεῖν ἐξουσία καὶ δυναμίς ἐστιν αὐτῆς. ἢ ταῦτα μὲν ἄν τις εἴποι καὶ τὰ τοιαῦτα χρώμενος εὑρησιλογίᾳ· τῆς δὲ δημαρχίας τὴν γένεσιν ἐκ τοῦ δήμου λαμβανούσης τὸ δημοτικὸν ἰσχυρόν ἐστι, καὶ μέγα τὸ μὴ μεῖζον φρονεῖν τῶν λοιπῶν ἀλλ᾽ ὁμοιοῦσθαι καὶ σχήματι καὶ στολῇ καὶ διαίτῃ τοῖς ἐπιτυγχάνουσι τῶν πολιτῶν. ὁ γὰρ ὄγκος ὑπάτῳ προσήκει καὶ στρατηγῷ, τὸν δὲ δήμαρχον, ὡς Γάιος Κουρίων ἔλεγε, κατα-

1 κλισίας τὸν Cobetus: καὶ σίαστον   4 ἀλλ᾽] ἀλλ᾽ ἢ?
9 εἰσίασιν M: εἰσιν   21 εὑρησιλογίᾳ *: εὑρεσιλογίᾳ

πατεῖσθαι δεῖ, καὶ μὴ σεμνὸν εἶναι τῇ ὄψει μηδὲ D δυσπρόσοδον μηδὲ τοῖς πολλοῖς χαλεπόν, ἀλλ' ὑπὲρ τῶν ἄλλων ** τοῖς δὲ πολλοῖς εὐμεταχείριστον. ὅθεν οὐδ' οἰκίας αὐτοῦ κλείεσθαι νενόμισται θύραν, ἀλλὰ καὶ νύκτωρ ἀνέῳγε καὶ μεθ' ἡμέραν ὥσπερ λιμὴν καὶ καταφυγὴ τοῖς δεομένοις. ὅσῳ δὲ μᾶλλον ἐκταπεινοῦται τῷ σχήματι, τοσούτῳ μᾶλλον αὔξεται τῇ δυνάμει. κοινὸν γὰρ αὐτὸν ἀξιοῦσι τῇ χρείᾳ καὶ πᾶσιν ἐφικτὸν ὥσπερ βωμὸν εἶναι, τῇ δὲ τιμῇ ποιοῦσιν ἱερὸν καὶ ἅγιον καὶ ἄσυλον· ὅπου κἂν βαδίζων ἐν δημοσίῳ **, πᾶσι νόμος ἐστὶ καθαίρεσθαι καὶ ἁγνίζεσθαι τὸ σῶμα καθάπερ μεμιασμένον.

E 82. Διὰ τί τῶν στρατηγῶν αἱ ῥάβδοι συνδεδεμέναι προσηρτημένων τῶν πελέκεων φέρονται;' πότερον ὅτι σύμβολόν ἐστι τοῦ μὴ δεῖν πρόχειρον εἶναι καὶ λελυμένην τὴν ὀργὴν τοῦ ἄρχοντος, ἢ διατριβὴν καὶ μέλλησιν ἐμποιοῦν τῇ ὀργῇ τὸ λύειν ἀτρέμα τὰς ῥάβδους πολλάκις ἐποίησε μεταγνῶναι περὶ τῆς κολάσεως; ἐπεὶ δὲ τῆς κακίας τὸ μὲν ἰάσιμόν ἐστι τὸ δ' ἀνήκεστον, αἱ μὲν ῥάβδοι νουθετοῦσι τὸ μεταθέσθαι δυνάμενον, οἱ δὲ πελέκεις ἀποκό- F πτουσι τὸ ἀνουθέτητον.

83. Διὰ τί τοὺς καλουμένους Βλετονησίους βαρβάρους ὄντας ἄνθρωπον τεθυκέναι θεοῖς πυθόμενοι, μετεπέμψαντο τοὺς ἄρχοντας αὐτῶν ὡς κολάσοντες· ἐπεὶ δὲ νόμῳ τινὶ τοῦτ' ἐφαίνοντο πεποιηκότες,

3 lacuna 18 litt. in E. Fort. supplendum ἀπεχθανόμενον 7 σχήματι W: σώματι 11 lacunam add. X. Supplendane ἐν δημοσίῳ πάθῃ τι, πᾶσι νόμος κτέ? cf. Liv. III 55. Dion. Hal. A. R. VI 89 21 οἱ δὲ *: αἱ δὲ

ἐκείνους μὲν ἀπέλυσαν, ἐκώλυσαν δὲ πρὸς τὸ λοιπόν·
αὐτοὶ δ' οὐ πολλοῖς ἔτεσιν ἔμπροσθεν δύο μὲν ἄν-
δρας δύο δὲ γυναῖκας ἐν τῇ βοῶν ἀγορᾷ λεγομένῃ,
τοὺς μὲν Ἕλληνας, τοὺς δὲ Γαλάτας, ζῶντας κατώ-
ρυξαν; φαίνεται γὰρ ἄτοπον ταῦτα μὲν ποιεῖν αὐτούς,
ἐπιτιμᾶν δὲ βαρβάροις ὡς οὐχ ὅσια ποιοῦσι.' πότερον
τὸ μὲν θεοῖς θύειν ἀνθρώπους ἀνόσιον ἡγοῦντο, τὸ
δὲ δαίμοσιν ἀναγκαῖον· ἢ τοὺς μὲν ἔθει καὶ νόμῳ 284
τοῦτο πράττοντας ἁμαρτάνειν ἐνόμιζον, αὐτοὶ δὲ
προσταχθέντες ἐκ τῶν Σιβυλλείων ἔπραξαν; λέγεται
γὰρ Ἐλβίαν τινὰ παρθένον ὀχουμένην ἐφ' ἵππου
βληθῆναι κεραυνῷ, καὶ γυμνὸν μὲν εὑρεθῆναι κεί-
μενον τὸν ἵππον, γυμνὴν δ' αὐτὴν ὡς ἐπίτηδες
ἀνηγμένου τοῦ χιτῶνος ἀπὸ τῶν ἀπορρήτων, ὑποδη-
μάτων δὲ καὶ δακτυλίων καὶ κεκρυφάλου διερριμ-
μένων χωρὶς ἄλλων ἀλλαχόθι, τοῦ δὲ στόματος ἔξω
προβεβληκότος τὴν γλῶσσαν. ἀποφηναμένων δὲ τῶν
μάντεων δεινὴν μὲν αἰσχύνην ταῖς ἱεραῖς παρθένοις B
εἶναι καὶ γενήσεσθαι περιβόητον, ἅψεσθαι δέ τινα
καὶ ἱππέων ὕβριν, ἐμήνυσε βαρβάρου τινὸς ἱππικοῦ
θεράπων τρεῖς παρθένους τῶν ἑστιάδων, Αἰμιλίαν
καὶ Λικινίαν καὶ Μαρκίαν, ὑπὸ ταὐτὸ διεφθαρμένας
καὶ συνούσας πολὺν χρόνον ἀνδράσιν, ὧν εἷς ἦν
Βουτέτιος βάρβαρος τοῦ μηνυτοῦ δεσπότης. ἐκεῖναι
μὲν οὖν ἐκολάσθησαν ἐξελεγχθεῖσαι, τῆς δὲ πράξεως
δεινῆς φανείσης, ἔδοξεν ἀνερέσθαι τὰ Σιβύλλεια

16 ἀλλαχόθι] ἀλλαχόσε? 20 βαρβάρου] βάρβαρος Madvigius 22 Μαρκίαν W: μαρτίαν 24 Βουτέτιος] Βετούτιος? βάρβαρος] Βάρρος W 26 ἀνερέσθαι X: ἀναιρεῖσθαι

τοὺς ἱερεῖς. εὑρεθῆναι δέ φασι χρησμοὺς ταῦτά τε
C προδηλοῦντας ὡς ἐπὶ κακῷ γενησόμενα, καὶ προσ-
τάττοντας ἀλλοκότοις τισὶ δαίμοσι καὶ ξένοις ἀπο-
τροπῆς ἕνεκα τοῦ ἐπιόντος προέσθαι δύο μὲν Ἕλ-
ληνας, δύο δὲ Γαλάτας ζῶντας αὐτόθι κατορυγέντας.

84. 'Διὰ τί τὴν τῆς ἡμέρας ἀρχὴν ἐκ μέσης
νυκτὸς λαμβάνουσι;' πότερον ὅτι ἡ πολιτεία στρατιω-
τικὴν ἐν ἀρχῇ σύνταξιν εἶχε, τὰ δὲ πολλὰ νύκτωρ
ἐν ταῖς στρατείαις προλαμβάνεται τῶν χρησίμων· ἢ
πράξεως μὲν ἀρχὴν ἐποιοῦντο τὴν ἀνατολήν, παρα-
σκευῆς δὲ τὴν νύκτα; δεῖ γὰρ παρασκευασαμένους
πράττειν, ἀλλὰ μὴ παρασκευάζεσθαι πράττοντας, ὡς
Μύσων πρὸς Χίλωνα τὸν σοφὸν εἰπεῖν λέγεται ἐν
D χειμῶνι θρίνακα τεκταινόμενος. ἢ καθάπερ ἡ μεσημ-
βρία πέρας ἐστὶ τοῖς πολλοῖς τοῦ τὰ δημόσια καὶ
σπουδαῖα πράττειν, οὕτως ἀρχὴν ἔδοξε ποιεῖσθαι τὸ
μεσονύκτιον; τεκμήριον δὲ τούτου μέγα τὸ μὴ ποι-
εῖσθαι Ῥωμαῖον ἄρχοντα συνθήκας μηδ' ὁμολογίας
μετὰ μέσον ἡμέρας. ἢ δύσει μὲν καὶ ἀνατολῇ λαμ-
βάνειν ἀρχὴν ἡμέρας καὶ τελευτὴν οὐ δυνατόν ἐστιν;
ὡς μὲν γὰρ οἱ πολλοὶ τῇ αἰσθήσει διορίζουσιν ἡμέ-
ρας μὲν ἀρχὴν τὴν πρώτην ἀνάσχεσιν τοῦ ἡλίου,
νυκτὸς δὲ τὴν τελευταίαν ἀπόκρυψιν λαμβάνοντες,
E οὐχ ἕξομεν ἰσημερίαν, ἀλλ' ἣν μάλιστα τῇ ἡμέρᾳ
νύκτα παρισοῦσθαι δοκοῦμεν, αὕτη τῆς ἡμέρας ἐλάτ-
των φανεῖται τῷ τοῦ ἡλίου μεγέθει. ὃ δ' αὖ πάλιν
οἱ μαθηματικοὶ ταύτην ἰώμενοι τὴν ἀτοπίαν τίθενται,

13 ἐν χειμῶνι] χειμῶνος? 23 τὴν τελευταίαν *: τε-
λευταίαν

τὸ τοῦ ἡλίου κέντρον, ὅταν ἅψηται τοῦ ὁρίζοντος, ἡμέρας διορισμὸν εἶναι καὶ νυκτός, ἀναίρεσίς ἐστι τῆς ἐναργείας. συμβήσεται γάρ, ἔτι πολλοῦ φωτὸς ὑπὲρ γῆν ὄντος καὶ τοῦ ἡλίου καταλάμποντος ἡμᾶς, μηδέπω ἡμέραν ὁμολογεῖν ἀλλ' ἔτι νύκτα εἶναι. ἐπεὶ τοίνυν ἐν ταῖς ἀνατολαῖς καὶ δύσεσι τοῦ ἡλίου δύσληπτός ἐστιν ἡ ἀρχὴ διὰ τὰς εἰρημένας ἀλογίας, ἀπολείπεται τὸ μεσουρανοῦν ἢ τὸ ἀντιμεσουρανοῦν αὐτοῦ λαμβάνειν ἀρχήν. βέλτιον δὲ τὸ δεύτερον· F
φέρεται γὰρ ἐκ μεσημβρίας ἐπὶ τὰς δύσεις ἀφ' ἡμῶν, ἐκ δὲ μεσονυκτίου πρὸς ἡμᾶς ἐπὶ τὰς ἀνατολάς.

85. ‘Διὰ τί τὰς γυναῖκας οὔτ' ἀλεῖν εἴων οὔτ' ὀψοποιεῖν τὸ παλαιόν;’ ἢ τὰς συνθήκας διαμνημονεύοντες, ἃς ἐποιήσαντο πρὸς τοὺς Σαβίνους; ἐπεὶ γὰρ ἥρπασαν τὰς θυγατέρας αὐτῶν εἶτα πολεμήσαντες διηλλάγησαν, ἐν ταῖς ἄλλαις ὁμολογίαις καὶ τοῦτ' ἐγράφη, μήτ' ἀλεῖν ἀνδρὶ Ῥωμαίῳ γυναῖκα μήτε μαγειρεύειν.

86. ‘Διὰ τί τοῦ Μαΐου μηνὸς οὐκ ἄγονται γυναῖκας;’ πότερον ὅτι μέσος ἐστὶ τοῦ Ἀπριλλίου καὶ τοῦ Ἰουνίου μηνός, ὧν τὸν μὲν Ἀφροδίτης τὸν δ' Ἥρας, 285
γαμηλίων θεῶν, ἱερὸν νομίζοντες προλαμβάνουσι μικρὸν ἢ περιμένουσιν· ἢ ὅτι τῷ μηνὶ τούτῳ τὸν μέγιστον ποιοῦνται τῶν καθαρμῶν, νῦν μὲν εἴδωλα ῥιπτοῦντες ἀπὸ τῆς γεφύρας εἰς τὸν ποταμὸν πάλαι δ' ἀνθρώπους; διὸ καὶ τὴν Φλαμινίκαν, ἱερὰν τῆς Ἥρας εἶναι δοκοῦσαν, νενόμισται σκυθρωπάζειν, μήτε λουομένην τηνικαῦτα μήτε κοσμουμένην. ἢ ὅτι πολλοὶ Λατίνων ἐν τῷ μηνὶ τούτῳ τοῖς κατοιχο-

B μένοις ἐναγίζουσι; καὶ διὰ τοῦτ' ἴσως Ἑρμῆν ἐν αὐτῷ σέβονται καὶ Μαίας ἐπώνυμός ἐστιν. ἤ, καθάπερ ἔνιοι λέγουσιν, ὁ μὲν Μάιος ἀπὸ τῆς πρεσβυτέρας, ὁ δ' Ἰούνιος ἀπὸ τῆς νεωτέρας ἡλικίας ὠνόμασται; γάμῳ δὲ ἁρμοδιώτερον τὸ νέον, ὡς καὶ Εὐριπίδης φησίν

'ἀλλ' ἢ τὸ γῆρας τὴν Κύπριν χαίρειν ἐᾷ,
ἥ τ' Ἀφροδίτη τοῖς γέρουσιν ἄχθεται.'

οὐ γαμοῦσιν οὖν ἐν τῷ Μαΐῳ, περιμένοντες τὸν Ἰούνιον, ὃς εὐθύς ἐστι μετὰ τὸν Μάιον.

87. 'Διὰ τί τῶν γαμουμένων αἰχμῇ δορατίου τὴν κόμην διακρίνουσιν;' ἆρα σύμβολόν ἐστι τοῦτο τοῦ βίᾳ καὶ μετὰ πολέμου γαμηθῆναι τὰς πρώτας,
C ἢ μανθάνουσιν ἀνδράσι συνοικοῦσαι μαχίμοις καὶ πολεμικοῖς ἄθρυπτον καὶ ἄθηλυν καὶ ἀφελῆ προσίεσθαι καλλωπισμόν; ὥσπερ ὁ Λυκοῦργος ἀπὸ πρίονος καὶ πελέκεως κελεύσας τὰ θυρώματα ταῖς οἰκίαις ποιεῖν καὶ τὰς ὀροφάς, ἄλλῳ δὲ μὴ χρῆσθαι τὸ παράπαν ἐργαλείῳ, πᾶσαν ἐξέβαλε περιεργίαν καὶ πολυτέλειαν. ἢ τὴν διάστασιν αἰνίττεται τὸ γιγνόμενον, ὡς μόνῳ σιδήρῳ τοῦ γάμου διακριθησομένου; ἢ τὰ μὲν πλεῖστα τῶν γαμικῶν εἰς τὴν Ἥραν ἀνῆπτο; Ἥρας δ' ἱερὸν τὸ δόρυ νενόμισται, καὶ τῶν ἀγαλμάτων αὐτῆς δόρατι στηρίζεται τὰ πλεῖστα καὶ Κυρῖτις ἡ θεὸς ἐπωνόμασται, τὸ γὰρ δόρυ 'κύριν'
D ἐκάλουν οἱ παλαιοί· διὸ καί φασι Κυρῖνον ὀνομασθῆναι τὸν Ἐνυάλιον.

2 Μαίας *: μαΐας. cf. Festus v. Maius 7 ἀλλ' ἢ] Nauck. p. 294 25 κύριν X: κοῦριν 26 κύριν mei codd.

88. ‘Διὰ τί τὸ τελούμενον εἰς θέας Λοῦκαρ καλοῦσιν;’ ἢ ὅτι πολλὰ ἔστιν ἄλση περὶ τὴν πόλιν ἀνειμένα θεοῖς, ἃ καλοῦσι ‘λούκους’, καὶ τὴν ἀπὸ τούτων πρόσοδον εἰς τὰς θέας ἀνήλισκον;

89. ‘Διὰ τί τὰ Κυρινάλια μωρῶν ἑορτὴν ὀνομάζουσιν;’ ἢ ὅτι τὴν ἡμέραν ταύτην ἀποδεδώκεσαν, ὡς Ἰόβας φησί, τοῖς τὰς αὑτῶν φατρίας ἀγνοοῦσιν; ἢ τοῖς μὴ θύσασιν, ὥσπερ οἱ λοιποί, κατὰ φυλὰς ἐν τοῖς Φουρνικαλίοις δι’ ἀσχολίαν ἢ ἀποδημίαν ἢ ἄγνοιαν ἐδόθη τῇ ἡμέρᾳ ταύτῃ τὴν ἑορτὴν ἐκείνην ἀπολαβεῖν;

90. ‘Διὰ τί τῷ Ἡρακλεῖ γιγνομένης θυσίας, ἄλλον E οὐδένα θεῶν ὀνομάζουσιν οὐδὲ φαίνεται κύων ἐντὸς τῶν περιβόλων, ὡς Βάρρων ἱστόρηκεν;’ ἢ θεὸν μὲν ἄλλον οὐκ ὀνομάζουσι διὰ τὸ τοῦτον ἡμίθεον νομίζειν; ὡς δέ φασιν ἔνιοι, καὶ μετὰ τῶν ἀνθρώπων ὄντος ἔτι βωμὸν ἱδρύσασθαι τὸν Εὔανδρον αὐτοῦ καὶ θυσίαν προσαγαγεῖν. κυνὶ δὲ πάντων μάλιστα τῶν ζῴων ἐπολέμησε· καὶ γὰρ οὗτος αὐτῷ ἀεὶ πολλὰ πράγματα παρέσχε καὶ ὁ Κέρβερος· καὶ ἐπὶ πᾶσι, F τοῦ Λικυμνίου παιδὸς Οἰωνοῦ διὰ κύνα φονευθέντος ὑπὸ τῶν Ἱπποκοωντιδῶν, ἀναγκασθεὶς μάχην συνάψαι τῶν τ’ ἄλλων φίλων πολλοὺς ἀπέβαλε καὶ τὸν ἀδελφὸν Ἰφικλέα.

91. ‘Διὰ τί τοῖς πατρικίοις οὐκ ἐξῆν περὶ τὸ Καπετώλιον κατοικεῖν;’ πότερον ὅτι Μάρκος Μάλλιος

1. 4 θέας X: θεὰς 2 ἄλση X: ἄλλα 7 Ἰόβας] Mueller. 3 p. 470 19 οὗτος] ὁ Ὄρθος Wehlius ἀεὶ] φασι? 26 Καπετώλιον * hic et infra: καπιτώλιον Μάλλιος *: μάλιος

αὐτόθι κατοικῶν ἐπεχείρησε τυραννίδι, δι' ὃν ἀπώμοτόν φασιν εἶναι τῷ οἴκῳ μηδενὶ Μαλλίων ὄνομα Μάρκου γενέσθαι· ἢ παλαιὸς ἦν φόβος οὗτος; Ποπλικόλαν γοῦν ἄνδρα δημοτικώτατον οὐκ ἐπαύσαντο διαβάλλοντες μὲν οἱ δυνατοὶ δεδιότες δ' οἱ πολλοί, μέχρι οὗ τὴν οἰκίαν αὐτὸς κατέσκαψεν ἐπικεῖσθαι τῇ ἀγορᾷ δοκοῦσαν.

92. 'Διὰ τί τῷ σῴσαντι πολίτην ἐν πολέμῳ δρύι-
286 νον διδόασι στέφανον;' πότερον ὅτι πανταχοῦ καὶ ῥᾳδίως ἔστιν εὐπορῆσαι δρυὸς ἐπὶ στρατείας, ἢ ὅτι Διὸς καὶ Ἥρας ἱερὸς ὁ στέφανός ἐστιν, οὓς πολιούχους νομίζουσιν; ἢ παλαιὸν ἀπ' Ἀρκάδων τὸ ἔθος, οἷς ἔστι τις συγγένεια πρὸς τὴν δρῦν; πρῶτοι γὰρ ἀνθρώπων γεγονέναι δοκοῦσιν ἐκ γῆς, ὥσπερ ἡ δρῦς τῶν φυτῶν.

93. 'Διὰ τί γυψὶ χρῶνται μάλιστα πρὸς τοὺς οἰωνισμούς;' πότερον ὅτι καὶ Ῥωμύλῳ δώδεκα γῦπες ἐφάνησαν ἐπὶ τῇ κτίσει τῆς Ῥώμης, ἢ ὅτι τῶν ὀρνίθων ἥκιστα συνεχὴς καὶ συνήθης οὗτος; οὐδὲ γὰρ νεοττιᾷ γυπὸς ἐντυχεῖν ῥᾳδίως ἔστιν, ἀλλὰ πόρρω-
B θέν ποθεν ἐξαπίνης καταίρουσι· διὸ καὶ σημειώδης ἡ ὄψις αὐτῶν ἐστιν. ἢ καὶ τοῦτο παρ' Ἡρακλέους ἔμαθον; εἰ λέγει ἀληθῶς Ἡρόδωρος, ὅτι πάντων μάλιστα γυψὶν ἐπὶ πράξεως ἀρχῇ φανεῖσιν ἔχαιρεν Ἡρακλῆς, ἡγούμενος δικαιότατον εἶναι τὸν γῦπα τῶν σαρκοφάγων ἁπάντων· πρῶτον μὲν γὰρ οὐδενὸς ἅπτεται ζῶντος οὐδ' ἀποκτίννυσιν ἔμψυχον οὐδὲν ὡς ἀετοὶ καὶ ἱέρακες καὶ τὰ νυκτίνομα· χρῆται

1 δι' M 2 Μαλλίων *: μαλίων 22 Ἡρόδωρος] Mueller. 2 p. 31

δὲ τοῖς ἄλλως ἀποθανοῦσιν. ἔπειτα καὶ τούτων τὰ ὁμόφυλα παρίησι· πετεινοῦ γὰρ οὐδεὶς ἑώρακε γῦπα γευόμενον, ὡς ἀετοὶ καὶ ἱέρακες μάλιστα τὰ συγγενῆ διώκουσι καὶ κόπτουσι. καίτοι κατ' Αἰσχύλον C

'ὄρνιθος ὄρνις πῶς ἂν ἁγνεύοι φαγών;'

ἀνθρώποις θ' ὡς ἔπος εἰπεῖν ἀβλαβέστατός ἐστιν, οὔτε καρπὸν ἀφανίζων οὔτε φυτὸν οὐδὲ ζῷον ἥμερον κακουργῶν. εἰ δ' ὡς Αἰγύπτιοι μυθολογοῦσι θῆλυ πᾶν τὸ γένος ἐστὶ καὶ κυΐσκονται δεχόμενοι καταπνέοντα τὸν ἀπηλιώτην ὥσπερ τὰ δένδρα τὸν ζέφυρον, καὶ παντάπασιν ἀπλανῆ τὰ σημεῖα καὶ βέβαια γίγνεσθαι πιθανόν ἐστιν ἀπ' αὐτῶν. ἐν δὲ τοῖς ἄλλοις αἱ περὶ τὰς ὀχείας σοβήσεις ἔτι δ' ἁρπαγαὶ καὶ φυγαὶ καὶ διώξεις πολὺ τὸ θορυβῶδες καὶ ἀκατάστατον ἔχουσι.

94. 'Διὰ τί τοῦ Ἀσκληπιοῦ τὸ ἱερὸν ἔξω τῆς πόλεώς ἐστι;' πότερον ὅτι τὰς ἔξω διατριβὰς ὑγιεινοτέρας ἐνόμιζον εἶναι τῶν ἐν ἄστει· καὶ γὰρ Ἕλληνες ἐν τόποις καὶ καθαροῖς καὶ ὑψηλοῖς ἐπιεικῶς ἱδρυμένα τὰ Ἀσκληπιεῖα ἔχουσιν· ἢ ὅτι τὸν θεὸν ἐξ Ἐπιδαύρου μετάπεμπτον ἥκειν νομίζουσιν; Ἐπιδαυρίοις δ' οὐ κατὰ πόλιν ἀλλὰ πόρρω τὸ Ἀσκληπιεῖον ἔστιν. ἢ ὅτι τοῦ δράκοντος ἐκ τῆς τριήρους κατὰ τὴν νῆσον ἀποβάντος καὶ ἀφανισθέντος αὐτὸν ᾤοντο τὴν ἵδρυσιν ὑφηγεῖσθαι τὸν θεόν; D

95. 'Διὰ τί νενόμισται τοὺς ἁγνεύοντας ὀσπρίων

1 ἄλλως W: ἄλλοις 4 Αἰσχύλον] Suppl. 223 7 οὐδὲ ζῷον *: οὔτε ζῷον 20 Ἀσκληπιεῖα — Ἀσκληπιεῖον *: ἀσκληπίεια — ἀσκληπίειον

ἀπέχεσθαι;' πότερον, ὡς οἱ Πυθαγορικοὶ τοὺς μὲν
κυάμους ἀφωσιοῦντο διὰ τὰς λεγομένας αἰτίας, τὸν
E δὲ λάθυρον καὶ τὸν ἐρέβινθον ὡς παρωνύμους τοῦ
ἐρέβους καὶ τῆς λήθης· ἢ ὅτι πρὸς τὰ περίδειπνα
καὶ τὰς προκλήσεις τῶν νεκρῶν μάλιστα χρῶνται
τοῖς ὀσπρίοις; ἢ μᾶλλον ὅτι δεῖ πρὸς τὰς ἁγνείας
καὶ ἁγιστείας καθαρὰ καὶ λιτὰ τὰ σώματα ἔχειν; ἔστι
δὲ τὰ ὄσπρια πνευματώδη καὶ περίσσευμα ποιεῖ πολ-
λῆς καθάρσεως δεόμενον. ἢ ὅτι καὶ πρὸς συνουσίαν
παρορμᾷ διὰ τὸ φυσῶδες καὶ πνευματικόν;

96. 'Διὰ τί τῶν παναγῶν παρθένων τὰς διαφθα-
F ρείσας ἄλλως οὐ κολάζουσιν, ἀλλὰ ζώσας κατορύτ-
τουσι;' πότερον ὅτι κάουσι τοὺς ἀποθανόντας, θά-
πτειν δὲ πυρὶ τὴν τὸ πῦρ τὸ θεῖον ὁσίως μὴ φυλάξασαν
οὐκ ἦν δίκαιον· ἢ σῶμα ταῖς μεγίσταις καθωσιω-
μένον ἁγιστείαις ἀναιρεῖν καὶ προσφέρειν ἱερᾷ γυ-
ναικὶ χεῖρας οὐ θεμιτὸν ἐνόμιζον; αὐτὴν οὖν ἀπο-
θανεῖν μηχανώμενοι δι' αὑτῆς, κατεβίβαζον ὑπὸ γῆν
εἰς οἴκημα πεποιημένον, ὅπου καὶ λύχνος ἔκειτο
καόμενος καὶ ἄρτος καὶ γάλακτός τι καὶ ὕδατος·
287 εἶτα γῇ τὸ οἴκημα κατέκρυπτον ἄνωθεν. καὶ οὐδὲ
τοῦτον τὸν τρόπον ἀφοσιωσάμενοι τὴν δεισιδαιμονίαν
ἐκπεφεύγασιν, ἀλλὰ μέχρι νῦν ἐναγίζουσιν οἱ ἱερεῖς
ἐκεῖ βαδίζοντες ἐπὶ τὸν τόπον.

97. 'Διὰ τί ταῖς Δεκεμβρίαις εἰδοῖς ἱπποδρομίας
γενομένης ὁ νικήσας δεξιόσειρος Ἄρει θύεται, καὶ

8 περίσσευμα] περίσσωμα? 12 ἀλλὰ] ἀλλ' ἤ? 25 'Δεκεμβρίαις pro Ὀκτωβρίαις aut ipsius aut librarii errori debeatur' W 26 δεξιόσειρος Abreschius: δεξιὸς ἱερὸς

τὴν μὲν οὐρὰν ἀποκόψας τις ἐπὶ τὴν Ῥηγίαν καλουμένην κομίζει καὶ τὸν βωμὸν αἱμάσσει, περὶ δὲ τῆς κεφαλῆς οἱ μὲν ἀπὸ τῆς ἱερᾶς ὁδοῦ λεγομένης οἱ δ' ἀπὸ τῆς Συβούρης καταβάντες διαμάχονται;' πότερον, ὡς ἔνιοι λέγουσιν, ἵππῳ τὴν Τροίαν ἡλωκέναι νομίζοντες ἵππον κολάζουσιν, ἅτε δὴ καὶ γεγονότες

'Τρώων ἀγλαὰ τέκνα μεμιγμένα παισὶ Λατίνων·' B

ἢ ὅτι θυμοειδὲς καὶ πολεμικὸν καὶ ἀρήιον ὁ ἵππος ἐστὶ τὰ δὲ προσφιλῆ μάλιστα καὶ πρόσφορα θύουσι τοῖς θεοῖς, ὁ δὲ νικήσας θύεται διὰ τὸ νίκης καὶ κράτους οἰκεῖον εἶναι τὸν θεόν; ἢ μᾶλλον ὅτι τοῦ θεοῦ στάσιμον τὸ ἔργον ἐστὶ καὶ νικῶσιν οἱ μένοντες ἐν τάξει τοὺς μὴ μένοντας ἀλλὰ φεύγοντας, καὶ κολάζεται τὸ τάχος ὡς δειλίας ἐφόδιον, καὶ μανθάνουσι συμβολικῶς ὅτι σωτήριον οὐκ ἔστι τοῖς φεύγουσι;

98. 'Διὰ τί οἱ τιμηταὶ τὴν ἀρχὴν παραλαβόντες οὐδὲν ἄλλο πράττουσι πρότερον ἢ τὴν τροφὴν ἀπομισθοῦσι τῶν ἱερῶν χηνῶν καὶ τὴν γάνωσιν τοῦ C
ἀγάλματος;' πότερον ἀπὸ τῶν εὐτελεστάτων ἀρχόμενοι καὶ μὴ πολλῆς δεομένων δαπάνης μηδὲ πραγματείας, ἢ παλαιά τις αὕτη χάρις ἀπομνημονεύεται τοῖς ζῴοις ἀπὸ τῶν Κελτικῶν, ὅτι τοὺς βαρβάρους ὑπερβαίνοντας ἤδη τὸ περιτείχισμα τοῦ Καπετωλίου νύκτωρ οἱ χῆνες ᾔσθοντο τῶν κυνῶν καθευδόντων

1 Ῥηγίαν Vit. Num. c. 14: ῥήγειναν 4 Συβούρης *: σιβούρης 8 Τρώων] cf. Hom. Σ 337 et passim 19 πρότερον Madvigius: πρῶτον

καὶ βοῇ τοὺς φύλακας ἐπήγειραν; ἢ φύλακες ὄντες οἱ τιμηταὶ τῶν μεγίστων, καὶ προσῆκον ἐπισκοπεῖν καὶ πολυπραγμονεῖν αὐτοῖς ἱερὰ καὶ δημόσια καὶ βίους καὶ ἤθη καὶ διαίτας, τὸ φυλακτικώτατον ζῷον εὐθὺς ἐν λόγῳ τίθενται, καὶ ἅμα τῇ τούτων ἐπιμελείᾳ προτρέπονται τοὺς πολίτας μὴ ἀμελεῖν μηδὲ D ῥαθυμεῖν τῶν ἱερῶν; ἡ δὲ γάνωσις τοῦ ἀγάλματος ἀναγκαία· ταχὺ γὰρ ἐξανθεῖ τὸ μίλτινον, ᾧ τὰ παλαιὰ τῶν ἀγαλμάτων ἔχρωζον.

99. 'Διὰ τί τῶν ἄλλων ἱερέων τὸν καταδικασθέντα καὶ φυγόντα παύοντες ἕτερον αἱροῦνται, τοῦ δ' 'αὔγουρος', ἕως ζῇ, κἂν ἐπὶ τοῖς μεγίστοις ἀδικήμασι καταγνῶσιν, οὐκ ἀφαιροῦνται τὴν ἱερωσύνην ('αὔγουρας' δὲ τοὺς ἐπὶ τῶν οἰωνῶν καλοῦσι);' πότερον, ὡς ἔνιοι λέγουσι, βούλονται μηδένα τὰ τῶν ἱερῶν ἀπόρρητα γιγνώσκειν, ὃς οὐκ ἔστιν ἱερεύς· ἢ κατειλημμένον ὅρκοις τὸν αὔγουρα μηδενὶ φράσειν τὰ τῶν ἱερῶν ἀπολῦσαι τῶν ὅρκων οὐ θέλουσιν E ἰδιώτην γενόμενον; ἢ τιμῆς οὐκ ἔστιν οὐδ' ἀρχῆς ἀλλ' ἐπιστήμης ὄνομα καὶ τέχνης ὁ αὔγουρ; ὅμοιον οὖν τῷ τὸν μουσικὸν ἀποψηφίσασθαι μουσικὸν μὴ εἶναι καὶ τὸν ἰατρὸν ἰατρὸν τὸ κωλύειν μάντιν εἶναι τὸν μάντιν, ἀφελέσθαι μὴ δυναμένους τὴν δύναμιν αὐτοῦ, κἂν ἀφέλωνται τὴν προσηγορίαν. ἄλλον δ' οὐ καθιστᾶσιν, εἰκότως τὸν ἐξ ἀρχῆς ἀριθμὸν τῶν αὐγούρων φυλάττοντες.

100. 'Διὰ τί ταῖς Αὐγούσταις εἰδοῖς, Σεξτιλίαις δὲ πρότερον λεγομέναις, ἑορτάζουσιν αἵ τε δοῦλαι

18 ἱερῶν *: ἱερέων 19 γενόμενον *: γινόμενον

καὶ οἱ δοῦλοι πάντες, αἱ δὲ γυναῖκες μάλιστα ῥύ- F
πτεσθαι τὰς κεφαλὰς καὶ καθαίρειν ἐπιτηδεύουσιν;’
ἢ διὰ τὸ Σερούιον τὸν βασιλέα κατὰ ταύτην τὴν
ἡμέραν ἐξ αἰχμαλώτου γενέσθαι θεραπαινίδος ἄδειαν
ἔργων ἔχουσιν οἱ θεράποντες, τὸ δὲ πλύνειν τὰς
κεφαλὰς ἀρξάμενον ἀπὸ τῶν θεραπαινίδων διὰ τὴν
ἑορτὴν ἄχρι τῶν ἐλευθέρων προῆλθεν;

101. ‘Διὰ τί κοσμοῦσι τοὺς παῖδας τοῖς περιδε-
ραίοις, ἃ βούλλας καλοῦσι;’ πότερον ἐπὶ τιμῇ τῶν
ἡρπασμένων γυναικῶν, ὥσπερ ἄλλα πολλά, καὶ τοῦτ’
ἐψηφίσαντο τοῖς ἐξ αὐτῶν γεννωμένοις ὑπάρχειν;
ἢ τὴν Ταρκυνίου τιμῶντες ἀνδραγαθίαν; λέγεται
γὰρ ἔτι παῖς ὢν ἐν τῇ μάχῃ τῇ πρὸς Λατίνους ἅμα 288
καὶ Τυρρηνοὺς ἐμβαλεῖν εἰς τοὺς πολεμίους, ἀπορ-
ρυεὶς δὲ τοῦ ἵππου καὶ τοὺς ἐπιφερομένους ἰταμῶς
ὑποστὰς ἐπιρρῶσαι τοὺς Ῥωμαίους· γενομένης δὲ
λαμπρᾶς τροπῆς τῶν πολεμίων καὶ μυρίων ἑξακισ-
χιλίων ἀναιρεθέντων, τοῦτο λαβεῖν ἀριστεῖον παρὰ
τοῦ πατρὸς καὶ βασιλέως. ἢ τοῖς παλαιοῖς οἰκετῶν
μὲν ἐρᾶν ὥραν ἐχόντων οὐκ ἦν ἄδοξον οὐδ’ αἰσχρόν,
ὡς ἔτι νῦν αἱ κωμῳδίαι μαρτυροῦσιν· ἐλευθέρων
δὲ παίδων ἰσχυρῶς ἀπείχοντο, καὶ ὅπως μηδὲ γυ-
μνοῖς ἐντυχόντες ἀμφιγνοήσειαν, ἐφόρουν οἱ παῖδες
τὸ παράσημον; ἢ καὶ πρὸς ἀταξίαν ἐστὶ φυλακτήριον B
τοῦτο, καὶ τρόπον τινὰ τοῦ ἀκολάστου χαλινός, αἰσχυ-
νομένων ἀνδροῦσθαι πρὶν ἢ τὸ παιδικὸν ἀποθέσθαι
παράσημον; ὃ μὲν γὰρ οἱ περὶ Βάρρωνα λέγουσιν

3 τὸ *: τὸν   24 ἀταξίαν Abreschius: εὐταξίαν

οὐ πιθανόν ἐστι, τῆς βούλλης ὑπὸ Αἰολέων βόλλας προσαγορευομένης, τοῦτο σύμβολον εὐβουλίας περιτίθεσθαι τοὺς παῖδας. ἀλλ' ὅρα μὴ καὶ τοῦτο διὰ τὴν σελήνην φοροῦσι. τὸ γὰρ φαινόμενον σχῆμα τῆς σελήνης, ὅταν ᾖ διχόμηνος, οὐ σφαιροειδὲς ἀλλὰ φακοειδές ἐστι καὶ δισκοειδές, ὡς δ' Ἐμπεδοκλῆς οἴεται, καὶ τὸ ὑποκείμενον.

102. 'Διὰ τί τῶν παίδων τοῖς μὲν ἄρρεσιν C ἐναταίοις, τοῖς δὲ θήλεσιν ὀγδοαίοις τὰ ὀνόματα τίθενται;' ἢ τὸ μὲν προτέροις τοῖς θήλεσιν αἰτίαν ἔχει τὴν φύσιν; καὶ γὰρ αὔξεται τὸ θῆλυ καὶ ἀκμάζει καὶ τελειοῦται πρότερον τοῦ ἄρρενος. τῶν δ' ἡμερῶν τὰς μετὰ τὴν ἑβδόμην λαμβάνουσιν· ἡ γὰρ ἑβδόμη σφαλερὰ τοῖς νεογνοῖς πρός τε τἄλλα καὶ τὸν ὀμφαλόν· ἑβδομαῖος γὰρ ἀπολύεται τοῖς πλείστοις· ἕως δ' ἀπολυθῇ, φυτῷ μᾶλλον ἢ ζῴῳ προσέοικε τὸ νήπιον. ἢ καθάπερ οἱ Πυθαγορικοὶ τοῦ ἀριθμοῦ τὸν μὲν ἄρτιον θῆλυν ἄρρενα δὲ τὸν περιττὸν ἐνό- D μιζον; γόνιμος γάρ ἐστι καὶ κρατεῖ τοῦ ἀρτίου συντιθέμενος. καὶ διαιρουμένων εἰς τὰς μονάδας ὁ μὲν ἄρτιος καθάπερ τὸ θῆλυ χώραν μεταξὺ κενὴν ἐνδίδωσι, τοῦ δὲ περιττοῦ μόριον ἀεί τι πλῆρες ὑπολείπεται· διὸ τὸν μὲν ἄρρενι τὸν δὲ θήλει πρόσφορον νομίζουσιν. ἢ ὅτι τῶν ἀριθμῶν ἁπάντων τὰ μὲν ἐννέα πρῶτός ἐστι τετράγωνος ἀπὸ περιττοῦ καὶ τελείου τῆς τριάδος, τὰ δ' ὀκτὼ πρῶτος κύβος ἀπὸ ἀρτίου τῆς δυάδος; δεῖ δὲ τὸν μὲν ἄνδρα τετράγωνον εἶναι καὶ περιττὸν καὶ τέλειον, τὴν δὲ γυναῖκα

14 τἄλλα *: τὰ ἄλλα 16 δ'] δ' ἂν? 27 ἄνδρα Polus

καθάπερ τὸν κύβον ἑδραῖον καὶ οἰκουρὸν καὶ δυσμετακίνητον. τούτῳ δὲ προσληπτέον, ὅτι τὰ μὲν ὀκτὼ E
κύβος ἐστὶν ἀπὸ δυάδος, τὰ δ' ἐννέα τετράγωνος ἀπὸ τριάδος· χρῶνται δὲ δυσὶ μὲν ὀνόμασιν αἱ θήλειαι τρισὶ δ' οἱ ἄρρενες.

103. 'Διὰ τί τοὺς ἀπάτορας 'σπορίους' υἱοὺς καλοῦσιν;' οὐ γάρ, ὡς Ἕλληνες νομίζουσι καὶ λέγουσιν οἱ ῥήτορες ἐν ταῖς δίκαις, συμφορητοῦ τινος καὶ κοινοῦ σπέρματος γεγόνασιν, ἀλλ' ἔστιν ὁ Σπόριος τῶν πρώτων ὀνομάτων, ὡς ὁ Σέξτος καὶ ὁ Δέκιμος καὶ ὁ Γάιος. τὰ δὲ πρῶτα τῶν ὀνομάτων οὐχ ὁλογραφοῦσιν ἀλλ' ἢ δι' ἑνὸς γράμματος, ὡς τὸν Τίτον καὶ τὸν Λούκιον καὶ τὸν Μάρκον· ἢ διὰ δυεῖν, ὡς τὸν Τιβέριον καὶ τὸν Γναῖον· ἢ διὰ τριῶν, ὡς τὸν Σέξτον καὶ τὸν Σερούιον. ἔστιν οὖν καὶ ὁ Σπόριος τῶν διὰ δυεῖν γραφομένων, τοῦ σ καὶ τοῦ π. γρά- F
φουσι δὲ διὰ τούτων καὶ τοὺς ἀπάτορας 'σίνε πάτρις' οἷον ἄνευ πατρός, τῷ μὲν σ τό 'σίνε' τῷ δὲ π τό 'πάτρις' σημαίνοντες. τοῦτ' οὖν τὴν πλάνην ἐποίησε, τὸ διὰ τῶν αὐτῶν γραμμάτων τό 'σίνε πάτρις' καὶ τὸν Σπόριον γράφεσθαι. λεκτέον δὲ καὶ τὸν ἕτερον λόγον, ἔστι δ' ἀτοπώτερος· τοὺς γὰρ Σαβίνους φασὶ τὸ τῆς γυναικὸς αἰδοῖον ὀνομάζειν σπόριον, εἶθ' οἷον ἐφυβρίζοντας οὕτω προσαγορεύειν τὸν ἐκ γυναικὸς ἀγάμου καὶ ἀνεγγύου γεγεννημένον.

104. 'Διὰ τί τὸν Διόνυσον 'λίβερουμ πάτρεμ' καλοῦσι;' πότερον ὡς ἐλευθερίας πατέρα τοῖς πιοῦσι γιγνόμενον· γίγνονται γὰρ οἱ πολλοὶ θρασεῖς καὶ 289

2 τούτῳ W: τοῦτο 14 Τιβέριον X: βέρριον 25 γεγενημένον?

παρρησίας ὑποπιμπλῶνται περὶ τὰς μέθας· ἢ ὅτι τὴν λοιβὴν παρέσχεν; ἤ, ὡς Ἀλέξανδρός φησιν, ἀπὸ τοῦ παρ' Ἐλευθερὰς τῆς Βοιωτίας Ἐλευθερέως Διονύσου προσαγορευομένου;

105. 'Διὰ τίνα αἰτίαν ἐν ταῖς δημοσίαις ἑορταῖς ἔθος οὐκ ἔστι γαμεῖσθαι παρθένους, αἱ δὲ χῆραι γαμοῦνται;' πότερον, ὡς ὁ Βάρρων εἴρηκεν, ὅτι λυπούμεναι μὲν αἱ παρθένοι γαμοῦνται, χαίρουσαι δ' αἱ γυναῖκες, ἑορτῇ δέον μηδὲν λυπουμένους ποιεῖν μηδὲ πρὸς ἀνάγκην· ἢ μᾶλλον ὅτι ταῖς μὲν παρθέ-
B νοις καλὸν μὴ ὀλίγων, ταῖς δὲ χήραις αἰσχρὸν πολλῶν ὄντων γαμεῖσθαι; ζηλωτὸς γὰρ ὁ πρῶτος γάμος ὁ δὲ δεύτερος ἀπευκταῖος· αἰσχύνονται γάρ, ἂν ζώντων τῶν προτέρων ἑτέρους λαμβάνωσιν, ὀδύρονται δέ, ἂν ἀποθανόντων. ὅθεν ἡσυχίᾳ χαίρουσι μᾶλλον ἢ θορύβοις καὶ προπομπαῖς. αἱ δ' ἑορταὶ περισπῶσι τοὺς πολλούς, ὥστε τοῖς τοιούτοις μὴ σχολάζειν. ἢ ὅτι καὶ τὰς Σαβίνων θυγατέρας ἁρπάσαντες ἐν ἑορτῇ παρθένους οὔσας εἰς πόλεμον κατέστησαν, ἐξοιωνίσαντο τὸ γαμεῖν παρθένους ἐν ἱεραῖς ἡμέραις;

106. 'Διὰ τί Ῥωμαῖοι τύχην σέβονται Πριμιγένειαν, ἣν ἄν τις εἴποι πρωτογένειαν;' ἆρ' ὅτι
C Σερουίῳ κατὰ τύχην, ὥς φασιν, ἐκ θεραπαινίδος γενομένῳ βασιλεῦσαι τῆς Ῥώμης ἐπιφανῶς ὑπῆρξεν (οὕτω γὰρ οἱ πολλοὶ Ῥωμαίων ὑπειλήφασιν)· ἢ μᾶλλον, ὅτι τῆς Ῥώμης ἡ τύχη παρέσχε τὴν ἀρχὴν

2 Ἀλέξανδρος] Mueller. 3 p. 244 3 Ἐλευθερὰς Duebnerus: ἐλευθέρας 9 δέον *: δὲ 12 ὄντων] παρόντων M

καὶ τὴν γένεσιν; ἢ φυσικώτερον ἔχει λόγον τὸ πρᾶγμα καὶ φιλοσοφώτερον, ὡς τὴν τύχην πάντων οὖσαν ἀρχὴν καὶ τὴν φύσιν ἐκ τοῦ κατὰ τύχην συνισταμένην, ὅταν τισὶν ὡς ἔτυχεν ἀποκειμένοις τάξις ἐγγένηται;

107. 'Διὰ τί τοὺς περὶ τὸν Διόνυσον τεχνίτας 'ἱστρίωνας' Ῥωμαῖοι καλοῦσιν;' ἢ δι' ἣν αἰτίαν Κλούβιος Ῥοῦφος ἱστόρηκε; φησὶ γὰρ ἐν τοῖς πάνυ παλαιοῖς χρόνοις Γαΐου τε Σουλπικίου καὶ Λικινίου D Στόλωνος ὑπατευόντων, λοιμώδη νόσον ἐν Ῥώμῃ γενομένην πάντας ὁμαλῶς διαφθεῖραι τοὺς ἐπὶ σκηνὴν προερχομένους· δεηθεῖσιν οὖν αὐτοῖς ἐκ Τυρρηνίας ἐλθεῖν πολλοὺς καὶ ἀγαθοὺς τεχνίτας, ὧν τὸν πρωτεύοντα δόξῃ καὶ χρόνον πλεῖστον ἐνευημεροῦντα τοῖς θεάτροις Ἴστρον ὀνομάζεσθαι· καὶ διὰ τοῦτο πάντας 'ἱστρίωνας' ἀπ' ἐκείνου προσαγορεύεσθαι.

108. 'Διὰ τί δὲ τὰς ἐγγὺς γένους οὐ γαμοῦσι;' πότερον αὔξειν τοῖς γάμοις βουλόμενοι τὰς οἰκειότητας καὶ συγγενεῖς πολλοὺς ἐπικτᾶσθαι, διδόντες ἑτέροις καὶ λαμβάνοντες παρ' ἑτέρων γυναῖκας· ἢ E φοβούμενοι τὰς ἐν τοῖς γάμοις τῶν συγγενῶν διαφορὰς ὡς καὶ τὰ φύσει δίκαια προσαπολλυούσας; ἢ πολλῶν βοηθῶν τὰς γυναῖκας ὁρῶντες δι' ἀσθένειαν δεομένας, οὐκ ἐβούλοντο τὰς ἐγγὺς γένους συνοικίζειν, ὅπως, ἂν οἱ ἄνδρες ἀδικῶσιν αὐτάς, οἱ συγγενεῖς βοηθῶσιν;

109. 'Διὰ τί τῷ ἱερεῖ τοῦ Διός, ὃν Φλάμινα Διᾶλιν καλοῦσιν, οὐκ ἐξῆν ἀλεύρου θιγεῖν, οὐδὲ

ζύμης;’ ἢ τὸ μὲν ἄλευρον ἀτελὴς τροφὴ καὶ ἄπεπτός ἐστιν; οὔτε γὰρ ὃ ἦν μεμένηκεν ὁ πυρὸς οὔθ’ ὃ δεῖ γενέσθαι γέγονεν ὁ ἄρτος, ἀλλὰ καὶ τὴν σπέρματος δύναμιν ἀπολώλεκεν ἅμα καὶ τὴν σιτίου
F χρείαν οὐκ ἔσχηκε. διὸ καὶ ‘μυλήφατον’ ὁ ποιητὴς ‘ἄλφιτον’ ἐκ μεταφορᾶς ὠνόμασεν ὥσπερ φονευόμενον ἐν τῷ ἀλέτῳ καὶ φθειρόμενον· ἡ δὲ ζύμη καὶ γέγονεν ἐκ φθορᾶς αὐτὴ καὶ φθείρει τὸ φύραμα μιγνυμένη· γίγνεται γὰρ ἄτονον καὶ ἀδρανὲς καὶ ὅλως ἔοικε σῆψις ἡ ζύμωσις εἶναι· πλεονάσασα γοῦν ἀποξύνει παντάπασι καὶ φθείρει τὸ ἄλευρον.

110. ‘Διὰ τί καὶ σαρκὸς ὠμῆς ἀπείρηται τῷ ἱερεῖ ψαύειν;’ πότερον ὠμοφαγίας πάνυ πόρρωθεν ἀποτρέπει τὸ ἔθος, ἢ δι’ ἣν τὸ ἄλευρον αἰτίαν
290 ἀφοσιοῦνται καὶ τὸ κρέας; οὔτε γάρ ἐστι ζῷον οὔτ’ ὄψον ἤδη γέγονεν. ἡ γὰρ ἕψησις καὶ ὄπτησις ἀλλοίωσις οὖσα καὶ μετακόσμησις ἐξίστησι τὴν μορφήν. τὸ δὲ πρόσφατον καὶ ὠμὸν οὐδὲ τὴν ὄψιν ἔχει καθαρὰν καὶ ἀμίαντον, ἀλλ’ εἰδεχθῆ καὶ ἑλκώδη.

111. ‘Διὰ τί δὲ κυνὸς καὶ αἰγὸς ἐκέλευον ἀπέχεσθαι τὸν ἱερέα, μήθ’ ἁπτόμενον μήτ’ ὀνομάζοντα;’ πότερον τῆς μὲν αἰγὸς βδελυττόμενοι τὸ ἀκόλαστον καὶ δυσῶδες, ἢ φοβούμενοι τὸ νοσηματικόν; δοκεῖ γὰρ ἐπιληψίᾳ καταλαμβάνεσθαι μάλιστα τῶν ζῴων καὶ προσαναχρώννυσθαι τοῖς φαγοῦσιν ἢ θιγοῦσιν ὑπὸ τοῦ πάθους ἐχομένης. αἰτίαν δὲ λέγουσι τὴν
B στενότητα τῶν πνευματικῶν πόρων πολλάκις ἐπιλαμ-

5 μυλήφατον] Hom. β 355

βανομένην, τεκμαιρόμενοι τῇ λεπτότητι τῆς φωνῆς. καὶ γὰρ ἀνθρώπων ὅσοις ἐπιληπτίζουσι συμβαίνει φθέγγεσθαι, μηκασμῷ παραπλησίαν φωνὴν ἀφιᾶσι. τῷ δὲ κυνὶ τοῦ μὲν ἀκολάστου καὶ δυσώδους ἧττον ἴσως μέτεστι· καίτοι φασὶν ἔνιοι μήτε τῆς Ἀθηναίων ἀκροπόλεως ἐπιβαίνειν κύνα μήτε τῆς Δηλίων νήσου διὰ τὴν ἐμφανῆ μῖξιν, ὥσπερ βοῶν καὶ συῶν καὶ ἵππων ἐν θαλάμοις ἀλλ᾽ οὐκ ἐμφανῶς καὶ ἀνέδην ὀχευόντων. τὴν γὰρ ἀληθινὴν αἰτίαν ἀγνοοῦσιν, ὅτι μάχιμον ὄντα τὸν κύνα τῶν ἀσύλων καὶ ἁγίων ἐξείργουσιν ἱερῶν, ἀσφαλῆ καταφυγὴν C τοῖς ἱκέταις διδόντες. εἰκὸς μὲν οὖν ἐστι καὶ τὸν ἱερέα τοῦ Διὸς ὥσπερ ἔμψυχον καὶ ἱερὸν καὶ ἄγαλμα καταφύξιμον ἀνεῖσθαι τοῖς δεομένοις καὶ ἱκετεύουσι, μηδενὸς ἀπείργοντος μηδ᾽ ἐκφοβοῦντος. διὸ κλινίδιον μὲν ἦν αὐτοῦ κείμενον ἐν τῷ θυρῶνι τῆς οἰκίας· ὁ δὲ προσπεσὼν τοῖς γόνασι τὴν ἡμέραν ἐκείνην ἄδειαν εἶχε πληγῶν καὶ κολάσεως· εἰ δὲ δεσμώτης φθαίη προσελθών, ἐλύετο· τοὺς δὲ δεσμοὺς ἐκτὸς οὐ κατὰ θύρας ἀλλ᾽ ὑπὲρ τοῦ στέγους ἀπερρίπτουν. οὐδὲν οὖν ὄφελος ἦν οὕτως αὐτὸν ἥμερον παρέχειν καὶ φιλάνθρωπον, εἰ κύων προειστήκει δεδιττόμενος καὶ ἀπερύκων τοὺς προσφυγεῖν δεομένους. οὐ μὴν οὐδὲ καθαρεύειν ᾤοντο παντά- D πασιν οἱ παλαιοὶ τὸ ζῷον· ὀλυμπίων μὲν γὰρ οὐδενὶ θεῶν καθιέρωται, χθονίᾳ δὲ δεῖπνον Ἑκάτῃ πεμπόμενος εἰς τριόδους ἀποτροπαίων καὶ καθαρ-

13 καὶ ἄγαλμα] ἄγαλμα Duebnerus

σίων ἐπέχει μοῖραν. ἐν δὲ Λακεδαίμονι τῷ φονικωτάτῳ θεῶν Ἐνυαλίῳ σκύλακας ἐντέμνουσι· Βοιωτοῖς δὲ δημοσίᾳ καθαρμός ἐστι κυνὸς διχοτομηθέντος τῶν μερῶν διεξελθεῖν· αὐτοὶ δὲ Ῥωμαῖοι τοῖς Λυκαίοις, ἃ Λουπερκάλια καλοῦσιν, ἐν τῷ καθαρσίῳ μηνὶ κύνα θύουσιν. ὅθεν οὐκ ἀπὸ τρόπου τοῖς τὸν ὑπέρτατον καὶ καθαρώτατον εἰληφόσι θεραπεύειν θεὸν ἀπειρῆσθαι κύνα ποιεῖσθαι συνήθη καὶ σύνοικον.

E 112. ʽΔιὰ τίνα δ' αἰτίαν οὐδὲ κιττοῦ θιγεῖν ἐφεῖτο τῷ ἱερεῖ τοῦ Διός, οὐδ' ὁδὸν διελθεῖν ἀναδενδράδος ἄνωθεν διατεταμένης;' ἢ τοῦτο μὲν ὅμοιόν ἐστι τῷ ʽμὴ ἐσθίειν ἐπὶ δίφρου' ʽμηδ' ἐπὶ χοίνικος καθῆσθαι' ʽμηδὲ σάρον ὑπερβαίνειν', οὐ ταῦτα τῶν Πυθαγορικῶν δεδιότων καὶ φυλαττομένων, ἀλλ' ἕτερα τούτοις ἀπαγορευόντων; καὶ γὰρ τὸ ὑπ' ἄμπελον ὑποπορεύεσθαι τὴν ἀναφορὰν ἐπὶ τὸν οἶνον εἶχεν, ὡς οὐ θεμιτὸν τῷ ἱερεῖ μεθύσκεσθαι. τῶν γὰρ μεθυσκομένων ὑπὲρ κεφαλῆς ὁ οἶνός ἐστι καὶ πιέζονται καὶ ταπεινοῦνται, δέον ὑπερτέρους εἶναι
F καὶ κρατεῖν ἀεὶ τῆς ἡδονῆς ταύτης ἀλλὰ μὴ κρατεῖσθαι. τὸν δὲ κιττὸν πότερον ὡς ἄκαρπον καὶ ἄχρηστον ἀνθρώποις, ἀδρανῆ δὲ καὶ δι' ἀσθένειαν ἑτέρων ὀχούντων δεόμενον, σκιᾷ δὲ καὶ χλωρότητος ὄψει γοητεύοντα τοὺς πολλούς, οὐκ ᾤοντο δεῖν ἀσύμβολον ἐν ταῖς οἰκίαις μάτην ἐντρέφεσθαι καὶ περιπλέκεσθαι, βλαβερὸν ὄντα τοῖς προσδεχομένοις

4 διὰ τῶν μερῶν Abreschius. τῶν μερῶν διὰ μέσου?
11 ἐφεῖτο *: ἐφίετο 13 ἐπὶ δίφρου p. 354b: ἀπὸ δίφρου

φυτοῖς τῆς γῆς ἐχόμενον (διὸ τῶν μὲν ὀλυμπίων 291 ἱερῶν εἴργεται, καὶ οὔτ' ἐν Ἥρας Ἀθήνησιν οὔτε Θήβησιν ἐν Ἀφροδίτης ἴδοι τις ἂν κιττόν· Ἀγριωνίοις δὲ καὶ Νυκτελίοις, ὧν τὰ πολλὰ διὰ σκότους δρᾶται, πάρεστιν)· ἢ καὶ τοῦτο συμβολικὴ θιάσων καὶ βακχευμάτων ἀπαγόρευσις ἦν; αἱ γὰρ ἔνοχοι τοῖς βακχικοῖς πάθεσι γυναῖκες εὐθὺς ἐπὶ τὸν κιττὸν φέρονται, καὶ σπαράττουσι δραττόμεναι ταῖς χερσὶ καὶ διεσθίουσαι τοῖς στόμασιν· ὥστε μὴ παντελῶς ἀπιθάνους εἶναι τοὺς λέγοντας, ὅτι καὶ πνεῦμα μανίας ἔχων ἐγερτικὸν καὶ παρακινητικὸν ἐξίστησι καὶ ταράττει, καὶ ὅλως ἄοινον ἐπάγει μέθην B καὶ χάριν τοῖς ἐπισφαλῶς πρὸς ἐνθουσιασμὸν ἔχουσι.

113. 'Διὰ τί τοῖς ἱερεῦσι τούτοις ἀρχὴν οὐκ ἐφεῖτο λαβεῖν οὐδὲ μετελθεῖν, ἀλλὰ ῥαβδούχῳ τε χρῶνται καὶ δίφρον ἡγεμονικὸν ἐπὶ τιμῇ καὶ παραμυθίᾳ τοῦ μὴ ἄρχειν ἔχουσι;' πότερον, ὡς ἐνιαχοῦ τῆς Ἑλλάδος ἀντίρροπον ἦν τὸ τῆς ἱερωσύνης ἀξίωμα πρὸς τὸ τῆς βασιλείας, καὶ μὴ τυχόντας ἱερεῖς ἀπεδείκνυσαν· ἢ μᾶλλον ὅτι, τῶν μὲν ἱερέων ὡρισμένας πράξεις ἐχόντων τῶν δ' ἀρχόντων ἀτάκτους καὶ ἀορίστους, οὐκ ἦν δυνατὸν εἰς ἓν ἅμα τῶν C καιρῶν συμπεσόντων ἑκατέρῳ παρεῖναι τὸν αὐτόν, ἀλλ' ἔδει θάτερα πολλάκις ἀμφοτέρων ἐπειγόντων ἀπολείποντα νῦν μὲν ἀσεβεῖν τοὺς θεούς, νῦν δὲ βλάπτειν τοὺς πολίτας; ἢ ταῖς ἀνθρωπίναις ἐνο-

3 Ἀγριωνίοις M: ἄγριον ἴοις 12 ταράττει W: σπαράττει. cf. p. 136 c 13 καὶ χάριν] καὶ ἄχαριν (melius κἄχαριν) X. Possis etiam καὶ χάριν ἄχαριν 19 καὶ μὴ] ἧς τοὺς μὴ W. ἧς καὶ μὴ Duebnerus

ρῶντες ἀρχαῖς οὐκ ἐλάττονα τῆς ἐξουσίας τὴν ἀνάγκην προσοῦσαν, καὶ τὸν ἄρχοντα δήμου, καθάπερ Ἱπποκράτης ἔφη τὸν ἰατρόν, δεινὰ μὲν ὁρῶντα δεινῶν δ' ἁπτόμενον, ἐπ' ἀλλοτρίοις δὲ κακοῖς ἰδίας λύπας καρπούμενον, οὐχ ὅσιον ἡγοῦντο θύειν θεοῖς καὶ ἱερῶν κατάρχεσθαι γενόμενον ἐν καταδίκαις καὶ θανατώσεσι πολιτῶν, πολλάκις δὲ καὶ συγγενῶν καὶ οἰκείων, οἷα καὶ Βρούτῳ συνέτυχε;

2 Ἱπποκράτης] Vol. VI p. 213 Chart. 3 δεινῶν] ἀηδῶν?

ΚΕΦΑΛΑΙΩΝ ΚΑΤΑΓΡΑΦΗ.

ΕΛΛΗΝΙΚΑ.

1. ‘Τίνες οἱ ἐν Ἐπιδαύρῳ κονίποδες καὶ ἄρτυνοι;’ οἱ μὲν τὸ πολίτευμα *** ὀγδοήκοντα καὶ ἑκατὸν E ἄνδρες ἦσαν· ἐκ δὲ τούτων ᾑροῦντο βουλευτάς, οὓς ‘ἀρτύνους’ ἐκάλουν. τοῦ δὲ δήμου τὸ πλεῖστον ἐν ἀγρῷ διέτριβεν· ἐκαλοῦντο δέ ‘κονίποδες’, ὡς συμβαλεῖν ἔστιν ἀπὸ τῶν ποδῶν γνωριζόμενοι κεκονιμένων, ὁπότε κατέλθοιεν εἰς τὴν πόλιν.

2. ‘Τίς ἡ παρὰ Κυμαίοις ὀνοβάτις;’ τῶν γυναικῶν τὴν ἐπὶ μοιχείᾳ ληφθεῖσαν ἀγαγόντες εἰς ἀγορὰν F ἐπὶ λίθου τινὸς ἐμφανῆ πᾶσι καθίστασαν· εἶθ’ οὕτως ἀνεβίβαζον ἐπ’ ὄνον, καὶ τὴν πόλιν κύκλῳ περιαχθεῖσαν ἔδει πάλιν ἐπὶ τὸν αὐτὸν λίθον καταστῆναι καὶ τὸ λοιπὸν ἄτιμον διατελεῖν, ‘ὀνοβάτιν’ προσαγορευομένην. τὸν δὲ λίθον ἀπὸ τούτου καθαρὸν οὐ νομίζοντες ἀφωσιοῦντο. ἦν δὲ καὶ φυλάκτου τις ἀρχὴ παρ’ αὐτοῖς· ὁ δὲ ταύτην ἔχων τὸν μὲν ἄλλον χρόνον ἐτήρει τὸ δεσμωτήριον, εἰς δὲ τὴν

2 lac. 8 litt. in E, quam supplet verbo *ἔχοντες* W. Malim *διέποντες*   14 *καθαρὸν οὐ* *: *οὐ καθαρὸν*

292 βουλὴν ἐν τῷ νυκτερινῷ συλλόγῳ παριὼν ἐξῆγε τοὺς βασιλεῖς τῆς χειρὸς καὶ κατεῖχε, μέχρι περὶ αὐτῶν ἡ βουλὴ διαγνοίη, πότερον ἀδικοῦσιν ἢ οὔ, κρύβδην φέρουσα τὴν ψῆφον.

3. ‘Τίς παρὰ Σόλοις ἡ ὑπεκκαύστρια;’ τὴν τῆς Ἀθηνᾶς ἱέρειαν οὕτω καλοῦσιν, ὅτι ποιεῖταί τινας θυσίας καὶ ἱερουργίας ἀποτροπαίους.

4. ‘Τίνες ἐν Κνίδῳ οἱ ἀμνήμονες καὶ τίς ὁ ἀφεστήρ;’ ἑξήκοντα προκρίτοις ἀνδράσιν ἐκ τῶν ἀρίστων οἷον ἐπισκόποις ἐχρῶντο διὰ βίου καὶ προβούλοις τῶν μεγίστων· ἐκαλοῦντο δ’ ‘ἀμνήμονες’ ὡς ἄν τις εἰκάσειε διὰ τὸ ἀνυπεύθυνον, εἰ μὴ νὴ
B Δία πολυμνήμονές τινες ὄντες. ὁ δὲ τὰς γνώμας ἐρωτῶν ‘ἀφεστήρ’.

5. ‘Τίνες οἱ παρ’ Ἀρκάσι καὶ Λακεδαιμονίοις χρηστοί;’ Λακεδαιμόνιοι Τεγεάταις διαλλαγέντες ἐποιήσαντο συνθήκας καὶ στήλην ἐπ’ Ἀλφειῷ κοινὴν ἀνέστησαν, ἐν ᾗ μετὰ τῶν ἄλλων γέγραπται ‘Μεσσηνίους ἐκβαλεῖν ἐκ τῆς χώρας καὶ μὴ ἐξεῖναι ‘χρηστούς’ ποιεῖν.’ ἐξηγούμενος οὖν ὁ Ἀριστοτέλης τοῦτό φησι δύνασθαι τὸ μὴ ἀποκτιννύναι βοηθείας χάριν τοῖς λακωνίζουσι τῶν Τεγεατῶν.

6. ‘Τίς ὁ παρ’ Ὀπουντίοις κριθολόγος;’ οἱ πλεῖστοι τῶν Ἑλλήνων πρὸς τὰς πάνυ παλαιὰς θυσίας
C ἐχρῶντο ταῖς κριθαῖς, ἀπαρχομένων τῶν πολιτῶν. τὸν μὲν οὖν ἐπὶ τῶν θυσιῶν ἄρχοντα καὶ ταύτας κομιζόμενον τὰς ἀπαρχάς ‘κριθολόγον’ ὠνόμαζον. δύο

9 προκρίτοις ἀνδράσιν M: προκρίτους ἄνδρας 20 Ἀριστοτέλης] Fragm. 550

δ᾽ ἦσαν ἱερεῖς παρ᾽ αὐτοῖς, ὁ μὲν περὶ τὰ θεῖα τεταγμένος, ὁ δὲ περὶ τὰ δαιμόνια.

7. ‛Τίνες αἱ πλωιάδες νεφέλαι;᾽ τὰς ὑπόμβρους μάλιστα καὶ περιφερομένας ἐκάλουν ‛πλωιάδας᾽, ὡς Θεόφραστος ἐν τετάρτῃ περὶ μεταρσίων εἴρηκε κατὰ λέξιν ‛ἐπεὶ καὶ αἱ πλωιάδες αὗται νεφέλαι καὶ αἱ συνεστῶσαι, ἀκίνητοι δὲ καὶ τοῖς χρώμασιν ἔκλευκοι, δηλοῦσι διαφοράν τινα τῆς ὕλης, ὡς οὔτ᾽ ἐξυδατου- D μένης οὔτ᾽ ἐκπνευματουμένης.᾽

8. ‛Τίς ὁ παρὰ Βοιωτοῖς πλατυχαίτας;᾽ τοὺς οἰκίᾳ γειτνιῶντας ἢ χωρίοις ὁμοροῦντας αἰολίζοντες οὕτω καλοῦσιν ὡς τὸ πλεῖστον ἔχοντας. παραθήσομαι δὲ λέξιν μίαν ἐκ τοῦ θεσμοφυλακίου νόμου, πλειόνων οὐσῶν.

9. ‛Τίς ὁ παρὰ Δελφοῖς ὁσιωτὴρ καὶ διὰ τί βύσιον ἕνα τῶν μηνῶν καλοῦσιν;᾽ ‛ὁσιωτῆρα᾽ μὲν καλοῦσι τὸ θυόμενον ἱερεῖον, ὅταν ‛ὅσιος᾽ ἀποδειχθῇ. πέντε δ᾽ εἰσὶν ὅσιοι διὰ βίου, καὶ τὰ πολλὰ μετὰ τῶν προφητῶν δρῶσιν οὗτοι καὶ συνιερουργοῦσιν, ἅτε γεγονέναι δοκοῦντες ἀπὸ Δευκαλίωνος. ὁ δέ ‛βύσιος᾽ μήν, ὡς μὲν οἱ πολλοὶ νομίζουσι, φύσιός ἐστιν· E ἔαρος γὰρ ἄρχει καὶ τὰ πολλὰ φύεται τηνικαῦτα καὶ διαβλαστάνει. τὸ δ᾽ ἀληθὲς οὐκ ἔχει οὕτως· οὐ γὰρ ἀντὶ τοῦ φ τῷ β χρῶνται Δελφοί, καθάπερ Μακεδόνες ‛Βίλιππον᾽ καί ‛βαλακρόν᾽ καί ‛Βερονίκην᾽ λέγοντες, ἀλλ᾽ ἀντὶ τοῦ π· καὶ γὰρ τὸ πατεῖν ‛βατεῖν᾽

10 πλατυχαίτας] πλατυχέτας Schneiderus 12 πλεῖστον] πλησίον W 19 ἅτε X: ἄγε 25 Βίλιππον Basileensis: βίλιππον γὰρ

καὶ τὸ πικρόν ʽβικρόν᾽ ἐπιεικῶς καλοῦσιν. ἔστιν
οὖν πύσιος ὁ ʽβύσιος᾽, ἐν ᾧ πυστιῶνται καὶ πυνθά-
νονται τοῦ θεοῦ· τὸ γὰρ ἐννοεῖν καὶ πάτριον. ἐν
τῷ μηνὶ γὰρ τούτῳ χρηστήριον ἐγίγνετο καὶ ἑβδό-
μην ταύτην νομίζουσι τοῦ θεοῦ γενέθλιον, καὶ
F πολύφθοον ὀνομάζουσιν οὐ διὰ τὸ πέττεσθαι φθοῖς,
ἀλλὰ πολυπευθῆ καὶ πολυμάντευτον οὖσαν. ὀψὲ
γὰρ ἀνείθησαν αἱ κατὰ μῆνα μαντεῖαι τοῖς δεομένοις,
πρότερον δ᾽ ἅπαξ ἐθεμίστευεν ἡ Πυθία τοῦ ἐνιαυ-
τοῦ κατὰ ταύτην τὴν ἡμέραν, ὡς Καλλισθένης καὶ
Ἀναξανδρίδης ἱστορήκασι.

293 10. ʽΤί τὸ φυξίμηλον;᾽ τῶν μικρῶν ἐστι καὶ
χαμαιζήλων φυτῶν, ὧν ἐπιόντα τοὺς βλαστοὺς τὰ
βοσκήματα κολούει καὶ ἀδικεῖ καὶ λυμαίνεται τὴν
αὔξησιν· ὅταν γοῦν ἀναδραμόντα μέγεθος λάβῃ καὶ
διαφύγῃ τὸ βλάπτεσθαι ὑπὸ τῶν ἐπινεμομένων,
ʽφυξίμηλα᾽ καλεῖται. τὸ δὲ μαρτύριον Αἰσχύλος.

11. ʽΤίνες οἱ ἀποσφενδόνητοι;᾽ Κέρκυραν τὴν
νῆσον Ἐρετριεῖς κατῴκουν· Χαρικράτους δὲ πλεύ-
σαντος ἐκ Κορίνθου μετὰ δυνάμεως καὶ τῷ πολέμῳ
κρατοῦντος, ἐμβάντες εἰς τὰς ναῦς οἱ Ἐρετριεῖς
B ἀπέπλευσαν οἴκαδε. προαισθόμενοι δ᾽ οἱ πολῖται,
τῆς χώρας εἶργον αὐτοὺς καὶ ἀποβαίνειν ἐκώλυον
σφενδονῶντες. μὴ δυνάμενοι δὲ μήτε πεῖσαι μήτε
βιάσασθαι πολλοὺς καὶ ἀπαραιτήτους ὄντας, ἐπὶ
Θρᾴκης ἔπλευσαν καὶ κατασχόντες χωρίον, ἐν ᾧ

3 τὸ γὰρ] τοῦτο γὰρ? 6 φθοῖς *: φθόϊς 11 Ἀναξαν-
δρίδης] Ἀλεξανδρίδης Hemsterhusius. vid. Mueller. 3 p. 107
17 Αἰσχύλος] Nauck p. 97

πρότερον οἰκῆσαι Μέθωνα τὸν Ὀρφέως πρόγονον ἱστοροῦσι, τὴν μὲν πόλιν ὠνόμασαν Μεθώνην, ὑπὸ δὲ τῶν προσοίκων ‘ἀποσφενδόνητοι’ προσωνομάσθησαν.

12. ‘Τίς ἡ παρὰ Δελφοῖς Χάριλα;’ τρεῖς ἄγουσι Δελφοὶ ἐνναετηρίδας κατὰ τὸ ἑξῆς, ὧν τὴν μὲν Στεπτήριον καλοῦσι, τὴν δ’ Ἡρωίδα, τὴν δὲ Χάριλαν. C τὸ μὲν οὖν Στεπτήριον ἔοικε μίμημα τῆς πρὸς τὸν Πύθωνα τοῦ θεοῦ μάχης εἶναι καὶ τῆς μετὰ τὴν μάχην ἐπὶ τὰ Τέμπη φυγῆς καὶ ἐκδιώξεως. οἱ μὲν γὰρ φυγεῖν ἐπὶ τῷ φόνῳ φασὶ χρῄζοντα καθαρσίων, οἱ δὲ τῷ Πύθωνι τετρωμένῳ καὶ φεύγοντι κατὰ τὴν ὁδόν, ἣν νῦν ἱερὰν καλοῦμεν, ἐπακολουθεῖν καὶ μικρὸν ἀπολειφθῆναι τῆς τελευτῆς· κατέλαβε γὰρ αὐτὸν ἐκ τοῦ τραύματος ἄρτι τεθνηκότα καὶ κεκηδευμένον ὑπὸ τοῦ παιδός, ᾧ ὄνομα ἦν Αἴξ, ὡς λέγουσι. τὸ μὲν οὖν Στεπτήριον τούτων ἢ τοιούτων τινῶν ἀπομίμησίς ἐστιν ἑτέρων. τῆς δ’ Ἡρωίδος τὰ πλεῖστα μυστικὸν ἔχει λόγον, ὃν ἴσασιν αἱ Θυιάδες, ἐκ δὲ τῶν δρωμένων φανερῶς Σεμέλης ἄν τις D ἀναγωγὴν εἰκάσειε. περὶ δὲ τῆς Χαρίλας τοιαῦτά τινα μυθολογοῦσι. λιμὸς ἐξ αὐχμοῦ τοὺς Δελφοὺς κατέσχε, καὶ πρὸς τὰς θύρας τοῦ βασιλέως ἐλθόντες μετὰ τέκνων καὶ γυναικῶν ἱκέτευον. ὁ δὲ τῶν ἀλφίτων καὶ τῶν χεδρόπων μετεδίδου τοῖς γνωριμωτέροις αὐτῶν· οὐ γὰρ ἦν ἱκανὰ πᾶσιν. ἐλθούσης δὲ παιδὸς ἔτι μικρᾶς ὀρφανῆς γονέων καὶ προσλιπαρούσης,

1 πρόγονον] ἀπόγονον W 16 τοῦ παιδός] τῆς παιδός? 25 χεδρόπων *: χεδροπῶν

ἐρράπισεν αὐτὴν ὑποδήματι καὶ τῷ προσώπῳ τὸ
ὑπόδημα προσέρριψεν· ἡ δέ, πενιχρά τις οὖσα καὶ
ἔρημος οὐκ ἀγεννὴς δὲ τὸ ἦθος, ἐκποδὼν γενομένη
καὶ λύσασα τὴν ζώνην ἀνήρτησεν ἑαυτήν. ἐπιτεί-
E νοντος δὲ τοῦ λιμοῦ καὶ νοσημάτων προσγενομένων,
ἀνεῖλεν ἡ Πυθία τῷ βασιλεῖ Χάριλαν ἱλάσκεσθαι
παρθένον αὐτοθάνατον. μόλις οὖν ἀνευρόντες, ὅτι
τοὔνομα τοῦτ' ἦν τῇ ῥαπισθείσῃ παιδί, μεμιγμένην
τινὰ καθαρμῷ θυσίαν ἀπετέλεσαν, ἣν ἐπιτελοῦσιν
ἔτι καὶ νῦν δι' ἐννέα ἐτῶν. προκάθηται μὲν γὰρ
ὁ βασιλεὺς τῶν ἀλφίτων καὶ τῶν χεδρόπων ἐπιδι-
δοὺς πᾶσι καὶ ξένοις καὶ πολίταις, κομίζεται δὲ τῆς
F Χαρίλας παιδικὸν εἴδωλον· ὅταν οὖν πάντες λάβωσιν,
ὁ μὲν βασιλεὺς ῥαπίζει τῷ ὑποδήματι τὸ εἴδωλον,
ἡ δὲ τῶν Θυιάδων ἀρχηγὸς ἀραμένη κομίζει πρός
τινα τόπον φαραγγώδη, κἀκεῖ σχοινίον περιάψαντες
τῷ τραχήλῳ τοῦ εἰδώλου κατορύττουσιν, ὅπου τὴν
Χάριλαν ἀπαγξαμένην ἔθαψαν.

13. 'Τί τὸ πτωχικὸν κρέας παρ' Αἰνιᾶσι;' πλείο-
νες γεγόνασιν Αἰνιάνων μεταναστάσεις. πρῶτον μὲν
γὰρ οἰκοῦντες περὶ τὸ Δώτιον πεδίον ἐξέπεσον ὑπὸ
Λαπιθῶν εἰς Αἴθικας. ἐκεῖθεν τῆς Μολοσσίας τὴν
περὶ τὸν Ἀραούαν χώραν κατέσχον, ὅθεν ὠνομάσθη-
294 σαν Παραοῦαι. μετὰ ταῦτα Κίρραν κατέσχον· ἐν
δὲ Κίρρῃ καταλεύσαντες Οἴνοκλον τὸν βασιλέα, τοῦ
θεοῦ προστάξαντος, εἰς τὴν περὶ τὸν Ἴναχον χώραν

3 δὲ Huttenus: τε 19 *Αἰνιᾶσι* * hic et infra: *αἰνει-ᾶσι* 22 *ἐκεῖθεν*] *ἔπειτ' ἐκεῖθεν*? 23 *Ἀραούαν*] *Αὖον* X 24 *Παραοῦαι*] *Παραύαιοι* X. Melius *Παραυαῖοι* 25 *καταλεύσαντες* X: *καταπλεύσαντες*

κατέβησαν οἰκουμένην ὑπ᾽ Ἰναχιέων καὶ Ἀχαιῶν. γενομένου δὲ χρησμοῦ τοῖς μὲν ἂν μεταδῶσι τῆς χώρας ἀποβαλεῖν ἅπασαν, τοῖς δ᾽ ἂν λάβωσι παρ᾽ ἑκόντων καθέξειν, Τέμων, ἀνὴρ ἐλλόγιμος τῶν Αἰνιάνων, ἀναλαβὼν ῥάκια καὶ πήραν ὡς προσαιτήσων ἀφίκετο πρὸς τοὺς Ἰναχιεῖς· ὕβρει δὲ καὶ πρὸς γέλωτα τοῦ βασιλέως βῶλον ἐπιδόντος αὐτῷ, δεξάμενος εἰς τὴν πήραν ἐνέβαλε καὶ ἀφανὴς ἦν B ἠγαπηκὼς τὸ δῶρον· ἀπεχώρησε γὰρ εὐθὺς οὐδὲν προσαιτήσας. οἱ δὲ πρεσβύτεροι θαυμάσαντες ἀνεμιμνήσκοντο τοῦ χρησμοῦ, καὶ τῷ βασιλεῖ προσιόντες ἔλεγον μὴ καταφρονῆσαι μηδὲ προέσθαι τὸν ἄνθρωπον. αἰσθόμενος οὖν ὁ Τέμων τὴν διάνοιαν αὐτῶν ὥρμησε φεύγειν, καὶ διέφυγεν εὐξάμενος τῷ Ἀπόλλωνι καθ᾽ ἑκατόμβης. ἐκ δὲ τούτου μονομαχοῦσιν οἱ βασιλεῖς, καὶ τὸν τῶν Ἰναχιέων Ὑπέροχον ὁ τῶν Αἰνιάνων Φήμιος ὁρῶν μετὰ κυνὸς αὐτῷ προσφερόμενον οὐκ ἔφη δίκαια ποιεῖν, δεύτερον ἐπάγοντα μαχόμενον· ἀπελαύνοντος δὲ τοῦ Ὑπερόχου τὸν κύνα καὶ μεταστρεφομένου, λίθῳ βαλὼν ὁ Φήμιος αὐτὸν C ἀναιρεῖ. κτησάμενοι δὲ τὴν χώραν, τοὺς Ἰναχιεῖς μετὰ τῶν Ἀχαιῶν ἐκβαλόντες, τὸν μὲν λίθον ἐκεῖνον ὡς ἱερὸν σέβονται καὶ θύουσιν αὐτῷ καὶ τοῦ ἱερείου τῷ δημῷ περικαλύπτουσιν. ὅταν δὲ τῷ Ἀπόλλωνι τὴν ἑκατόμβην ἀποδιδῶσι, τῷ Διὶ βοῦν καθιερεύσαντες, μερίδα τοῖς Τέμωνος ἀπογόνοις ἐξαίρετον νέμουσι, καί 'πτωχικὸν κρέας' ἐπονομάζουσι.

5 ὡς προσαιτήσων *: καὶ προσαίτης ὢν   8 ἐμφανὴς M

14. ‘Τίνες οἱ παρ’ Ἰθακησίοις Κολιάδαι καὶ τίς ὁ φάγιλος;’ τῷ Ὀδυσσεῖ μετὰ τὴν μνηστηροφονίαν οἱ ἐπιτήδειοι τῶν τεθνηκότων ἐπανέστησαν, μεταπεμφθεὶς δ’ ὑπ’ ἀμφοτέρων διαιτητὴς Νεοπτόλεμος ἐδικαίωσε τὸν μὲν Ὀδυσσέα μεταναστῆναι καὶ φεύγειν D ἐκ τῆς Κεφαλληνίας καὶ Ζακύνθου καὶ Ἰθάκης ἐφ’ αἵματι, τοὺς δὲ τῶν μνηστήρων ἑταίρους καὶ οἰκείους ἀποφέρειν ποινὴν Ὀδυσσεῖ τῶν εἰς τὸν οἶκον ἀδικημάτων καθ’ ἕκαστον ἐνιαυτόν. αὐτὸς μὲν οὖν εἰς Ἰταλίαν μετέστη· τὴν δὲ ποινὴν τῷ υἱεῖ καθιερώσας ἀποφέρειν ἐκέλευσε τοὺς Ἰθακησίους. ἦν δ’ ἄλφιτα οἶνος κηρία ἔλαιον ἅλες ἱερεῖα πρεσβύτερα ‘φαγίλων’· ‘φάγιλον’ δέ φησιν Ἀριστοτέλης τὸν ἀμνὸν εἶναι. τοὺς δὲ περὶ Εὔμαιον ἐλευθερώσας ὁ Τηλέμαχος κατέμιξεν εἰς τοὺς πολίτας, καὶ τὸ γένος ἐστὶ Κολιαδῶν ἀπ’ Εὐμαίου καὶ Βουκολιδῶν ἀπὸ Φιλοιτίου.

15. ‘Τίς ἡ ξυλίνη κύων παρὰ Λοκροῖς;’ Φυσκίου E τοῦ Ἀμφικτύονος υἱὸς ἦν Λοκρός· ἐκ δὲ τούτου καὶ Καβύης Ὀποῦς. πρὸς ὃν ὁ πατὴρ διενεχθεὶς καὶ συχνοὺς τῶν πολιτῶν ἀναλαβὼν περὶ ἀποικίας ἐμαντεύετο. τοῦ δὲ θεοῦ φήσαντος κτίζειν πόλιν ὅπουπερ ἂν τύχῃ δηχθεὶς ὑπὸ κυνὸς ξυλίνης, ὑπερβαίνων εἰς τὴν ἑτέραν θάλασσαν ἐπάτησε κυνόσβατον. ἐνοχληθεὶς δὲ τῇ πληγῇ διέτριψεν ἡμέρας αὐτόθι πλείονας, ἐν αἷς καταμαθὼν τὸ χωρίον ἔκτισε πόλεις Φυσκεῖς καὶ Ὑάντειαν, καὶ τὰς ἄλλας, ὅσας οἱ κλη-

13 Ἀριστοτέλης] Fragm. 464 15 Κολιαδῶν X: κολιδῶν. Sed cf. Hesych. v. Κολλίδαι 16 Βουκολιδῶν Rosius (coll. Eust. ad Il. *O* 338 p. 1018): βουκολιῶν 19 Ὀποῦς idem ex Eust. ad Il. *B* 531 p. 277: λοκρός 26 Ὑάντειαν idem: ὑάνθειαν

θεντες Ὀζόλαι Λοκροὶ κατῴκησαν. Ὀζόλας δὲ Λοκροὺς F
οἱ μὲν διὰ τὸν Νέσσον, οἱ δὲ τὸν Πύθωνα δρά-
κοντα κληθῆναι λέγουσιν, ἐκβρασθέντας ὑπὸ τῆς
θαλάττης καὶ σαπέντας ἐν τῇ τῶν Λοκρῶν χώρᾳ.
τινὲς δὲ κώδια καὶ τραγέας τοὺς ἀνθρώπους φοροῦν-
τας καὶ τὰ πλεῖστα συνόντας αἰπολίοις γενέσθαι
δυσώδεις. ἔνιοι δὲ τοὐναντίον πολυάνθεμον τὴν
χώραν οὖσαν ὑπ' εὐωδίας τοὔνομα λαβεῖν· ὧν ἐστι
καὶ Ἀρχύτας ὁ Ἀμφισσεύς· γέγραφε γὰρ οὕτω·
'τὴν βοτρυοστέφανον μυρίπνουν Μάκυναν ἐραννήν.' 295

16. 'Τί τὸ καλούμενον ὑπὸ Μεγαρέων ἀφάβρωμα;'
Νῖσος, ἀφ' οὗ προσηγορεύθη Νίσαια, βασιλεύων ἐκ
Βοιωτίας ἔγημεν Ἀβρώτην, Ὀγχήστου θυγατέρα,
Μεγαρέως δ' ἀδελφήν, γυναῖκα καὶ τῷ φρονεῖν ὡς
ἔοικε περιττὴν καὶ σώφρονα διαφερόντως. ἀποθα-
νούσης δ' αὐτῆς, οἵ τε Μεγαρεῖς ἐπένθησαν ἑκου-
σίως καὶ ὁ Νῖσος ἀιδίαν τινὰ μνήμην καὶ δόξαν
αὐτῆς καταστῆναι βουλόμενος ἐκέλευε τὰς ἀστὰς
φορεῖν ἣν ἐκείνη στολὴν ἐφόρει, καὶ τὴν στολὴν B
'ἀφάβρωμα' δι' ἐκείνην ὠνόμασε. δοκεῖ δὲ τῇ δόξῃ
τῆς γυναικὸς καὶ ὁ θεὸς βοηθῆσαι· πολλάκις γὰρ
τὰς ἐσθῆτας ἀλλάξαι βουλομένας τὰς Μεγαρίδας
χρησμῷ διεκώλυσε.

17. 'Τίς ὁ δορίξενος;' τὸ παλαιὸν ἡ Μεγαρὶς
ᾠκεῖτο κατὰ κώμας, εἰς πέντε μέρη νενεμημένων
τῶν πολιτῶν. ἐκαλοῦντο δ' Ἡραεῖς καὶ Πιραεῖς καὶ

2 δὲ] malim δὲ διὰ   18 ἐκέλευε] ἐκέλευσε? τὰς ἀστὰς Bryanus: τὰ ὀστᾶ

Μεγαρεῖς καὶ Κυνοσουρεῖς καὶ Τριποδίσκιοι. τῶν δὲ Κορινθίων πόλεμον αὐτοῖς ἐξεργασαμένων πρὸς ἀλλήλους (ἀεὶ γὰρ ἐπεβούλευον ὑφ' αὑτοῖς ποιήσασθαι τὴν Μεγαρικήν), ὅμως δι' ἐπιείκειαν ἡμέρως C ἐπολέμουν καὶ συγγενικῶς. τοὺς μὲν γὰρ γεωργοῦντας οὐδεὶς ἠδίκει τὸ παράπαν, τοὺς δ' ἁλισκομένους λύτρον τι τεταγμένον ἔδει καταβαλεῖν, καὶ τοῦτ' ἐλάμβανον ἀφέντες. πρότερον δ' οὐκ εἰσέπραττον, ἀλλ' ὁ λαβὼν αἰχμάλωτον ἀπῆγεν οἴκαδε, καὶ μεταδοὺς ἁλῶν καὶ τραπέζης ἀπέπεμπεν οἴκαδε. ὁ μὲν οὖν τὰ λύτρα κομίσας ἐπῃνεῖτο καὶ φίλος ἀεὶ διετέλει τοῦ λαβόντος ἐκ δοριαλώτου 'δορίξενος' προσαγορευόμενος· ὁ δ' ἀποστερήσας οὐ μόνον παρὰ τοῖς πολεμίοις ἀλλὰ καὶ παρὰ τοῖς πολίταις ὡς ἄδικος καὶ ἄπιστος ἠδόξει.

18. '*Τίς ἡ παλιντοκία;*' Μεγαρεῖς Θεαγένη τὸν τύραννον ἐκβαλόντες, ὀλίγον χρόνον ἐσωφρόνησαν D κατὰ τὴν πολιτείαν· εἶτα πολλὴν κατὰ Πλάτωνα καὶ ἄκρατον αὐτοῖς ἐλευθερίαν τῶν δημαγωγῶν οἰνοχοούντων, διαφθαρέντες παντάπασι τά τ' ἄλλα τοῖς πλουσίοις ἀσελγῶς προσεφέροντο, καὶ παριόντες εἰς τὰς οἰκίας αὐτῶν οἱ πένητες ἠξίουν ἑστιᾶσθαι καὶ δειπνεῖν πολυτελῶς· εἰ δὲ μὴ τυγχάνοιεν, πρὸς βίαν καὶ μεθ' ὕβρεως ἐχρῶντο πᾶσι. τέλος δὲ δόγμα θέμενοι, τοὺς τόκους ἀνεπράττοντο παρὰ τῶν δανειστῶν οὓς δεδωκότες ἐτύγχανον, 'παλιντοκίαν' τὸ γιγνόμενον προσαγορεύσαντες.

1 *Τριποδίσκιοι* Herwerdenus: *τριποδισκαῖοι* 18 *Πλάτωνα*] Rep. p. 562 d

19. ‘Τίς ἡ Ἀνθηδών, περὶ ἧς ἡ Πυθιὰς εἶπε

‘πῖν’ οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις’ E

(ἡ γὰρ ἐν Βοιωτοῖς οὐκ ἔστι πολύοινος);’ τὴν Καλαύρειαν Εἰρήνην τὸ παλαιὸν ὠνόμαζον ἀπὸ γυναικὸς Εἰρήνης, ἣν ἐκ Ποσειδῶνος καὶ Μελανθείας τῆς Ἀλφειοῦ γενέσθαι μυθολογοῦσιν. ὕστερον δὲ τῶν περὶ Ἄνθην καὶ Ὑπέρην αὐτόθι κατοικούντων, Ἀνθηδονίαν καὶ Ὑπέρειαν ἐκάλουν τὴν νῆσον. εἶχε δ’ ὁ χρησμὸς οὕτως, ὡς Ἀριστοτέλης φησί,

‘πῖν’ οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις
οὐδ’ ἱερὰν Ὑπέραν, ὅθι γ’ ἄτρυγον οἶνον ἔπινες.’

ταῦτα μὲν ὁ Ἀριστοτέλης. ὁ δὲ Μνασιγείτων φησὶν F
Ὑπέρης ἀδελφὸν ὄντα τὸν Ἄνθον ἔτι νήπιον ἀπολέσθαι, καὶ τὴν Ὑπέρην κατὰ ζήτησιν αὐτοῦ πλανωμένην εἰς Φερὰς πρὸς Ἄκαστον ἐλθεῖν, ὅπου κατὰ τύχην ὁ Ἄνθος ἐδούλευεν οἰνοχοεῖν τεταγμένος. ὡς οὖν εἱστιῶντο, τὸν παῖδα προσφέροντα τῇ ἀδελφῇ τὸ ποτήριον ἐπιγνῶναι καὶ εἰπεῖν πρὸς αὐτὴν ἡσυχῇ

‘πῖν’ οἶνον τρυγίαν, ἐπεὶ οὐκ Ἀνθηδόνα ναίεις.’

20. ‘Τίς ὁ λεγόμενος ἐν Πριήνῃ παρὰ δρυῒ σκότος;’ Σάμιοι καὶ Πριηνεῖς πολεμοῦντες ἀλλήλοις, 296
τὰ μὲν ἄλλα μετρίως ἐβλάπτοντο καὶ ἔβλαπτον, μάχης δὲ μεγάλης γενομένης, χιλίους Σαμίων οἱ Πριηνεῖς ἀπέκτειναν· ἑβδόμῳ δ’ ὕστερον ἔτει Μιλησίοις συμβαλόντες παρὰ τὴν καλουμένην δρῦν τοὺς ἀρίστους ὁμοῦ τι καὶ πρώτους ἀπέβαλον τῶν πολιτῶν· ὅτε

3 Καλαύρειαν *: Καλαυρίαν 7 Ἄνθην] Ἄνθον? 12 Ἀριστοτέλης] Fragm. 555 15 Ἄκαστον Bryanus: ἄκαστον ἢ ἄδραστον

καὶ Βίας ὁ σοφὸς εἰς Σάμον ἐκ Πριήνης πρεσβεύσας εὐδοκίμησε. ταῖς δὲ Πριηνέων γυναιξὶν ὠμοῦ τοῦ πάθους τούτου καὶ τῆς συμφορᾶς ἐλεεινῆς γενομένης, ἀρὰ κατέστη καὶ ὅρκος περὶ τῶν μεγίστων ‘ὁ παρὰ B τῇ δρυῒ σκότος’ διὰ τὸ παῖδας αὐτῶν καὶ πατέρας καὶ ἄνδρας ἐκεῖ φονευθῆναι.

21. ‘Τίνες οἱ παρὰ Κρησὶ λεγόμενοι κατακαῦται;’ Τυρρηνούς φασι τοὺς τὰς Ἀθηναίων θυγατέρας καὶ γυναῖκας ἐκ Βραύρωνος ἁρπάσαντας, ὁπηνίκα Λῆμνον καὶ Ἴμβρον κατῴκουν, εἶτ’ ἐκπεσόντας, εἰς τὴν Λακωνικὴν ἀφικέσθαι καὶ γενέσθαι ἐπιμιξίαν αὐτοῖς μέχρι παίδων γενέσεως πρὸς τὰς ἐγχωρίους γυναῖκας· ἐκ δ’ ὑποψίας καὶ διαβολῆς πάλιν ἀναγκασθέντας ἐκλιπεῖν τὴν Λακωνικήν, μετὰ παίδων καὶ γυναικῶν C εἰς Κρήτην καταῖραι, Πόλλιν ἡγεμόνα καὶ Δελφὸν ἔχοντας. ἐκεῖ δὲ πολεμοῦντας τοῖς κατέχουσι τὴν Κρήτην, πολλοὺς περιορᾶν τῶν ἐν ταῖς μάχαις ἀποθνησκόντων ἀτάφους, τὸ μὲν πρῶτον ἀσχόλους διὰ τὸν πόλεμον ὄντας καὶ τὸν κίνδυνον, ὕστερον δὲ φεύγοντας ἅπτεσθαι νεκρῶν ἐφθαρμένων ὑπὸ χρόνου καὶ διερρυηκότων. τὸν οὖν Πόλλιν ἐξευρόντα τιμάς τινας καὶ προνομίας καὶ ἀτελείας ἀποδοῦναι τὰς μὲν τοῖς ἱερεῦσι τῶν θεῶν, τὰς δὲ τοῖς ταφεῦσι τῶν τετελευτηκότων, ἐπιφημίσαντα καὶ ταύτας δαίμοσι χθονίοις, ὅπως ἀναφαίρετοι διαμένοιεν· εἶτα κλήρῳ διαλαχεῖν πρὸς τὸν Δελφόν. ὀνομασθῆναι δὲ τοὺς

2 ὠμοῦ Madvigius: ὁμοῦ 8 τοὺς] om. mei codd. 15 καὶ Δελφὸν *: τὸν ἀδελφὸν 23 τῶν] τῶν χθονίων Herwerdenus 26 Δελφόν W: ἀδελφόν

μὲν ἱερεῖς, τοὺς δὲ 'κατακαύτας'· καὶ πολιτεύεσθαι μὲν αὐτοὺς καθ' αὑτούς, ἔχειν δὲ μετὰ τῶν ἄλλων D φιλανθρώπων καὶ ἄδειαν ἀδικημάτων, οἷς οἱ ἄλλοι Κρῆτες εἰώθασι χρῆσθαι πρὸς ἀλλήλους ἄγοντες λαθραίως καὶ ἀποφέροντες· ἐκείνους γὰρ οὐδὲν ἀδικεῖν οὐδὲ κλέπτειν οὐδὲν οὐδ' ἀφαιρεῖσθαι.

22. 'Τίς ὁ παίδων τάφος παρὰ Χαλκιδεῦσι;' Κόθος καὶ Αἴκλος οἱ Ξούθου παῖδες εἰς Εὔβοιαν ἧκον οἰκήσοντες, Αἰολέων τότε τὰ πλεῖστα τῆς νήσου κατεχόντων. ἦν δὲ τῷ Κόθῳ λόγιον εὖ πράξειν καὶ περιέσεσθαι τῶν πολεμίων, ἐὰν πρίηται τὴν χώραν. ἀποβὰς οὖν μετ' ὀλίγων ἐνέτυχε παίζουσι παιδαρίοις παρὰ τὴν θάλασσαν· συμπαίζων οὖν αὐτοῖς καὶ φιλοφρονούμενος ἔδειξε παίγνια πολλὰ τῶν ξενικῶν. E ὡς δ' ἑώρα τοὺς παῖδας ἐπιθυμοῦντας λαβεῖν, οὐκ ἔφησεν αὐτοῖς δώσειν ἄλλως, εἰ μὴ τῆς γῆς λάβοι παρ' αὐτῶν· οἱ δὲ παῖδες οὕτως ἀναιρούμενοι χαμᾶθεν ἐδίδοσαν καὶ τὰ παίγνια λαβόντες ἀπηλλάγησαν. οἱ δ' Αἰολεῖς αἰσθόμενοι τὸ γεγονός, καὶ τῶν πολεμίων αὐτοῖς ἐπιπλεόντων, ὑπ' ὀργῆς καὶ λύπης διεχρήσαντο τοὺς παῖδας. ἐτάφησαν δὲ παρὰ τὴν ὁδόν, ᾗ βαδίζουσιν ἐκ πόλεως ἐπὶ τὸν Εὔριπον, καὶ ὁ τόπος 'τάφος παίδων' καλεῖται.

23. 'Τίς ὁ μιξαρχαγέτας ἐν Ἄργει καὶ τίνες οἱ ἐλάσιοι;' 'μιξαρχαγέταν' τὸν Κάστορα καλοῦσι καὶ F νομίζουσι παρ' αὐτοῖς τεθάφθαι· τὸν δὲ Πολυδεύκην

8 Αἴκλος X: ἄρκλος 17 οὕτως] αὐτῆς? 18 χαμᾶθεν Piersonus: χαμαίθεν 24. 25 μιξαρχαγέτας(ν) X: μιξαρχαγεύτας(ν)

ὡς ἕνα τῶν Ὀλυμπίων σέβονται. τοὺς δὲ τὰς ἐπιλήψίας ἀποτρέπειν δοκοῦντας 'ἐλασίους' μὲν ὀνομάζουσι, δοκοῦσι δὲ τῶν Ἀλεξίδας τῆς Ἀμφιαράου θυγατρὸς ἀπογόνων εἶναι.

24. 'Τί τὸ παρ' Ἀργείοις λεγόμενον ἔγκνισμα;' τοῖς ἀποβαλοῦσί τινα συγγενῶν ἢ συνήθων ἔθος ἐστὶ μετὰ τὸ πένθος εὐθὺς τῷ Ἀπόλλωνι θύειν, ἡμέραις δ' ὕστερον τριάκοντα τῷ Ἑρμῇ. νομίζουσι γάρ, ὥσπερ τὰ σώματα τῶν ἀποθανόντων δέχεσθαι
297 τὴν γῆν, οὕτω τὰς ψυχὰς τὸν Ἑρμῆν· τοῦ δ' Ἀπόλλωνος τῷ ἀμφιπόλῳ κριθὰς διδόντες λαμβάνουσι κρέας τοῦ ἱερείου, καὶ τὸ πῦρ ἀποσβέσαντες ὡς μεμιασμένον παρ' ἑτέρων δ' ἐναυσάμενοι, τοῦτο τὸ κρέας ὀπτῶσιν 'ἔγκνισμα' προσαγορεύοντες.

25. 'Τίς ἀλάστωρ ἀλιτήριος παλαμναῖος;' οὐ γὰρ πειστέον τοῖς λέγουσιν 'ἀλιτηρίους' κεκλῆσθαι τοὺς ἐπιτηροῦντας ἐν τῷ λιμῷ τὸν ἀλοῦντα καὶ διαρπάζοντας· ἀλλ' 'ἀλάστωρ' μὲν κέκληται ὁ ἄληστα καὶ πολὺν χρόνον μνημονευθησόμενα δεδρακώς, 'ἀλιτήριος' δ' ὃν ἀλεύασθαι καὶ φυλάξασθαι διὰ μοχθηρίαν καλῶς εἶχε. ταῦτα, φησὶν ὁ Σωκράτης, ἐν διφθέραις χαλκαῖς γεγράφασι.

B 26. 'Τίνος ἔχεται διανοίας τὸ τοὺς ἀπάγοντας εἰς Κασσιοπαίαν τὸν βοῦν ἐξ Αἴνου τὰς παρθένους προπεμπούσας ἐπᾴδειν ἄχρι τῶν ὅρων

'μήποτε νοστήσαιτε φίλην ἐς πατρίδα γαῖαν';'

Αἰνιᾶνες ὑπὸ Λαπιθῶν ἐξαναστάντες τὸ πρῶτον

21 Σωκράτης] Mueller. 4 p. 498 24 Αἴνου] Αἰνιάνων W. Malim Αἰνίας 26 μήποτε] cf. Hom. σ 174. τ 298

ᾤκησαν περὶ τὴν Αἰθακίαν, εἶτα περὶ τὴν Μολοσσίδα καὶ Κασσιοπαίαν· οὐδὲν δὲ χρηστὸν ἀπὸ τῆς χώρας ἔχοντες, ἀλλὰ καὶ χαλεποῖς χρώμενοι προσοίκοις εἰς τὸ Κιρραῖον πεδίον ἧκον, Οἰνόκλου τοῦ C βασιλέως ἄγοντος αὐτούς. ἐκεῖ δὲ μεγάλων αὐχμῶν γενομένων, κατὰ χρησμὸν ὡς λέγεται τὸν Οἴνοκλον καταλεύσαντες καὶ πάλιν πλανηθέντες, εἰς ταύτην ἀφίκοντο τὴν χώραν, ἣν νῦν ἔχουσιν, ἀγαθὴν καὶ πάμφορον οὖσαν. ὅθεν εἰκότως εὔχονται τοῖς θεοῖς εἰς τὴν παλαιὰν πατρίδα μὴ ἐπανελθεῖν, ἀλλ' αὐτοῦ καταμένειν εὐδαιμονοῦντας.

27. 'Τί δήποτε παρὰ Ῥοδίοις εἰς τὸ τοῦ Ὀκριδίωνος ἡρῷον οὐκ εἰσέρχεται κῆρυξ'; ἦ ὅτι Ὄχιμος τὴν θυγατέρα Κυδίππην ἐνεγύησεν Ὀκριδίωνι; Κέρκαφος δ' ἀδελφὸς ὢν Ὀχίμου τῆς δὲ παιδὸς ἐρῶν, ἔπεισε τὸν κήρυκα (διὰ κηρύκων γὰρ ἔθος ἦν τὸ μετέρχεσθαι τὰς νύμφας), ὅταν παραλάβῃ τὴν Κυδίππην, πρὸς ἑαυτὸν ἀγαγεῖν. τούτου δὲ πραχθέντος, D ὁ μὲν Κέρκαφος ἔχων τὴν κόρην ἔφυγεν, ὕστερον δὲ τοῦ Ὀχίμου γηράσαντος ἐπανῆλθε. τοῖς δὲ Ῥοδίοις ἔθος κατέστη κήρυκα μὴ προσιέναι τῷ τοῦ Ὀκριδίωνος ἡρῴῳ διὰ τὴν γενομένην ἀδικίαν.

28. 'Τί δήποτε παρὰ Τενεδίοις εἰς τὸ τοῦ Τένου ἱερὸν οὐκ ἔξεστιν αὐλητὴν εἰσελθεῖν οὐδ' Ἀχιλλέως ἐν τῷ ἱερῷ μνησθῆναι;' ἦ ὅτι τῆς μητρυιᾶς τὸν Τένην διαβαλούσης ὡς βουλόμενον αὐτῇ συγγενέσθαι Μόλπος ὁ αὐλητὴς τὰ ψευδῆ κατεμαρτύρησεν αὐτοῦ,

13 ἦ Duebnerus hic et infra: ἢ

E διὰ τοῦτο τῷ Τένῃ συνέπεσε φεύγειν εἰς Τένεδον μετὰ τῆς ἀδελφῆς; Ἀχιλλεῖ δὲ λέγεται τὴν μητέρα Θέτιν ἰσχυρῶς ἀπαγορεῦσαι μὴ ἀνελεῖν τὸν Τένην ὡς τιμώμενον ὑπ' Ἀπόλλωνος, καὶ παρεγγυῆσαι ἑνὶ τῶν οἰκετῶν, ὅπως προσέχῃ καὶ ἀναμιμνήσκῃ, μὴ λάθῃ κτείνας ὁ Ἀχιλλεὺς τὸν Τένην. ἐπεὶ δὲ τὴν Τένεδον κατατρέχων ἐδίωκε τὴν ἀδελφὴν τοῦ Τένου F καλὴν οὖσαν ἀπαντήσας θ' ὁ Τένης ἠμύνετο πρὸ τῆς ἀδελφῆς, καὶ ἡ μὲν ἐξέφυγεν ὁ δὲ Τένης ἀνῃρέθη· ὁ Ἀχιλλεὺς πεσόντα γνωρίσας, τὸν μὲν οἰκέτην ἀπέκτεινεν, ὅτι παρὼν οὐκ ἀνέμνησε· τὸν δὲ Τένην ἔθαψεν, οὗ νῦν τὸ ἱερόν ἐστι, καὶ οὔτ' αὐλητὴς εἴσεισιν οὔτ' Ἀχιλλεὺς ὀνομάζεται.

29. 'Τίς ὁ παρ' Ἐπιδαμνίοις πωλήτης;' Ἐπιδάμνιοι γειτνιῶντες Ἰλλυριοῖς ᾐσθάνοντο τοὺς ἐπιμιγνυμένους αὐτοῖς πολίτας γιγνομένους πονηροὺς καὶ φοβούμενοι νεωτερισμὸν ᾑροῦντο πρὸς τὰ τοιαῦτα συμβόλαια καὶ τὰς ἀμείψεις καθ' ἕκαστον ἐνιαυτὸν ἕνα τῶν δεδοκιμασμένων παρ' αὐτοῖς, ὃς ἐπιφοιτῶν 298 τοῖς βαρβάροις παρεῖχεν ἀγορὰν καὶ διάθεσιν πᾶσι τοῖς πολίταις 'πωλήτης' προσαγορευόμενος.

30. 'Τίς ἡ περὶ Θρᾴκην Ἀραίνου ἀκτή;' Ἄνδριοι καὶ Χαλκιδεῖς πλεύσαντες εἰς Θρᾴκην οἰκήσεως ἕνεκα Σάνην μὲν πόλιν ἐκ προδοσίας κοινῇ παρέλαβον, τὴν δ' Ἄκανθον ἐκλελοιπέναι τοὺς βαρβάρους πυνθανόμενοι, δύο κατασκόπους ἔπεμψαν. ὡς δὲ τῇ πόλει προσιόντες παντάπασι πεφευγότας ᾐσθάνοντο

6 λάθῃ *: λάθοι 10 ὁ Ἀχιλλεὺς *: ὁ δ' Ἀχιλλεὺς
22 Ἀραίνου] Ἀραίου?

τοὺς πολεμίους, ὁ μὲν Χαλκιδικὸς προεξέδραμεν ὡς καταληψόμενος τοῖς Χαλκιδεῦσι τὴν πόλιν, ὁ δ' Ἄνδριος οὐ συνεξανύτων ἠκόντισε τὸ δόρυ, καὶ ταῖς πύλαις ἐμπαρέντος μέγα βοήσας ‘Ἀνδρίων’ ἔφη ‘παισὶν αἰχμῇ προκατειλῆφθαι τὴν πόλιν.’ ἐκ τούτου διαφορᾶς B γενομένης, ἄνευ πολέμου συνέβησαν Ἐρυθραίοις καὶ Σαμίοις καὶ Παρίοις χρήσασθαι περὶ πάντων δικασταῖς. ἐπεὶ δ' οἱ μὲν Ἐρυθραῖοι καὶ οἱ Σάμιοι τὴν ψῆφον Ἀνδρίοις ἤνεγκαν, οἱ δὲ Πάριοι Χαλκιδεῦσιν, ἀρὰς ἔθεντο περὶ τὸν τόπον τοῦτον οἱ Ἄνδριοι κατ' αὐτῶν μήτε δοῦναι γυναῖκα Παρίοις μήτε λαβεῖν παρ' αὐτῶν· καὶ διὰ τοῦτο προσηγόρευσαν ‘ἀκτὴν Ἀραίνου’, πρότερον ὀνομαζομένην Δράκοντος.

31. ‘Διὰ τί τοῖς θεσμοφορίοις αἱ τῶν Ἐρετριέων γυναῖκες οὐ πρὸς πῦρ ἀλλὰ πρὸς ἥλιον ὀπτῶσι τὰ κρέα, καὶ Καλλιγένειαν οὐ καλοῦσιν;’ ἢ ὅτι ταῖς αἰχμαλώτοις, ἃς ἦγεν ἐκ Τροίας Ἀγαμέμνων, ἐνταῦθα C συνέβη θεσμοφόρια θύειν, πλοῦ δὲ φανέντος, ἐξαίφνης ἀνήχθησαν ἀτελῆ τὴν θυσίαν καταλιποῦσαι;

32. ‘Τίνες οἱ ἀειναῦται παρὰ Μιλησίοις;’ τῶν περὶ Θόαντα καὶ Δαμασήνορα τυράννων καταλυθέντων, ἑταιρεῖαι δύο τὴν πόλιν κατέσχον, ὧν ἡ μὲν ἐκαλεῖτο Πλουτὶς ἡ δὲ Χειρομάχα. κρατήσαντες οὖν οἱ δυνατοὶ καὶ τὰ πράγματα περιστήσαντες εἰς τὴν ἑταιρείαν, ἐβουλεύοντο περὶ τῶν μεγίστων ἐμβαίνοντες εἰς τὰ πλοῖα καὶ πόρρω τῆς γῆς ἐπανάγοντες· κυρώσαντες δὲ τὴν γνώμην κατέπλεον, καὶ διὰ τοῦτ' D ‘ἀειναῦται’ προσηγορεύθησαν.

4 μέγα βοήσας Patzigius: μετὰ βοῆς 13 Ἀραίνου] Ἀραίου?

33. ‘Τί δήποτε Χαλκιδεῖς τὸν περὶ τὸ Πυρσόφιον τόπον ‘ἀκμαίων λέσχην’ καλοῦσι;’ τὸν Ναύπλιόν φασιν ὑπὸ τῶν Ἀχαιῶν διωκόμενον Χαλκιδεῖς ἱκετεῦσαι, καὶ τὰ μὲν περὶ τῆς αἰτίας ἀπολογεῖσθαι, τὰ δ’ αὐτὸν ἀντεγκαλεῖν τοῖς Ἀχαιοῖς. ἐκδιδόναι μὲν οὖν αὐτὸν οἱ Χαλκιδεῖς οὐκ ἐμέλλησαν· δεδιότες δὲ μὴ δόλῳ φονευθῇ, φυλακὴν ἔδοσαν αὐτῷ τοὺς ἀκμάζοντας νεανίσκους καὶ κατέστησαν εἰς τὸν τόπον τοῦτον, ὅπου συνῆσαν ἀλλήλοις ἅμα καὶ τὸν Ναύπλιον παρεφύλαττον.

E 34. ‘Τίς ὁ βοῦν εὐεργέτῃ θύσας;’ πλοῖον ὥρμει περὶ τὴν Ἰθακησίαν λῃστρικόν, ἐν ᾧ πρεσβύτης ἐτύγχανε μετὰ κεραμίων ἐχόντων πίτταν. τούτῳ τὸν νοῦν κατὰ τύχην προσέσχε πορθμεὺς Ἰθακήσιος ὀνόματι Πυρρίας, καὶ τὸν πρεσβύτην ἐρρύσατο μηδενὸς δεόμενος, ἀλλὰ πεισθεὶς ὑπ’ αὐτοῦ καὶ οἰκτίρας· προσέλαβε δὲ καὶ τῶν κεραμίων, τοῦ πρεσβύτου κελεύσαντος. ἀπαλλαγέντων δὲ τῶν λῃστῶν καὶ γενομένης ἀδείας, ὁ πρεσβύτης τοῖς κεραμίοις τὸν Πυρρίαν προσαγαγὼν χρυσίον ἐδείκνυεν ἐν αὐτοῖς πολὺ
F καὶ ἀργύριον τῇ πίττῃ καταμεμιγμένον. ἐξαίφνης οὖν ὁ Πυρρίας πλούσιος γενόμενος τά τ’ ἄλλ’ εὖ περιεῖπε τὸν γέροντα καὶ βοῦν ἔθυσεν αὐτῷ. ὃ καὶ παροιμιαζόμενοι λέγουσιν ‘οὐδεὶς εὐεργέτῃ βοῦν ἔθυσεν ἀλλ’ ἢ Πυρρίας.’

35. ‘Τί δήποτε ταῖς κόραις τῶν Βοττιαίων ἔθος ἦν λέγειν χορευούσαις ‘ἴωμεν εἰς Ἀθήνας’;’ Κρῆτάς

6 οὖν * 13 τὸν νοῦν *: οὖν 24 οὐδεὶς] οὐδὲ εἷς M

φασιν εὐξαμένους ἀνθρώπων ἀπαρχὴν εἰς Δελφοὺς ἀποστεῖλαι, τοὺς δὲ πεμφθέντας, ὡς ἑώρων οὐδεμίαν οὖσαν εὐπορίαν, αὐτόθεν εἰς ἀποικίαν ὁρμῆσαι· καὶ 299 πρῶτον μὲν ἐν Ἰαπυγίᾳ κατοικῆσαι, ἔπειτα τῆς Θρᾴκης τοῦτον τὸν τόπον κατασχεῖν, ἀναμεμιγμένων αὐτοῖς Ἀθηναίων. ἔοικε γὰρ μὴ διαφθείρειν ὁ Μίνως οὓς ἔπεμπον Ἀθηναῖοι κατὰ τὸν δασμὸν ἠιθέους, ἀλλὰ κατέχειν παρ' ἑαυτῷ λατρεύοντας. ἐξ ἐκείνων οὖν τινες γεγονότες καὶ νομιζόμενοι Κρῆτες εἰς Δελφοὺς συναπεστάλησαν. ὅθεν αἱ θυγατέρες τῶν Βοττιαίων ἀπομνημονεύουσαι τοῦ γένους ᾖδον ἐν ταῖς ἑορταῖς 'ἴωμεν εἰς Ἀθήνας'.

36. 'Διὰ τί τὸν Διόνυσον αἱ τῶν Ἠλείων γυναῖκες ὑμνοῦσαι παρακαλοῦσι βοέῳ ποδὶ παραγίγνεσθαι πρὸς αὐτάς (ἔχει δ' οὕτως ὁ ὕμνος 'ἐλθεῖν, ἥρω Διό- B νυσε, Ἀλείων ἐς ναὸν Ἁγνὸν σὺν Χαρίτεσσιν Ἐς ναὸν Τῷ βοέῳ ποδὶ θύων.' εἶτα δὶς ἐπᾴδουσιν 'ἄξιε ταῦρε');' πότερον ὅτι καὶ βουγενῆ προσαγορεύουσι καὶ ταῦρον ἔνιοι τὸν θεόν, ἢ τῷ μεγάλῳ ποδί 'βοέῳ' λέγουσιν, ὡς 'βοῶπιν' ὁ ποιητὴς τὴν μεγαλόφθαλμον καί 'βουγάιον' τὸν μεγάλαυχον; ἢ μᾶλλον, ὅτι τοῦ βοὸς ὁ πους ἀβλαβής ἐστι τὸ δὲ κερασφόρον ἐπιβλαβές, οὕτω τὸν θεὸν παρακαλοῦσι πρᾶον ἐλθεῖν καὶ ἄλυπον; ἢ ὅτι καὶ ἀρότου καὶ σπόρου πολλοὶ τὸν θεὸν ἀρχηγὸν γεγονέναι νομίζουσι;

37. 'Διὰ τί Ταναγραίοις πρὸ τῆς πόλεώς ἐστιν C

15 ἐλθεῖν] Bergk 3 p. 656 16 Ἀλείων idem: ἅλιον 20. 21 cf. Hom. *A* 551 passim. *N* 824 22 κερασφόρον] κέρας σφοδρὸν καὶ Patzigius. An κέρας φοβερὸν καὶ? 24 ἀρότου W: ἀρότρου

Ἀχίλλειον, τόπος οὕτω προσαγορευόμενος;' ἔχθρα γὰρ αὐτῷ μᾶλλον ἢ φιλία λέγεται γεγονέναι πρὸς τὴν πόλιν, ἁρπάσαντι μὲν τὴν μητέρα τοῦ Ποιμάνδρου Στρατονίκην, ἀποκτείναντι δ' υἱὸν Ἐφίππου Ἀκέστορα.' Ποίμανδρος τοίνυν ὁ Ἐφίππου πατήρ, ἔτι τῆς Ταναγρικῆς κατὰ κώμας οἰκουμένης, ἐν τῷ καλουμένῳ Στέφοντι πολιορκούμενος ὑπὸ τῶν Ἀχαιῶν διὰ τὸ μὴ βούλεσθαι συστρατεύειν, ἐξέλιπε τὸ χωρίον ἐκεῖνο νύκτωρ καὶ τὴν Ποιμανδρίαν ἐτείχισε. παρὼν δὲ Πολύκριθος ὁ ἀρχιτέκτων διαφαυλίζων τὰ ἔργα καὶ καταγελῶν ὑπερήλατο τὴν τάφρον. ὀργι-D σθεὶς ὁ Ποίμανδρος ὥρμησε λίθον ἐμβαλεῖν αὐτῷ μέγαν, ὃς ἦν αὐτόθι κεκρυμμένος ἐκ παλαιοῦ, νυκτελίοις ἱεροῖς ἐπικείμενος· τοῦτον ἀνασπάσας ὑπ' ἀγνοίας ὁ Ποίμανδρος ἔβαλε, καὶ τοῦ μὲν Πολυκρίθου διήμαρτε, Λεύκιππον δὲ τὸν υἱὸν ἀπέκτεινεν. ἔδει μὲν οὖν κατὰ τὸν νόμον ἐκ τῆς Βοιωτίας μεταστῆναι, ἐφέστιον καὶ ἱκέτην ξένον γενόμενον· οὐκ ἦν δὲ ῥᾴδιον, ἐμβεβληκότων εἰς τὴν Ταναγρικὴν τῶν Ἀχαιῶν. ἔπεμψεν οὖν Ἔφιππον τὸν υἱὸν Ἀχιλλέως δεησόμενον. ὁ δὲ καὶ τοῦτον εἰσάγει πείσας καὶ Τληπόλεμον τὸν Ἡρακλέους καὶ Πηνέλεων τὸν Ἱππάλκμου, συγγενεῖς ἅπαντας αὐτῶν ὄντας. ὑφ' ὧν ὁ Ποίμανδρος E εἰς Χαλκίδα συνεκπεμφθεὶς καὶ καθαρθεὶς παρ' Ἐλεφήνορι τὸν φόνον, ἐτίμησε τοὺς ἄνδρας καὶ τεμένη πᾶσιν ἐξεῖλεν, ὧν τὸ Ἀχιλλέως καὶ τοὔνομα διατετήρηκεν.

38. 'Τίνες οἱ παρὰ Βοιωτοῖς Ψολόεις καὶ τίνες

1 τόπος οὕτω προσαγορευόμενος] del. Herwerdenus 4. 5 Ἐφίππου] del. W 12 ὁ] οὖν ὁ? 19 Ταναγρικὴν*: ταναγραϊκὴν

αἱ Ὀλεῖαι;' τὰς Μινύου θυγατέρας φασὶ Λευκίππην καὶ Ἀρσινόην καὶ Ἀλκαθόην μανείσας ἀνθρωπίνων ἐπιθυμῆσαι κρεῶν καὶ διαλαχεῖν περὶ τῶν τέκνων· Λευκίππης λαχούσης, παρασχεῖν Ἵππασον τὸν υἱὸν διασπάσασθαι· καὶ κληθῆναι τοὺς μὲν ἄνδρας αὐτῶν δυσειματοῦντας ὑπὸ λύπης καὶ πένθους 'Ψολόεις', F αὐτὰς δὲ 'Ὀλείας' οἷον ὀλοάς. καὶ μέχρι νῦν Ὀρχομένιοι τὰς ἀπὸ τοῦ γένους οὕτω καλοῦσι. καὶ γίγνεται παρ' ἐνιαυτὸν ἐν τοῖς Ἀγριωνίοις φυγὴ καὶ δίωξις αὐτῶν ὑπὸ τοῦ ἱερέως τοῦ Διονύσου ξίφος ἔχοντος. ἔξεστι δὲ τὴν καταληφθεῖσαν ἀνελεῖν, καὶ ἀνεῖλεν ἐφ' ἡμῶν Ζωίλος ὁ ἱερεύς. ἀπέβη δ' εἰς οὐδὲν χρηστὸν αὐτοῖς, ἀλλ' ὅ τε Ζωίλος ἐκ τοῦ 300 *τυχόντος ἑλκειδίου νοσήσας καὶ διασαπεὶς πολὺν χρόνον ἐτελεύτησεν, οἵ τ' Ὀρχομένιοι δημοσίαις βλάβαις καὶ καταδίκαις περιπεσόντες ἐκ τοῦ γένους τὴν ἱερωσύνην μετέστησαν, ἐκ πάντων αἱρούμενοι τὸν ἄριστον.*

39. *'Διὰ τί τοὺς εἰς τὸ Λύκαιον εἰσελθόντας ἑκουσίως καταλεύουσιν οἱ Ἀρκάδες· ἂν δ' ὑπ' ἀγνοίας, εἰς Ἐλευθερὰς ἀποστέλλουσι;' πότερον ὡς ἐλευθερουμένων αὐτῶν διὰ τὴν ἀπόλυσιν ἔσχεν ὁ λόγος πίστιν, καὶ τοιοῦτόν ἐστι τό 'εἰς Ἐλευθεράς', οἷον τό 'εἰς Ἀμελοῦς χώραν' καὶ τό 'ἥξεις εἰς Ἀρέσαντος ἕδος'· ἢ κατὰ τὸν μῦθον ἐπεὶ μόνοι τῶν Λυκάωνος παίδων Ἐλευθὴρ καὶ Λεβεάδος οὐ μετέσχον τοῦ περὶ* B

1 *αἱ Ὀλεῖαι* M: *αἰολεῖαι* 4 *Λευκίππης λαχούσης*] *Λευκίππην λαχοῦσαν?* 5 *καὶ κληθῆναι* *: *κληθῆναι* 7 *αὐτὰς — ὀλοάς* M: *τὰς αἰολείας οἰωνολόας* 21 *Ἐλευθερὰς* * hic et infra: *ἐλευθέρας* 26 *Λέβαδος?*

τὸν Δία μιάσματος ἀλλ' εἰς Βοιωτίαν ἔφυγον, καὶ Λεβαδεῦσιν ἔστιν ἰσοπολιτεία πρὸς Ἀρκάδας; εἰς Ἐλευθερὰς οὖν ἀποπέμπουσι τοὺς ἐν τῷ ἀβάτῳ τοῦ Διὸς ἀκουσίως γενομένους. ἢ ὡς Ἀρχίτιμος ἐν τοῖς Ἀρκαδικοῖς ἐμβάντας τινὰς κατ' ἄγνοιάν φησιν ὑπ' Ἀρκάδων παραδοθῆναι Φλιασίοις, ὑπὸ δὲ Φλιασίων Μεγαρεῦσιν, ἐκ δὲ Μεγαρέων εἰς Θήβας κομιζομένους περὶ τὰς Ἐλευθερὰς ὕδατι καὶ βρονταῖς καὶ διοσημίαις ἄλλαις κατασχεθῆναι· ἀφ' οὗ δὴ καὶ τὸν τόπον Ἐλευθερὰς ἔνιοί φασι προσαγορεύεσθαι. τὸ C μέντοι σκιὰν μὴ πίπτειν ἀπὸ τοῦ ἐμβάντος εἰς τὸ Λύκαιον λέγεται μὲν οὐκ ἀληθῶς, ἔσχηκε δὲ πίστιν ἰσχυράν. πότερον τοῦ ἀέρος εἰς νέφη τρεπομένου καὶ σκυθρωπάζοντος ἐπὶ τοῖς εἰσιοῦσιν, ἢ ὅτι θανατοῦται μὲν ὁ ἐμβάς, τῶν δ' ἀποθανόντων οἱ Πυθαγορικοὶ λέγουσι τὰς ψυχὰς μὴ ποιεῖν σκιὰν μηδὲ σκαρδαμύττειν; ἢ σκιὰν μὲν ὁ ἥλιος ποιεῖ, τὸν δ' ἥλιον ἀφαιρεῖται τοῦ ἐμβάντος ὁ νόμος; καὶ τοῦτ' αἰνιττόμενοι λέγουσι· καὶ γὰρ ἔλαφος ὁ ἐμβὰς καλεῖται. διὸ καὶ Κανθαρίωνα τὸν Ἀρκάδα πρὸς Ἠλείους αὐτομολήσαντα πολεμοῦντας Ἀρκάσι καὶ διαβάντα μετὰ λείας τὸ ἄβατον, καταλυθέντος δὲ D τοῦ πολέμου καὶ φυγόντα εἰς Σπάρτην, ἐξέδοσαν οἱ Λακεδαιμόνιοι τοῖς Ἀρκάσι, τοῦ θεοῦ κελεύσαντος ἀποδιδόναι τὸν ἔλαφον.

40. ʽΤίς Εὔνοστος ἥρως ἐν Τανάγρᾳ καὶ διὰ

4 Ἀρχίτιμος] Mueller. 4 p. 317 9 διοσημίαις Duebnerus hic et infra: διοσημείαις 12 ἔσχηκε W: ἐσχηκέναι 23 καὶ] del. Huttenus

τίνα αἰτίαν τὸ ἄλσος αὐτοῦ γυναιξὶν ἀνέμβατόν ἐστιν;
Ἐλιέως τοῦ Κηφισοῦ καὶ Σκιάδος Εὔνοστος ἦν υἱός,
ᾧ φασιν ὑπὸ νύμφης Εὐνόστας ἐκτραφέντι τοῦτο
γενέσθαι τοὔνομα. καλὸς δ' ὢν καὶ δίκαιος οὐχ
ἧττον ἦν σώφρων καὶ αὐστηρός· ἐρασθῆναι δ' αὐτοῦ
λέγουσιν Ὄχναν, μίαν τῶν Κολωνοῦ θυγατέρων,
ἀνεψιὰν οὖσαν. ἐπεὶ δὲ πειρῶσαν ὁ Εὔνοστος ἀπε- E
τρίψατο, καὶ λοιδορήσας ἀπῆλθεν εἰς τοὺς ἀδελφοὺς
κατηγορήσων, ἔφθασεν ἡ παρθένος τοῦτο πράξασα κατ'
ἐκείνου καὶ παρώξυνε τοὺς ἀδελφοὺς Ἔχεμον καὶ
Λέοντα καὶ Βουκόλον ἀποκτεῖναι τὸν Εὔνοστον, ὡς
πρὸς βίαν αὐτῇ συγγεγενημένον. ἐκεῖνοι μὲν οὖν
ἐνεδρεύσαντες ἀπέκτειναν τὸν νεανίσκον. ὁ δ' Ἐλιεὺς
ἐκείνους ἔδησεν· ἡ δ' Ὄχνη μεταμελομένη καὶ γέμουσα F
ταραχῆς, ἅμα μὲν αὑτὴν ἀπαλλάξαι θέλουσα τῆς διὰ
τὸν ἔρωτα λύπης, ἅμα δ' οἰκτίρουσα τοὺς ἀδελφοὺς
ἐξήγγειλε πρὸς τὸν Ἐλιέα πᾶσαν τὴν ἀλήθειαν,
ἐκεῖνος δὲ Κολωνῷ. Κολωνοῦ δὲ δικάσαντος, οἱ μὲν
ἀδελφοὶ τῆς Ὄχνης ἔφυγον, αὐτὴ δὲ κατεκρήμνισεν
ἑαυτήν, ὡς Μυρτὶς ἡ Ἀνθηδονία ποιήτρια μελῶν
ἱστόρηκε. τοῦ δ' Εὐνόστου τὸ ἡρῷον καὶ τὸ ἄλσος
οὕτως ἀνέμβατον ἐτηρεῖτο καὶ ἀπροσπέλαστον γυναι-
ξίν, ὥστε πολλάκις σεισμῶν ἢ αὐχμῶν ἢ διοσημιῶν
ἄλλων γενομένων ἀναζητεῖν καὶ πολυπραγμονεῖν
ἐπιμελῶς τοὺς Ταναγραίους, μὴ λέληθε γυνὴ τῷ 301
τόπῳ πλησιάσασα, καὶ λέγειν ἐνίους, ὧν ὁ Κλείδαμος
ἦν, ἀνὴρ ἐπιφανής, ἀπηντηκέναι αὐτοῖς τὸν Εὔνοστον
ἐπὶ θάλατταν βαδίζοντα λουσόμενον, ὡς γυναικὸς

7 ἀπετρίψατο Cobetus: ἀπετρέψατο 22 ἐτηρεῖτο W: ἐτήρει

ἐμβεβηκυίας εἰς τὸ τέμενος. ἀναφέρει δὲ καὶ Διοκλῆς ἐν τῷ περὶ ἡρῴων συντάγματι δόγμα Ταναγραίων, περὶ ὧν ὁ Κλείδαμος ἀπήγγειλεν.

41. 'Πόθεν ἐν τῇ Βοιωτίᾳ περὶ τὸν Ἐλεῶνα ποταμὸς Σκάμανδρος ὠνομάσθη;' Δηίμαχος ὁ Ἐλεῶνος υἱός, ἑταῖρος ὢν Ἡρακλέους, μετέσχε τῆς ἐπὶ Τροίαν στρατείας· τοῦ δὲ πολέμου μῆκος ὡς ἔοικε λαμβάνοντος, ἐρασθεῖσαν αὐτοῦ Γλαυκίαν τὴν Σκαμάνδρου θυγατέρα προσδεξάμενος ἔγκυον ἐποίησεν,
B εἶτ' αὐτὸς μὲν ἔπεσε μαχόμενος τοῖς Τρωσίν· ἡ δὲ Γλαυκία φοβουμένη κατάφωρος γενέσθαι τῷ Ἡρακλεῖ κατέφυγε, καὶ κατεῖπεν αὐτῆς τὸν ἔρωτα καὶ τὴν γενομένην πρὸς τὸν Δηίμαχον ὁμιλίαν. ὁ δ' ἅμα μὲν οἴκτῳ τῆς γυναικὸς ἅμα δὲ χαίρων τῷ ὑπολείπεσθαι γένος ἀνδρὸς ἀγαθοῦ καὶ συνήθους, ἀνέλαβε τὴν Γλαυκίαν εἰς τὰς ναῦς, καὶ τεκοῦσαν υἱὸν ἀγαγὼν ἐν τῇ Βοιωτίᾳ ἀπέδωκε τῷ Ἐλεῶνι καὶ τὸ παιδίον καὶ αὐτήν. ὠνομάσθη δ' ὁ παῖς Σκάμανδρος καὶ τῆς χώρας ἐβασίλευσε. καὶ τὸν μὲν Ἴναχον ποταμὸν ἀπ' αὐτοῦ Σκάμανδρον, τὸ δὲ πλησίον ῥεῦμα Γλαυκίαν ἀπὸ τῆς μητρὸς ὠνόμασεν· Ἀκίδου-
C σαν δὲ τὴν κρήνην ἀπὸ τῆς ἑαυτοῦ γυναικός, ἐξ ἧς ἔσχε τρεῖς θυγατέρας, ἃς τιμῶσιν ἄχρι νῦν 'παρθένους' προσαγορεύοντες.

42. ''Ἀπὸ τίνος ἐρρήθη τὸ παροιμιῶδες Αὔτα κυρία;' Δίνων ὁ Ταραντῖνος στρατηγῶν, ἀνὴρ δ' ὢν ἀγαθὸς ἐν τοῖς πολεμικοῖς, ἀποχειροτονησάντων αὐτοῦ

1 Διοκλῆς] Mueller. 3 p. 78 11 scrib. vid. aut πρὸς τὸν Ἡρακλῆ cum Herw. aut προσέφυγε cum W 25 ἐρρήθη*: ἐρρέθη

τινα γνώμην τῶν πολιτῶν, ὡς ὁ κῆρυξ ἀνεῖπε τὴν νικῶσαν, αὐτὸς ἀνατείνας τὴν δεξιάν 'ἥδε' εἶπε 'κρείσσων·' οὕτω γὰρ ὁ Θεόφραστος ἱστόρηκε. προσιστόρηκε δὲ καὶ ὁ Ἀπολλόδωρος ἐν Ῥυτίνῳ, τοῦ κήρυκος 'αὗται πλείους' εἰπόντος, 'ἀλλ' αὗται' φάναι 'βελτίους' καὶ ἐπικυρῶσαι τὴν τῶν ἐλαττόνων χειροτονίαν.

43. 'Πόθεν ἡ τῶν Ἰθακησίων πόλις Ἀλαλκομεναὶ D προσηγορεύθη;' διὰ τὸ τὴν Ἀντίκλειαν ὑπὸ Σισύφου βιασθεῖσαν ἐν τῇ παρθενίᾳ τὸν Ὀδυσσέα συλλαβεῖν· ὑπὸ πλειόνων δ' ἐστὶν εἰρημένον. Ἴστρος δ' ὁ Ἀλεξανδρεὺς ἐν ὑπομνήμασι προσιστόρηκεν, ὅτι τῷ Λαέρτῃ δοθεῖσα πρὸς γάμον καὶ ἀναγομένη, περὶ τὸ Ἀλαλκομένιον ἐν τῇ Βοιωτίᾳ τὸν Ὀδυσσέα τέκοι, καὶ διὰ τοῦτ' ἐκεῖνος ὥσπερ μητροπόλεως ἀναφέρων τοὔνομα τὴν ἐν Ἰθάκῃ πόλιν οὕτω φησὶ προσαγορεύεσθαι.

44. 'Τίνες ἐν Αἰγίνῃ οἱ μονοφάγοι;' τῶν ἐπὶ τὴν Τροίαν στρατευσάντων Αἰγινητῶν πολλοὶ μὲν E ἐν ταῖς μάχαις ἀπώλοντο, πλείονες δὲ κατὰ πλοῦν ὑπὸ τοῦ χειμῶνος. ὀλίγους οὖν τοὺς περιλειπομένους οἱ προσήκοντες ὑποδεξάμενοι, τοὺς δ' ἄλλους πολίτας ὁρῶντες ἐν πένθεσι καὶ λύπαις ὄντας, οὔτε χαίρειν ᾤοντο δεῖν φανερῶς οὔτε θύειν τοῖς θεοῖς· ἀλλὰ κρύφα καὶ κατ' οἰκίαν ἕκαστοι τοὺς σεσῳσμένους ἀνελάμβανον ἑστιάσεσι καὶ φιλοφροσύναις, αὐτοὶ

4 Ῥυτίνῳ] Mueller. 4 p. 650 11 Ἴστρος] idem 1 p. 426
14 Ἀλαλκομένιον *: ἀλαλκομένειον 15 μητροπόλεως S: μεσοπόλεως 16 φησὶ προσαγορεύεσθαι] προσαγορεύσειε Huttenus
21 ὑπὸ W: ἀπὸ

διακονούμενοι πατράσι καὶ συγγενέσι καὶ ἀδελφοῖς
καὶ οἰκείοις, ἀλλοτρίου μηδενὸς παρεισιόντος. ταῦτ'
οὖν ἀπομιμούμενοι τῷ Ποσειδῶνι θυσίαν ἄγουσι
F τοὺς καλουμένους 'θιάσους', ἐν ᾗ καθ' αὑτοὺς ἐφ'
ἡμέρας ἑκκαίδεκα μετὰ σιωπῆς ἑστιῶνται, δοῦλος δ'
οὐ πάρεστιν· εἶτα ποιήσαντες Ἀφροδίσια διαλύουσι
τὴν ἑορτήν· ἐκ δὲ τούτου 'μονοφάγοι' καλοῦνται.

45. 'Διὰ τί τοῦ Λαβρανδέως Διὸς ἐν Καρίᾳ τὸ
ἄγαλμα πέλεκυν ἠρμένον οὐχὶ δὲ σκῆπτρον ἢ κεραυ-
νὸν πεποίηται;' ὅτι Ἡρακλῆς Ἱππολύτην ἀποκτεί-
νας καὶ μετὰ τῶν ἄλλων ὅπλων αὐτῆς λαβὼν τὸν
πέλεκυν Ὀμφάλῃ δῶρον δέδωκεν. οἱ δὲ μετ' Ὀμφά-
λην Λυδῶν βασιλεῖς ἐφόρουν αὐτὸν ὥς τι τῶν ἄλλων
302 ἱερῶν ἐκ διαδοχῆς παραλαμβάνοντες, ἄχρι Κανδαύ-
λης ἀπαξιώσας ἑνὶ τῶν ἑταίρων φορεῖν ἔδωκεν.
ἐπεὶ δὲ Γύγης ἀποστὰς ἐπολέμει πρὸς αὐτόν, ἦλθεν
Ἄρσηλις ἐκ Μυλασέων ἐπίκουρος τῷ Γύγῃ μετὰ
δυνάμεως, καὶ τόν τε Κανδαύλην καὶ τὸν ἑταῖρον
αὐτοῦ διαφθείρει, καὶ τὸν πέλεκυν εἰς Καρίαν ἐκό-
μισε μετὰ τῶν ἄλλων λαφύρων. καὶ Διὸς ἄγαλμα
κατασκευάσας τὸν πέλεκυν ἐνεχείρισε, καὶ Λαβρανδέα
τὸν θεὸν προσηγόρευσε· Λυδοὶ γὰρ 'λάβρυν' τὸν
πέλεκυν ὀνομάζουσι.

46. 'Διὰ τί Τραλλιανοὶ καθαρτῆρα καλοῦσι τὸν
B ὄροβον καὶ χρῶνται μάλιστα πρὸς τὰς ἀφοσιώσεις
καὶ τοὺς καθαρμούς;' ἢ ὅτι Λέλεγες καὶ Μινύαι τὸ
παλαιὸν ἐξελάσαντες αὐτοὺς τὴν πόλιν καὶ τὴν χώραν

8 Λαβρανδέως * hic et infra: λαβραδέως 17 Μυλα-
σέων *: μυλέων

κατεῖχον, ὕστερον δ' οἱ Τραλλιανοὶ κατελθόντες καὶ κρατήσαντες, ὅσοι τῶν Λελέγων οὐ διεφθάρησαν οὐδ' ἔφυγον ἀλλὰ δι' ἀμηχανίαν βίου καὶ ἀσθένειαν ὑπελείφθησαν αὐτόθι, τούτων οὐδένα λόγον ἔχοντες οὔτε ζώντων οὔτ' ἀπολλυμένων, νόμον ἔθεντο τὸν κτείναντα Μινύην ἢ Λελέγην Τραλλιανῶν καθαρὸν εἶναι, μέδιμνον ὀρόβων ἀπομετρήσαντα τοῖς οἰκείοις τοῦ φονευθέντος;

47. 'Διὰ τί παρὰ τοῖς Ἠλείοις παροιμιῶδές ἐστι τό 'δεινότερα Σαμβίκου παθεῖν';' λέγεταί τινα Σάμ- C βικον Ἠλεῖον ἔχοντα πολλοὺς ὑφ' ἑαυτῷ συνεργοὺς πολλὰ περικόψαι τῶν ἐν Ὀλυμπίᾳ χαλκῶν ἀναθημάτων καὶ ἀποδόσθαι, τέλος δὲ συλῆσαι τὸ τῆς ἐπισκόπου Ἀρτέμιδος ἱερόν· τοῦτο δ' ἐστὶ μὲν ἐν Ἤλιδι, καλεῖται δ' Ἀριστάρχειον. εὐθὺς οὖν μετὰ ταύτην τὴν ἱεροσυλίαν ἁλόντα βασανίζεσθαι δι' ἐνιαυτοῦ περὶ ἑκάστου τῶν κεκοινωνηκότων ἀνακρινόμενον, καὶ οὕτως ἀποθανεῖν καὶ τὴν παροιμίαν ἐπὶ τοῖς ἐκείνου πάθεσι γενέσθαι.

48. 'Διὰ τί ἐν Λακεδαίμονι παρὰ τὸ τῶν Λευκιππίδων ἱερὸν ἵδρυται τοῦ Ὀδυσσέως ἡρῷον;' Ἐργίαιος, εἷς τῶν Διομήδους ἀπογόνων, ὑπὸ Τημένου πεισθεὶς ἐξέκλεψε τὸ παλλάδιον ἐξ Ἄργους, συνει- D δότος Λεάγρου καὶ συνεκκλέπτοντος· ἦν δ' οὗτος εἷς τῶν Τημένου συνήθων. ὕστερον δὲ τῷ Τημένῳ γενόμενος δι' ὀργῆς ὁ Λέαγρος εἰς Λακεδαίμονα μετέστη τὸ παλλάδιον κομίζων. οἱ δὲ βασιλεῖς δεξά-

6 Λελέγην] Λέλεγα? 22 Ἐργίαιος] Ἐργῖνος? Τημένου * hic et infra: τημενοῦ

μενοι προθύμως ἱδρύσαντο πλησίον τοῦ τῶν Λευκιππίδων ἱεροῦ, καὶ πέμψαντες εἰς Δελφοὺς διεμαντεύοντο περὶ σωτηρίας αὐτοῦ καὶ φυλακῆς. ἀνελόντος δὲ τοῦ θεοῦ ἕνα τῶν ὑφελομένων τὸ παλλάδιον φύλακα ποιεῖσθαι, κατεσκεύασαν αὐτόθι τοῦ Ὀδυσσέως τὸ ἡρῷον, ἄλλως τε καὶ προσήκειν τῇ πόλει τὸν ἥρωα διὰ τὸν τῆς Πηνελόπης γάμον ὑπολαβόντες.

E 49. 'Διὰ τί ταῖς Χαλκηδονίαις ἔθος ἐστίν, ὅταν ἀνδράσιν ἀλλοτρίοις ἐντύχωσι, μάλιστα δ' ἄρχουσι, τὴν ἑτέραν περικαλύπτεσθαι παρειάν;' πόλεμος ἦν αὐτοῖς πρὸς Βιθυνοὺς ἐκ πάσης παροξυνομένοις προφάσεως· Ζειποίτου δὲ βασιλεύσαντος αὐτῶν, πανστρατιᾷ, καὶ Θρᾳκῶν ἐπικουρίας προσγενομένης, ἐπυρπόλουν καὶ κατέτρεχον τὴν χώραν. ἐπιθεμένου δὲ τοῦ Ζειποίτου περὶ τὸ καλούμενον Φάλιον αὐτοῖς, κακῶς ἀγωνισάμενοι διὰ θράσος καὶ ἀταξίαν ὑπὲρ ὀκτακισχιλίους ἀπέβαλον στρατιώτας· καὶ παντελῶς
F μὲν οὐκ ἀνῃρέθησαν τότε, Ζειποίτου Βυζαντίοις χαρισαμένου τὰς διαλύσεις· πολλῆς δὲ τὴν πόλιν ἐρημίας ἀνδρῶν κατεχούσης, αἱ μὲν πλεῖσται γυναῖκες ὑπ' ἀνάγκης ἀπελευθέροις καὶ μετοίκοις συνῴκησαν· αἱ δ' ἀνανδρίαν ἀντὶ τοιούτων ἑλόμεναι γάμων, αὐταὶ δι' αὑτῶν ἔπραττον ὅτου δεηθεῖεν παρὰ δικα-
303 σταῖς καὶ ἄρχουσιν, ἀπάγουσαι θάτερον μέρος τοῦ προσώπου τῆς καλύπτρας. αἱ δὲ γεγαμημέναι δι' αἰσχύνην ἀναμιμούμεναι ταύτας ὡς ἑαυτῶν βελτίονας εἰς ἔθος ὅμοιον κατέστησαν.

13 πανστρατιᾷ] fort. transponendum post τοῦ Ζειποίτου (lin. 15) vel ante

50. ‘Διὰ τί πρὸς τὸ τοῦ Ἀγήνορος τέμενος τὰς οἶς προσελαύνοντες οἱ Ἀργεῖοι βιβάζουσιν;’ ἦ ὅτι κάλλιστα προβάτων ὁ Ἀγήνωρ ἐπεμελήθη καὶ πλεῖστα ποίμνια τῶν βασιλέων ἐκτήσατο;

51. ‘Διὰ τί Βαλλαχράδας ἑαυτοὺς Ἀργείων παῖδες ἐν ἑορτῇ τινι παίζοντες ἀποκαλοῦσιν;’ ἦ ὅτι τοὺς πρώτους ὑπ’ Ἰνάχου καταχθέντας ἐκ τῶν ἄκρων εἰς τὰ πεδία ἀχράσι διατραφῆναι λέγουσιν; ἀχράδας δὲ πρῶτον ἐν Πελοποννήσῳ φανῆναι τοῖς Ἕλλησιν, ἔτι τῆς χώρας ἐκείνης Ἀπίας προσαγορευομένης· ὅθεν B ἄπιοι αἱ ἀχράδες ἐπωνομάσθησαν.

52. ‘Τίς ἡ αἰτία, δι’ ἣν Ἠλεῖοι τὰς ἐνόδας ἵππους ἐκτὸς ὅρων ἀπάγοντες βιβάζουσιν;’ ἦ ὅτι πάντων τῶν βασιλέων φιλιππότατος ὢν ὁ Οἰνόμαος καὶ μάλιστα τὸ ζῷον ἀγαπήσας τοῦτ’ ἐπηράσατο πολλὰ καὶ δεινὰ κατὰ τῶν ἵππους ὀχευόντων ἐν Ἤλιδι, καὶ φοβούμενοι τὴν κατάραν ἐκείνην ἀφοσιοῦνται;

53. ‘Διὰ τί παρὰ Κνωσσίοις ἔθος ἦν ἁρπάζειν τοῖς δανειζομένοις τὸ ἀργύριον;’ ἦ ὅπως ἀποστεροῦντες ἔνοχοι τοῖς βιαίοις ὦσι καὶ μᾶλλον κολάζωνται;

54. ‘Τίς ἡ αἰτία, δι’ ἣν ἐν Σάμῳ τὴν Δεξικρέοντος C Ἀφροδίτην καλοῦσι;’ πότερον ὅτι τὰς γυναῖκας αὐτῶν ὑπὸ τρυφῆς καὶ ὕβρεως ἀκόλαστα ποιούσας Δεξικρέων ἀνὴρ ἀγύρτης καθαρμῷ χρησάμενος ἀπήλλαξεν· ἢ ὅτι ναύκληρος ὢν ὁ Δεξικρέων ἔπλευσεν εἰς Κύπρον ἐπ’ ἐμπορίᾳ, καὶ μέλλοντα γεμίζειν τὴν

2 οἶς *: ὄϊς 7 ἄκρων Madvigius: ἀγρῶν 11 αἱ *: οἱ 12 ἐνόδας] corruptum. cf. Symbolas meas 16 ἵππους W: ἵππων 26 τὴν ναῦν *

ναῦν τὴν Ἀφροδίτην κελεύειν ὕδωρ ἐμβαλόμενον καὶ μηδὲν ἄλλο πλεῖν τὴν ταχίστην· πεισθεὶς δὲ καὶ πολὺ ὕδωρ ἐνθέμενος ἐξέπλευσεν, εἶτα νηνεμίας καὶ γαλήνης ἐν τῷ πελάγει κατασχούσης, διψῶσι τοῖς ἄλλοις ἐμπόροις καὶ ναυκλήροις ὕδωρ πιπράσκων ἀργύριον πολὺ συνήθροισεν; ἐκ δὲ τούτου κατασκευάσας τὴν D θεὸν ἀφ᾽ ἑαυτοῦ προσηγόρευσεν. εἰ δὴ τοῦτ᾽ ἀληθές ἐστι, φαίνεται οὐχ ἕνα πλουτίσαι, πολλοὺς δὲ σῶσαι δι᾽ ἑνὸς ἡ θεὸς θελήσασα.

55. ‘Διὰ τί τοῖς Σαμίοις, ὅταν τῷ Ἑρμῇ τῷ χαριδότῃ θύωσι, κλέπτειν ἐφεῖται τῷ βουλομένῳ καὶ λωποδυτεῖν;’ ὅτι κατὰ χρησμὸν ἐκ τῆς νήσου μεταστάντες εἰς Μυκάλην ἀπὸ λῃστείας δέκα ἔτη διεγένοντο· καὶ μετὰ ταῦτα πλεύσαντες αὖθις εἰς τὴν νῆσον, ἐκράτησαν τῶν πολεμίων οἱ Σάμιοι.

56. ‘Ἀπὸ τίνος Πάναιμα τόπος ἐν τῇ Σαμίων νήσῳ καλεῖται;’ ἢ ὅτι φεύγουσαι Διόνυσον αἱ Ἀμαζόνες ἐκ τῆς Ἐφεσίων χώρας εἰς Σάμον διέπλευσαν· E ὁ δὲ ποιησάμενος πλοῖα καὶ διαβὰς μάχην συνῆψε καὶ πολλὰς αὐτῶν ἀπέκτεινε περὶ τὸν τόπον τοῦτον, ὃν διὰ τὸ πλῆθος τοῦ ῥυέντος αἵματος οἱ θεώμενοι Πάναιμα θαυμάζοντες ἐκάλουν; τῶν δὲ φ*** ἀποθανεῖν τινες λέγονται περὶ τὸ Φλοιὸν καὶ τὰ ὀστᾶ δείκνυται αὐτῶν· τινὲς δὲ λέγουσι καὶ τὸ Φλοιὸν ἐπ᾽ ἐκείνων ῥαγῆναι, φθεγγομένων μέγα τι καὶ διάτορον.

57. ‘Ἀπὸ ποίας αἰτίας ὁ ἀνδρὼν ἐν Σάμῳ πεδήτης καλεῖται;’ τῶν γεωμόρων ἐχόντων τὴν πολιτείαν

8 φαίνεται] fort. collocandum post πλουτίσαι 17 Διόνυσον W: διονύσιον 22 ita E cum lac. 5 litt.: φάντων

μετὰ τὴν Δημοτέλους σφαγὴν καὶ τὴν κατάλυσιν τῆς
ἐκείνου μοναρχίας, οἱ Μεγαρεῖς Περινθίοις ἐπεστρά-
τευσαν ἀποίκοις οὖσι Σαμίων, πέδας κομίζοντες ὡς F
λέγεται ἐπὶ τοὺς αἰχμαλώτους. ταῦτα δ' οἱ γεωμό-
ροι πυνθανόμενοι βοήθειαν ἔπεμπον κατὰ τάχος,
στρατηγοὺς μὲν ἀποδείξαντες ἐννέα, ναῦς δὲ πληρώ-
σοντες τριάκοντα. τούτων ἐκπλέουσαι δύο πρὸ τοῦ 304
λιμένος ὑπὸ κεραυνοῦ διεφθάρησαν· οἱ δὲ στρατηγοὶ
ταῖς ἄλλαις πλεύσαντες ἐνίκων τοὺς Μεγαρέας καὶ
ζῶντας αὐτῶν ἔλαβον ἑξακοσίους. ἐπαρθέντες δὲ τῇ
νίκῃ διενοοῦντο καταλύειν τὴν οἴκοι γεωμόρων ὀλι-
γαρχίαν. ἀφορμὴν δὲ παρέσχον οἱ προεστῶτες τῆς
πολιτείας, γράψαντες αὐτοῖς ὅπως τοὺς αἰχμαλώτους
τῶν Μεγαρέων κομίσωσι ταῖς αὐτῶν ἐκείνων πέδαις
δεδεμένους. λαβόντες οὖν τὰ γράμματα ταῦτα καὶ
δείξαντες κρύφα τισὶ τῶν Μεγαρέων, ἔπεισαν αὐτοὺς
συστῆναι μεθ' αὐτῶν καὶ τὴν πόλιν ἐλευθερῶσαι· B
βουλευομένοις δὲ κοινῇ περὶ τῆς πράξεως ἔδοξε τῶν
πεδῶν τοὺς κρίκους διακροτῆσαι, καὶ περιθέντας
οὕτω τοῖς σκέλεσι τῶν Μεγαρέων ἀναλαβεῖν πρὸς
τὰς ζώνας ἱμᾶσιν, ὅπως μὴ περιρρέωσι μηδ' ἐκβαί-
νωσιν αὐτῶν ἐν τῷ βαδίζειν χαλαρῶν γενομένων.
οὕτω δὲ τοὺς ἄνδρας ἐνσκευάσαντες καὶ ξίφος ἑκάστῳ
δόντες, ἐπεὶ κατέπλευσαν εἰς Σάμον καὶ ἀπέβησαν,
ἦγον αὐτοὺς δι' ἀγορᾶς εἰς τὸ βουλευτήριον, ὁμοῦ
τι πάντων τῶν γεωμόρων συγκαθεζομένων. εἶτα
σημείου δοθέντος, οἱ Μεγαρεῖς προσπεσόντες ἔκτεινον
τοὺς ἄνδρας. οὕτω δὲ τῆς πόλεως ἐλευθερωθείσης,

16 τισὶ W: τοῖς

C τούς τε βουλομένους τῶν Μεγαρέων πολίτας ἐποιήσαντο καὶ κατασκευάσαντες οἶκον εὐμεγέθη τὰς πέδας ἀνέθηκαν, καὶ ἀπὸ τούτου ‘πεδήτης’ ὁ οἶκος ὠνομάσθη.

58. ‘Διὰ τί παρὰ Κῴοις ὁ τοῦ Ἡρακλέους ἱερεὺς ἐν Ἀντιμαχείᾳ γυναικείαν ἐνδεδυμένος ἐσθῆτα καὶ τὴν κεφαλὴν ἀναδούμενος μίτρᾳ κατάρχεται τῆς θυσίας;’ Ἡρακλῆς ταῖς ἓξ ναυσὶν ἀπὸ Τροίας ἀναχθεὶς ἐχειμάσθη, καὶ τῶν νεῶν διαφθαρεισῶν μιᾷ μόνῃ πρὸς τὴν Κῶν ὑπὸ τοῦ πνεύματος ἐλαυνόμενος ἐξέπεσε κατὰ τὸν Λακητῆρα καλούμενον, οὐδὲν ἄλλο D περισώσας ἢ τὰ ὅπλα καὶ τοὺς ἄνδρας. ἐντυχὼν δὲ προβάτοις ᾔτει κριὸν ἕνα παρὰ τοῦ νέμοντος· ὁ δ’ ἄνθρωπος ἐκαλεῖτο μὲν Ἀνταγόρας, ἀκμάζων δὲ τῇ ῥώμῃ τοῦ σώματος ἐκέλευσεν αὐτῷ διαπαλαῖσαι τὸν Ἡρακλέα, κἂν καταβάλῃ, τὸν κριὸν φέρεσθαι. καὶ συμπεσόντος αὐτῷ τοῦ Ἡρακλέους ἐς χεῖρας, οἱ Μέροπες τῷ Ἀνταγόρᾳ παραβοηθοῦντες, οἱ δ’ Ἕλληνες τῷ Ἡρακλεῖ, μάχην καρτερὰν συνῆψαν. ἐν ᾗ λέγεται τῷ πλήθει καταπονούμενος ὁ Ἡρακλῆς καταφυγεῖν πρὸς γυναῖκα Θρᾷτταν καὶ διαλαθεῖν ἐσθῆτι γυναικείᾳ κατακρύψας ἑαυτόν. ἐπεὶ δὲ τῶν Μερόπων E αὖθις κρατήσας καὶ καθαρθεὶς ἐγάμει τὴν Ἀλκιόπου, ἀνέλαβε στολὴν ἀνθινήν. διὸ θύει μὲν ὁ ἱερεὺς ὅπου τὴν μάχην συνέβη γενέσθαι, τὰς δὲ νύμφας οἱ γαμοῦντες δεξιοῦνται γυναικείαν στολὴν περιθέμενοι.

59. ‘Πόθεν ἐν Μεγάροις γένος ἁμαξοκυλιστῶν;’ ἐπὶ τῆς ἀκολάστου δημοκρατίας, ἣ καὶ τὴν παλιντοκίαν ἐποίησε καὶ τὴν ἱεροσυλίαν, ἐπορεύετο θεωρία

23 ἀνθινήν *: ἀνθίνην

Πελοποννησίων εἰς Δελφοὺς διὰ τῆς Μεγαρικῆς καὶ κατηυλίσθησαν ἐν Αἰγείροις παρὰ τὴν λίμνην μετὰ F *παίδων καὶ γυναικῶν ὡς ἔτυχεν ἐν ταῖς ἁμάξαις. τῶν δὲ Μεγαρέων οἱ θρασύτατοι μεθυσθέντες, ὕβρει καὶ ὠμότητι τὰς ἁμάξας ἀνακυλίσαντες εἰς τὴν λίμνην ἐνεώσαντο, ὥστε πολλοὺς ἀποπνιγῆναι τῶν θεωρῶν. οἱ μὲν οὖν Μεγαρεῖς δι' ἀταξίαν τῆς πολιτείας ἠμέλησαν τοῦ ἀδικήματος, οἱ δ' Ἀμφικτύονες, ἱερᾶς τῆς θεωρίας οὔσης, ἐπιστραφέντες τοὺς μὲν φυγῇ τοὺς δὲ θανάτῳ τῶν ἐναγῶν ἐζημίωσαν. οἱ δ' ἀπὸ τοῦ γένους 'ἁμαξοκυλισταί' προσηγορεύθησαν.*

2 *κατηυλίσθησαν* W: *κατεκυλίσθησαν*

* ΣΥΝΑΓΩΓΗ ΙΣΤΟΡΙΩΝ ΠΑΡΑΛΛΗΛΩΝ ΕΛΛΗΝΙΚΩΝ ΚΑΙ ΡΩΜΑΙΚΩΝ.

305 *Τὰς ἀρχαίας ἱστορίας διὰ τὰ παράδοξα τῆς πρά-
ξεως οἱ πλεῖστοι νομίζουσι πλάσματα καὶ μύθους
B τυγχάνειν· εὑρὼν δ' ἐγὼ καὶ ἐν τοῖς νῦν χρόνοις
γεγονότα ὅμοια τὰ ἐν τοῖς Ῥωμαϊκοῖς καιροῖς συμ-
βεβηκότα ἐξελεξάμην, καὶ ἑκάστῳ πράγματι ἀρχαίῳ
νεωτέραν ὁμοίαν διήγησιν ὑπέταξα, ἀναγράψας καὶ
τοὺς ἱστορήσαντας ἄνδρας.*

1. ΔΑΤΙΣ ὁ *Περσῶν σατράπης μετὰ τριάκοντα
μυριάδων εἰς Μαραθῶνα παραγενόμενος, πεδίον τῆς
Ἀττικῆς, καὶ στρατοπεδευσάμενος πόλεμον τοῖς ἐγ-
χωρίοις κατήγγειλεν· Ἀθηναῖοι δὲ τοῦ βαρβαρικοῦ
πλήθους καταφρονήσαντες ἐννακισχιλίους ἔπεμψαν,
στρατηγοὺς ποιήσαντες Κυνέγειρον Πολύζηλον Καλ-*
C *λίμαχον Μιλτιάδην. συμβληθείσης δὲ τῆς παρατάξεως,
Πολύζηλος μὲν ὑπεράνθρωπον φαντασίαν θεασά-
μενος τὴν ὅρασιν ἀπέβαλε καὶ τυφλὸς ἐγένετο· Καλ-
λίμαχος δὲ πολλοῖς περιπεπαρμένος δόρασι καὶ νεκρὸς
ἐστάθη· Κυνέγειρος δὲ Περσικὴν ἀναγομένην ναῦν
κατασχὼν ἐχειροκοπήθη.*

15 *ὑπεράνθρωπον* *: *ὑπὲρ ἄνθρωπον* 19 quos versus Sententiarum collectiones subiungunt vid. in Stob. Flor. 7, 62

ΑΣΔΡΟΥΒΑΣ βασιλεὺς Σικελίαν καταλαβόμενος πόλεμον Ῥωμαίοις κατήγγειλε· Μέτελλος δὲ ὑπὸ τῆς συγκλήτου στρατηγὸς χειροτονηθεὶς ἐγκρατὴς ἐγένετο τῆς νίκης ταύτης, ἐν ᾗ Λεύκιος Γλαύκων εὐγενὴς ἀνήρ, τὴν Ἀσδρούβα κατέχων ναῦν, ἀμφοτέρας ἀπέβαλε τὰς χεῖρας· καθάπερ ἱστορεῖ Ἀριστεί- D
δης Μιλήσιος ἐν πρώτῃ Σικελικῶν, παρ' οὗ τὴν ὑπόθεσιν ἔμαθε Διονύσιος ὁ Σικελιώτης.

2. ΞΕΡΞΗΣ μετὰ πεντακοσίων μυριάδων Ἀρτεμισίῳ προσορμίσας πόλεμον τοῖς ἐγχωρίοις κατήγγειλεν· Ἀθηναῖοι δὲ συγκεχυμένοι κατάσκοπον ἔπεμψαν Ἀγησίλαον, τὸν Θεμιστοκλέους ἀδελφόν, καίπερ Νεοκλέους τοῦ πατρὸς αὐτοῦ κατ' ὄναρ ἑωρακότος ἀμφοτέρας ἀποβεβληκότα τὰς χεῖρας. παραγενόμενος δὲ εἰς τοὺς βαρβάρους ἐν σχήματι Περσικῷ Μαρδόνιον ἕνα τῶν σωματοφυλάκων ἀνεῖλεν, ὑπολαμβάνων Ξέρξην εἶναι. συλληφθεὶς δὲ πρὸς τῶν πέριξ δέσμιος ἤχθη πρὸς τὸν βασιλέα. βουθυτεῖν δὲ τοῦ προειρη- E
μένου μέλλοντος ἐπὶ τῷ τοῦ ἡλίου βωμῷ, τὴν δεξιὰν ἐπέθηκε χεῖρα, καὶ ἀστενάκτως ὑπομείνας τὴν ἀνάγκην τῶν βασάνων ἠλευθερώθη τῶν δεσμῶν εἰπών 'πάντες ἐσμὲν τοιοῦτοι Ἀθηναῖοι· εἰ δ' ἀπιστεῖς, καὶ τὴν ἀριστερὰν ἐπιθήσω.' φοβηθεὶς δὲ ὁ Ξέρξης φρουρεῖσθαι αὐτὸν προσέταξε· καθάπερ ἱστορεῖ Ἀγαθαρχίδης Σάμιος ἐν δευτέρᾳ τῶν Περσικῶν.

ΠΟΡΣΙΝΑΣ Τούσκων βασιλεὺς πέραν ποταμοῦ Θύμβρεως στρατεύσας ἐπολέμησε Ῥωμαίοις, καὶ τὴν

6 Ἀριστείδης] Mueller. 4 p. 324   21 πάντες ἐσμὲν *: πάντες μὲν   24 Ἀγαθαρχίδης] Mueller. 3 p. 197

F ἀπὸ σιτίων φερομένην εὐθηνίαν Ῥωμαίοις μέσην
λαβὼν λιμῷ τοὺς προειρημένους ἔτρυχε. τῆς δὲ
συγκλήτου συγκεχυμένης, Μούκιος τῶν ἐπισήμων
ἀνὴρ λαβὼν τετρακοσίους ἀπὸ τῶν ὑπάτων ὁμήλικας
ἐν ἰδιωτικῷ σχήματι τὸν ποταμὸν διῆλθεν. ἰδὼν
δὲ τὸν σωματοφύλακα τοῦ τυράννου τὰ ἐπιτήδεια
διαδιδόντα τοῖς στρατηγοῖς, ὑπολαβὼν αὐτὸν τὸν
Πορσίναν εἶναι ἀνεῖλεν. ἀχθεὶς δ' ἐπὶ τὸν βασιλέα
306 τοῖς ἐμπύροις ἐπέθηκε τὴν δεξιὰν χεῖρα καὶ στέξας τὰς
ἀλγηδόνας εὐψύχως ἐμειδίασεν εἰπών 'βάρβαρε, λέλυ-
μαι, κἂν μὴ θέλῃς· καὶ ἴσθι ἡμᾶς κατὰ σοῦ τετρα-
κοσίους ὄντας ἐν τῷ στρατοπέδῳ, οἵ σε ἀνελεῖν
ζητοῦμεν.' ὁ δὲ φοβηθεὶς σπονδὰς πρὸς Ῥωμαίους
ἐποιήσατο· καθάπερ ἱστορεῖ Ἀριστείδης ὁ Μιλήσιος
ἐν τρίτῃ ἱστοριῶν.

3. ΑΡΓΕΙΩΝ καὶ Λακεδαιμονίων ὑπὲρ Θυρεά-
τιδος χώρας πολεμούντων, οἱ Ἀμφικτύονες ἔκριναν
πολεμῆσαι ἑκατέρους καὶ τῶν νικησάντων εἶναι τὴν
χώραν. Λακεδαιμόνιοι μὲν οὖν Ὀθρυάδην ἐποίησαν
στρατηγὸν Ἀργεῖοι δὲ Θέρσανδρον. πολεμούντων
δέ, δύο ἐκ τῶν Ἀργείων περιελείφθησαν, Ἀγήνωρ
B καὶ Χρόμιος, οἵτινες εἰς τὴν πόλιν ἤγγειλαν τὴν
νίκην. ἠρεμίας δ' ὑπαρχούσης, ὁ Ὀθρυάδης ἐπιζήσας
καὶ ἡμικλάστοις δόρασιν ἐπερειδόμενος τὰς τῶν νε-
κρῶν ἁπάντων ἀσπίδας περιείλετο· καὶ τρόπαιον
στήσας ἐκ τοῦ ἰδίου αἵματος ἐπέγραψε 'Διὶ τροπαι-

14 Ἀριστείδης] Mueller. 4 p. 320 15 ἱστοριῶν Ἰταλικῶν idem 21 Ἀγήνωρ] Ἀλκήνωρ Herod. 1 82. Stob. Flor. 7, 67

ούχῳ.' καὶ τῶν δύο στάσιν ἐχόντων, οἱ Ἀμφικτύονες αὐτόπται γενόμενοι Λακεδαιμονίους προκρίνουσι· καθάπερ Χρύσερμος ἐν τρίτῳ Πελοποννησιακῶν.

ΡΩΜΑΙΟΙ πρὸς Σαμνίτας πόλεμον ἔχοντες στρατηγὸν ἐχειροτόνησαν Μισθύνιον Ἀμβλιρηνόν. οὗτος κατὰ τὰς καλουμένας φορκούλας Καυδίνας (ἔστι δὲ τόπος στενώτατος) ἐνεδρευθεὶς τρεῖς ἀπέβαλε λεγεῶνας C καὶ αὐτὸς καιρίως τρωθεὶς ἔπεσε. βαθείας δὲ νυκτὸς ὀλίγον ἐπιζήσας, περιείλετο τῶν ἀνῃρημένων πολεμίων τὰς ἀσπίδας, καὶ εἰς τὸ αἷμα τὴν χεῖρα βαπτίσας ἔστησε τρόπαιον ἐπιγράψας ''Ῥωμαῖοι κατὰ Σαμνιτῶν Διὶ τροπαιούχῳ.' Μάιος δὲ ὁ ἐπικληθεὶς Λαίμαργος, στρατηγὸς πεμφθεὶς καὶ παραγενόμενος ἐπὶ τὸν τόπον, ἰδὼν τὸ τρόπαιον, τὸν οἰωνὸν ἀσμένως ἐδέξατο· καὶ συμβαλὼν ἐνίκησε καὶ αἰχμάλωτον λαβὼν τὸν βασιλέα εἰς Ῥώμην ἔπεμψεν· ὡς Ἀριστείδης ὁ Μιλήσιος ἐν τρίτῃ Ἰταλικῶν.

4. ΠΕΡΣΩΝ μετὰ πεντακοσίων μυριάδων ἐπὶ τὴν Ἑλλάδα ἐρχομένων, Λεωνίδας ἅμα τριακοσίοις ἐπέμφθη εἰς Θερμοπύλας ὑπὸ Λακεδαιμονίων. εὐωχουμένοις D δ' ἐκεῖ ἐπέκειτο τὸ τῶν βαρβάρων πλῆθος· καὶ ὁ Λεωνίδας εἶπεν ἰδὼν τοὺς βαρβάρους 'οὕτως ἀριστᾶτε ὡς ἐν Ἅιδου δειπνήσοντες.' καὶ ὁρμήσας κατὰ τῶν βαρβάρων καὶ πολλοῖς περιπαρεὶς δόρασιν

3 *καθάπερ*] add. *ἱστορεῖ* H *Χρύσερμος*] Mueller. 4 p. 361 5 *Μισθύνιον Ἀμβλιρηνόν*] *Ποστούμιον Ἀλβῖνον* M 6 *φορκούλας Καυδίνας* Holstenius: *φορκοῦντας κλαυδίνας* 12 *Μάιος*] *Φάβιος* M 16 *ὡς*] '*καθάπερ ἱστορεῖ* et sic per singula capita' H *Ἀριστείδης*] Mueller. 4 p. 321. 19 *ἐρχομένων*] *φερομένων* Stob. 7, 64

ἀνέβη ἐπὶ τὸν Ξέρξην καὶ τὸ διάδημα ἀφείλετο. οὗ ἀποθανόντος ὁ βάρβαρος τέμνει τὴν καρδίαν καὶ εὗρε δασεῖαν· ὡς Ἀριστείδης ἐν πρώτῃ Περσικῶν.

ΡΩΜΑΙΟΙ πρὸς Ποινοὺς πόλεμον ἔχοντες ἔπεμψαν τριακοσίους καὶ στρατηγὸν Φάβιον Μάξιμον. E συμβαλὼν δ' ἀπέβαλε πάντας, αὐτὸς δὲ καιρίως τρωθεὶς μεθ' ὁρμῆς ἐπὶ τὸν Ἀννίβαν ἠνέχθη, καὶ καθελὼν τὸ διάδημα συναπέθανεν αὐτῷ, καθάπερ ἱστορεῖ Ἀριστείδης ὁ Μιλήσιος.

5. ΚΑΤΑ Κελαινὰς πόλιν τῆς Φρυγίας χάσμα μεθ' ὕδατος γενόμενον πολλὰς οἰκίας αὐτάνδρους εἰς τὸν βυθὸν εἵλκυσε. Μίδας δὲ ὁ βασιλεὺς χρησμὸν ἔλαβεν, ἐὰν τὸ τιμιώτατον ἐμβάλῃ, συνελεύσεσθαι· ὁ δὲ χρυσὸν καὶ ἄργυρον ἐμβαλὼν οὐδὲν ἐβοήθησεν. F Ἄγχουρος δὲ υἱὸς τοῦ Μίδα λογισάμενος μηδὲν εἶναι τιμιώτερον ἐν βίῳ ψυχῆς ἀνθρωπίνης, δοὺς περιπλοκὰς τῷ γεννήσαντι καὶ τῇ γυναικὶ Τιμοθέᾳ, ἔφιππος εἰς τὸν τόπον τοῦ χάσματος ἠνέχθη. συνελθούσης δὲ τῆς γῆς, χρύσεον βωμὸν ἐποίησεν Ἰδαίου Διὸς ἀψάμενος τῇ χειρί. οὗτος ὁ βωμὸς περὶ ἐκεῖνον τὸν καιρόν, ἐν ᾧ τὸ χάσμα συνέβη γενέσθαι, λίθος γίνεται· τῆς δὲ ὡρισμένης προθεσμίας παρελθούσης, χρύσεος ὁρᾶται· ὡς Καλλισθένης ἐν δευτέρῳ Μεταμορφώσεων.

ΔΙΑ μέσης τῆς ἀγορᾶς ῥέων ὁ Τίβερις διὰ μῆνιν

1 ἀνέβη] ἠνέχθη Stob. l. l. 2 τέμνει] ἐκτέμνει Herwerdenus 3. 9 Ἀριστείδης] Mueller. 4 p. 324. 322 10 Κελαινὰς Stob. 7, 69: κελαινὸν 12 εἵλκυσε] καθείλκυσε Stob. 21 λίθος] λίθινος idem 23 Καλλισθένης] cf. Libell. de Fluviis 4, 2. 6, 3

Ταρσίου Διὸς μέγιστον ἀπέρρηξε χῶμα καὶ πολλὰς οἰκίας ἐβύθισε· χρησμὸς δ' ἐδόθη λήξεσθαι, ἐὰν τὸ τίμιον ἐμβάλωσι. τῶν δὲ χρυσὸν καὶ ἄργυρον ἐμβαλόντων, Κούρτιος τῶν ἐπισήμων νέος τὸν χρησμὸν 307 νοήσας καὶ λογισάμενος τὴν ψυχὴν τιμιωτέραν, ἔφιππον ἑαυτὸν ἔρριψεν εἰς τὸ χάσμα καὶ τοὺς οἰκείους ἐξέσωσε τῶν κακῶν· ὡς Ἀριστείδης ἐν τεσσαρακοστῷ Ἰταλικῶν.

6. ΤΩΝ ἅμα Πολυνείκει εὐωχουμένων λοχαγῶν ἀετὸς καταπτὰς τὸ Ἀμφιάρεω ἐβάστασε δόρυ εἰς ὕψος καὶ εἴασε· τὸ δὲ παγὲν ἐν γῇ δάφνη ἐγένετο. τῇ δ' ὑστεραίᾳ πολεμούντων, κατ' ἐκεῖνο κατεπόθη ὁ Ἀμφιάρεως τῷ ἅρματι, ἔνθα νῦν πόλις Ἅρμα καλεῖται· ὡς Τρισίμαχος ἐν τρίτῳ κτίσεων.

ΡΩΜΑΙΩΝ πρὸς Πύρρον Ἠπειρώτην πολεμούν- B των, Αἰμίλιος Παῦλος χρησμὸν ἔλαβε νικῆσαι, βωμὸν ἐὰν ποιήσῃ, ἔνθα ἂν ἴδῃ χάσματι κρυπτόμενον ἄνδρα τῶν ἐπισήμων μετὰ ἅρματος. μετὰ τρεῖς ἡμέρας Οὐαλέριος Κονᾶτος κατ' ὄναρ ἰδὼν ἀναλαβεῖν ἱερέως κόσμον (καὶ γὰρ ἦν μαντικῆς ἔμπειρος), στρατηγήσας καὶ πολλοὺς φονεύσας ὑπὸ γῆς κατεπόθη. ὁ Αἰμίλιος δὲ βωμὸν ἱδρύσας ἐνίκησε καὶ ἑκατὸν ἑξήκοντα πυργοφόρους ἐλέφαντας εἰς Ῥώμην κατέπεμψεν. ὁ δὲ βωμὸς μαντεύεται κατ' ἐκεῖνον τὸν καιρόν, καθ' ὃν ἐνικήθη Πύρρος· ὡς ἱστορεῖ Κριτόλας ἐν τρίτῃ Ἠπειρωτικῶν.

3 τίμιον] τιμιώτατον? ἐμβαλόντων *: ἐμβαλλόντων
7 Ἀριστείδης] Mueller. 4 p. 321 14 Τρισίμαχος] Πανσίμαχος vel Τλησίμαχος H. Λυσίμαχος C. Muellerus. Μνησίμαχος? cf. Mueller 4 p. 473 25 Κριτόλας] Mueller. 4 p. 372

C 7. ΠΥΡΑΙΧΜΗΣ *βασιλεὺς Εὐβοέων ἐπολέμει Βοιωτοῖς. ὃν Ἡρακλῆς ἔτι νέος ὢν ἐνίκησε· πώλοις δὲ προσδήσας καὶ εἰς δύο μέρη διελὼν τὸν Πυραίχμην, ἄταφον ἔρριψεν. ὁ δὲ τόπος προσαγορεύεται 'πῶλοι Πυραίχμου', κεῖται δὲ παρὰ ποταμὸν Ἡράκλειον, χρεμετισμὸν δ' ἀναδίδωσι πινόντων ἵππων· ὡς ἐν τρίτῳ περὶ ποταμῶν.*

ΤΟΥΛΛΟΣ *Ὀστίλιος βασιλεὺς Ῥωμαίων ἐπολέμησεν Ἀλβανοῖς, βασιλέως ὄντος Μετίου Φουφετίου, καὶ τὴν μάχην πολλάκις ὑπερέθετο. οἱ δέ, ἡττωμένου, εἰς εὐωχίαν ἐτράπησαν· οἰνωμένοις δ' ἐπέθετο, καὶ τὸν βασιλέα δύο πώλοις συζεύξας διεσπά-*
D *ραξεν· ὡς Ἀλέξαρχος ἐν τετάρτῃ Ἰταλικῶν.*

8. ΦΙΛΙΠΠΟΣ *Μεθώνην καὶ Ὄλυνθον βουλόμενος πορθῆσαι καὶ βιαζόμενος ἐπὶ τῷ Σανδάνῳ ποταμῷ διαβῆναι πέραν, ὑπό τινος τῶν Ὀλυνθίων Ἀστέρος ὀνόματι ἐτοξεύθη τὸν ὀφθαλμόν, εἰπόντος*

'Ἀστὴρ Φιλίππῳ θανάσιμον πέμπει βέλος·'

ὁ δ' ὀπίσω διανηξάμενος πρὸς τοὺς οἰκείους σῴζεται ἀπολέσας τὸν ὀφθαλμόν· ὡς Καλλισθένης ἐν τρίτῳ Μακεδονικῶν.

ΠΟΡΣΙΝΑΣ *Τούσκων βασιλεὺς πέραν Θύμβρεος ποταμοῦ στρατεύσας ἐπολέμησε Ῥωμαίοις, καὶ τὴν ἀπὸ σιτίων φερομένην εὐθηνίαν μέσην λαβὼν λιμῷ*
E *τοὺς προειρημένους ἔτρυχεν. Ὁράτιος δὲ Κάτλος στρατηγὸς χειροτονηθεὶς τὴν ξυλίνην κατελάβετο*

8 *Ὀστίλιος* *: *ὀστίλλιος* 11 *ἡττωμένου*] *ὡς ἡττωμένου* Duebnerus 13 *Ἀλέξαρχος*] Mueller. 4 p. 298 22 *Θύμβρεως* *: *θύμβριος* 25 *Κάτλος*] *Κόκλης*?

γέφυραν καὶ τὸ πλῆθος τῶν βαρβάρων διαβῆναι βουλόμενον ἐπεῖχε. πλεονεκτούμενος δὲ ὑπὸ τῶν πολεμίων προσέταξε τοῖς ὑποτεταγμένοις κόπτειν τὴν γέφυραν, καὶ τὸ πλῆθος τῶν βαρβάρων διαβῆναι βουλόμενον ἐκώλυσε. βέλει δὲ τὸν ὀφθαλμὸν πληγεὶς ῥίψας ἑαυτὸν εἰς τὸν ποταμόν, διενήξατο εἰς τοὺς οἰκείους· ὡς Θεότιμος δευτέρῳ Ἰταλικῶν.

9. Ὁ περὶ τοῦ Ἰκαρίου μῦθος, ᾧ Διόνυσος ἐπεξενώθη· ὡς Ἐρατοσθένης ἐν τῇ Ἠριγόνῃ.

ΚΡΟΝΟΣ ἐπιξενωθεὶς γεωργῷ, ᾧ ἦν θυγάτηρ F
καλὴ Ἐντωρία, ταύτην ἐβιάσατο καὶ ἐτέκνωσεν υἱοὺς Ἰανὸν Ὕμνον Φαῦστον Φήλικα. διδάξας οὖν τὸν τρόπον τῆς τοῦ οἴνου πόσεως καὶ τῆς ἀμπέλου ἠξίωσε καὶ τοῖς γείτοσι μεταδοῦναι. ποιήσαντες δ' αὐτὸ καὶ πιόντες παρὰ τὸ σύνηθες εἰς ὕπνον κατηνέχθησαν βαρύτερον τοῦ δέοντος· οἱ δὲ πεφαρμακῶσθαι δόξαντες, λίθοις βάλλοντες τὸν Ἰκάριον ἀπέκτειναν· οἱ δὲ θυγατριδαὶ ἀθυμήσαντες βρόχῳ τὸν βίον κατέστρεψαν.

ΛΟΙΜΟΥ δὲ κατασχόντος Ῥωμαίους, ἔχρησεν ὁ 308
Πύθιος λωφήσειν, ἐὰν ἐξιλάσωνται τοῦ Κρόνου τὴν μῆνιν καὶ τοὺς δαίμονας τῶν ἀνόμως ἀπολομένων. Λουτάτιος δὲ Κάτλος, ἀνὴρ τῶν ἐπισήμων, κατεσκεύασε τῷ θεῷ τέμενος τὸ κείμενον σύνεγγυς τοῦ Ταρπηίου ὄρους, καὶ τὸν ἄνω βωμὸν ἱδρύσατο τετρα-

7 Θεότιμος] Mueller. 4 p. 517 10 ὡς * 12 Ἐντωρία] Κεντουρία? ταύτην Duebnerus: ἣν 13 Ἰανόν * hic et infra: ἰάνον 19 θυγατριδαὶ vel θυγατρίδες] θυγατριδοῖ?

πρόσωπον ἢ διὰ τοὺς θυγατριδὰς ἢ ὅτι τετραμερὴς ὁ ἐνιαυτός ἐστι, καὶ μῆνα κατέδειξεν Ἰανουάριον. ὁ δὲ Κρόνος πάντας κατηστέρισεν. καὶ οἱ μὲν καλοῦνται προτρυγητῆρες, ὁ δ' Ἰανὸς προανατέλλων· δείκνυται δὲ ὁ ἀστὴρ πρὸ τῶν ποδῶν τῆς παρθένου· ὡς Κριτόλαος ἐν τετάρτῃ φαινομένων.

B 10. ΠΕΡΣΩΝ *τὴν Ἑλλάδα λεηλατούντων, Παυσανίας ὁ τῶν Λακεδαιμονίων στρατηγὸς πεντακόσια χρυσοῦ τάλαντα παρὰ Ξέρξου λαβὼν ἔμελλε προδιδόναι τὴν Σπάρτην. φωραθέντος δὲ τούτου, Ἀγησίλαος ὁ πατὴρ μέχρι τοῦ ναοῦ τῆς Χαλκιοίκου συνεδίωξεν Ἀθηνᾶς, καὶ τὰς θύρας τοῦ τεμένους πλίνθῳ φράξας λιμῷ ἀπέκτεινεν· ἡ δὲ μήτηρ καὶ ἄταφον ἔρριψεν· ὡς Χρύσερμος ἐν δευτέρῳ Ἱστορικῶν.*

ΡΩΜΑΙΟΙ *πρὸς Λατίνους πολεμοῦντες ἐχειροτόνησαν στρατηγὸν Πόπλιον Δέκιον· νεανίσκος δέ τις* C *τῶν ἐπισήμων πένης τοὔνομα Κάσσιος Βροῦτος ἐπὶ ῥητῷ μισθῷ νυκτὸς τὰς πύλας ἀνοῖξαι ἐβουλήθη. φωραθεὶς δὲ εἰς ναὸν ἔφυγεν Ἀθηνᾶς Αὐξιληρίας. Κάσσιος δὲ Σιγνίφερ ὁ πατὴρ αὐτοῦ κατέκλεισε καὶ λιμῷ διέφθειρε καὶ ἄταφον ἔρριψεν· ὡς Κλειτώνυμος ἐν Ἰταλικῶν.*

11. ΔΑΡΕΙΟΣ *ὁ Πέρσης ἐπὶ Γρανικῷ πολεμήσας Ἀλεξάνδρῳ καὶ ἑπτὰ σατράπας ἀποβαλὼν καὶ ἅρματα δρεπανηφόρα δύο καὶ πεντακόσια, συμβαλεῖν*

1 *θυγατριδὰς* vel *θυγατρίδας*] *θυγατριδοῦς*? 6 *Κριτόλαος*] Mueller. 4 p. 372 13 *πλίνθῳ φράξας*] *πλίνθοις ἐμφράξας* Stob. 39, 31 14 *Χρύσερμος*] Mueller. 4 p. 361 *Ἱστορικῶν*] *Περσικῶν* Stob. Flor. 39, 31 19 *Αὐξιληρίας*] *Αὐξιλιαρίας*? 21 *Κλειτώνυμος*] cf. Lib. de Fluviis 3, 4

ἔμελλε τῇ ἑξῆς. Ἀριοβαρζάνης δὲ ὁ υἱὸς συμπαθῶς διακείμενος πρὸς Ἀλέξανδρον ὑπισχνεῖτο τὸν πατέρα προδώσειν. ἀγανακτήσας δὲ ὁ πατὴρ ἐτραχηλοκόπησεν· ὡς Ἀρητάδης Κνίδιος ἐν τρίτῳ Μακεδονικῶν.

ΒΡΟΥΤΟΣ ὑπὸ πάντων ὕπατος χειροτονηθεὶς D ἐφυγάδευσε τὸν Ὑπερήφανον Ταρκύνιον τυραννικῶς ἀναστρεφόμενον. ὁ δ' ἐλθὼν εἰς Τούσκους ἐπολέμει Ῥωμαίοις. οἱ δὲ υἱοὶ τὸν πατέρα προδοῦναι ἐβουλήθησαν. ἐμπεσόντων δὲ ** τραχηλοκοπῆσαι· ὡς Ἀριστείδης Μιλήσιος ἐν τοῖς Ἰταλικοῖς.

12. ΕΠΑΜΕΙΝΩΝΔΑΣ ὁ τῶν Θηβαίων στρατηγὸς ἔχων πρὸς Λακεδαιμονίους πόλεμον καὶ ἀρχαιρεσιῶν ἀγομένων ἧκεν ἐς πατρίδα, παραγγείλας τῷ παιδὶ Στησιμβρότῳ μὴ συμβάλλειν. Λακεδαιμόνιοι μαθόντες τὴν ἀπουσίαν ἐβλασφήμουν τὸν νεανίαν ὡς ἄνανδρον· ὁ δ' ἀγανακτήσας καὶ ἐπιλαθόμενος τοῦ πατρὸς συνέβαλε καὶ ἐνίκησεν· ὁ δὲ πατὴρ βαρέως E ἐνέγκας στεφανώσας ἐτραχηλοκόπησεν, ὡς Κτησιφῶν ἱστορεῖ ἐν τρίτῳ Βοιωτιακῶν.

ΡΩΜΑΙΟΙ πρὸς Σαμνίτας πόλεμον ἔχοντες ἐχειροτόνησαν Μάλλιον τὸν Ἐπιτάκτην ἐπικληθέντα. οὗτος διὰ χειροτονίαν ὑπατικὴν εἰς Ῥώμην πορευόμενος τῷ υἱῷ προσέταξε μὴ συμβαλεῖν. οἱ δὲ Σαμνῖται μαθόντες βλασφημίαις ἐξουδένιζον τὸν νεανίαν· ὁ δὲ ταραχθεὶς ἐνίκησεν· Μάλλιος δ'

4 Ἀρητάδης] Mueller. 4 p. 316 8 *υἱοὶ* Turnebus: *τοῦσκοι* *ἐβουλήθησαν* *: *ἠβουλήθησαν* 9 lacunam add. Duebnerus 10 Ἀριστείδης] Mueller. 4 p. 323 18 *Κτησιφῶν*] idem 4 p. 375 21 *Μάλλιον* * hic et infra: *μάλιον*

αὐτὸν ἐτραχηλοκόπησεν· καθάπερ ἱστορεῖ Ἀριστείδης Μιλήσιος.

F 13. ΗΡΑΚΛΗΣ τοῦ Ἰόλης γάμου ἀποτυχὼν τὴν Οἰχαλίαν ἐπόρθησεν. ἡ δ' Ἰόλη ἀπὸ τοῦ τείχους ἔρριψεν ἑαυτήν. συνέβη δέ, κολπωθείσης ὑπὸ ἀνέμου τῆς ἐσθῆτος, μηδὲν παθεῖν· καθάπερ ἱστορεῖ Νικίας Μαλλώτης.

ΡΩΜΑΙΟΙ πολεμοῦντες πρὸς Τοῦσκον ἐχειροτόνησαν Βαλέριον Τορκουᾶτον. οὗτος θεασάμενος τοῦ βασιλέως τὴν θυγατέρα τοὔνομα Κλουσίαν ᾐτεῖτο παρὰ τοῦ Τούσκου τὴν θυγατέρα, μὴ τυχὼν δ'
309 ἐπόρθει τὴν πόλιν. ἡ δὲ Κλουσία ἀπὸ τῶν πύργων ἔρριψεν ἑαυτήν· προνοίᾳ δ' Ἀφροδίτης κολπωθείσης τῆς ἐσθῆτος, διεσώθη ἐπὶ τὴν γῆν· ἣν ὁ στρατηγὸς ἔφθειρε, καὶ τούτων πάντων ἕνεκα ἐξωρίσθη κοινῷ δόγματι ὑπὸ Ῥωμαίων εἰς Κόρσικαν νῆσον πρὸ τῆς Ἰταλίας· ὡς Θεόφιλος ἐν τρίτῳ Ἰταλικῶν.

14. ΠΟΙΝΩΝ καὶ Σικελιωτῶν τὴν κατὰ Ῥωμαίων
B συμμαχίαν ἑτοιμαζόντων, Μέτελλος στρατηγὸς μόνῃ τῇ Ἑστίᾳ οὐκ ἔθυσεν· ἡ δὲ πνεῦμα ἀντέπνευσε ταῖς ναυσί. Γάιος δὲ Ἰούλιος μάντις εἶπε λωφῆσαι, ἐὰν προθύσῃ τὴν θυγατέρα. ὁ δ' ἀναγκασθεὶς Μεταλίαν τὴν θυγατέρα προσῆγεν· ἡ δὲ Ἑστία ἐλεήσασα δάμαλιν ὑπέβαλε καὶ αὐτὴν ἐκόμισεν εἰς Λαμούσιον, καὶ ἱέρειαν τοῦ σεβομένου παρ'

1 *Ἀριστείδης*] Mueller. 4 p. 323 7 *Νικίας*] idem 4 p. 463 *Μαλλώτης* *: *μαλεώτης* 15 *τούτων* Huttenus: *διὰ τούτων* 17 *Θεόφιλος*] Mueller. 4 p. 515 23 *Μεταλίαν*] *Μετέλλαν*? *προσῆγεν*] *τοῖς βωμοῖς προσῆγεν* H

αὐτοῖς δράκοντος ἀπέδειξεν· ὡς Πυθοκλῆς ἐν τρίτῃ Ἰταλικῶν.

ΕΝ ΑΥΛΙΔΙ *τῆς Βοιωτίας τὰ περὶ Ἰφιγένειαν ὁμοίως ἱστορεῖ Μένυλλος ἐν πρώτῳ Βοιωτιακῶν.*

15. ΒΡΕΝΝΟΣ *Γαλατῶν βασιλεὺς λεηλατῶν τὴν Ἀσίαν ἐπὶ Ἔφεσον ἦλθε, καὶ ἠράσθη παρθένου Δημονίκης· ἡ δὲ συνελθεῖν ὑπέσχετο, ἐὰν τὰ ψέλλια καὶ τὸν κόσμον τῶν γυναικῶν δῷ αὐτῇ, καὶ τὴν Ἔφεσον προδοῦναι· ὁ δ' ἠξίωσε τοὺς στρατιώτας* C *ἐμβαλεῖν εἰς τὸν κόλπον ὃν εἶχον χρυσὸν τῆς φιλαργύρου. ποιησάντων δέ, ὑπὸ τῆς δαψιλείας τοῦ χρυσοῦ ζῶσα κατεχώσθη· καθάπερ ἱστορεῖ Κλειτοφῶν ἐν πρώτῳ Γαλατικῶν.*

ΤΑΡΠΗΙΑ *τῶν εὐσχημόνων παρθένων τοῦ Καπιτωλίου φύλαξ, Ῥωμαίων πρὸς Σαβίνους πολεμούντων, ὑπέσχετο τῷ Τατίῳ δώσειν εἴσοδον εἰς τὸ Ταρπήιον ὄρος, ἐὰν μισθὸν λάβῃ τοὺς ὅρμους, οὓς ἐφόρουν κόσμου χάριν. Σαβῖνοι δὲ νοήσαντες ζῶσαν κατέχωσαν· ὡς Ἀριστείδης Μιλήσιος ἐν Ἰταλικοῖς.*

16. ΤΕΓΕΑΤΑΙΣ *καὶ Φενεάταις χρονίου πολέμου γενομένου, ἔδοξε τριδύμους ἀδελφοὺς πέμψαι* D *τοὺς μαχησομένους περὶ τῆς νίκης. καὶ Τεγεᾶται μὲν οὖν τοὺς Ῥηξιμάχου παῖδας, Φενεᾶται δὲ τοὺς Δημοστράτου προυβάλοντο. συμβληθείσης δὲ τῆς μάχης, ἐφονεύθησαν τῶν Ῥηξιμάχου δύο· ὁ δὲ τρίτος*

1 *Πυθοκλῆς*] Mueller. 4 p. 488   4 *Μένυλλος* idem 4 p. 452: *μέρυλλος*   7 *Δημονίκης* Stob. 10, 71: *δημοτικῆς*   12 *Κλειτοφῶν*] cf. Lib. de Fluviis 6, 4   19 *Ἀριστείδης*] Mueller. 4 p. 323   24 *προυβάλοντο* *: *προυβάλλοντο*

τοὔνομα Κριτόλαος στρατηγήματι περιεγένετο τῶν δύο· προσποιητὴν γὰρ φυγὴν σκηψάμενος κατὰ ἕνα τῶν διωκόντων ἀνεῖλε. καὶ ἐλθόντος, οἱ μὲν ἄλλοι συνεχάρησαν, μόνη δ' οὐκ ἐχάρη ἡ ἀδελφὴ Δημοδίκη· πεφονεύκει γὰρ αὐτῆς τὸν κατηγγυημένον ἄνδρα Δημόδικον. ἀναξιοπαθήσας δὲ ὁ Κριτόλαος ἀνεῖλεν E *αὐτήν. φόνου δ' ἀγόμενος ὑπὸ τῆς μητρὸς ἀπελύθη τῶν ἐγκλημάτων· ὡς Δημάρατος ἐν δευτέρῳ Ἀρκαδικῶν.*

ΡΩΜΑΙΟΙ *καὶ Ἀλβανοὶ πολεμοῦντες τριδύμους προμάχους εἵλοντο, καὶ Ἀλβανοὶ μὲν Κουριατίους, Ῥωμαῖοι δὲ Ὡρατίους. συμβληθείσης δὲ τῆς μάχης, οἱ Κουριάτιοι δύο τῶν ἐναντίων ἀνεῖλον· ὁ δὲ περίλοιπος φυγῇ προσποιητῇ συμμάχῳ χρώμενος ἐφόνευσε καθ' ἕνα τῶν ἐπιδιωκόντων. χαρέντων δὲ πάντων, μόνη ἡ ἀδελφὴ οὐ συνεχάρη Ὡρατία τὸν κατηγγυημένον ἄνδρα Κουριάτιον ἀνῃρηκότι· ὁ δ'* F *ἐφόνευσε τὴν ἀδελφήν· ὥς φησιν Ἀριστείδης ὁ Μιλήσιος ἐν Ἰταλικοῖς.*

17. ΕΝ ΙΛΙΩΙ *τοῦ ναοῦ τῆς Ἀθηνᾶς ἐμπρησθέντος, προσδραμὼν Ἶλος τὸ διοπετὲς ἥρπασε παλλάδιον καὶ ἐτυφλώθη· οὐ γὰρ ἐξῆν ὑπ' ἀνδρὸς βλέπεσθαι· ὕστερον δ' ἐξιλασάμενος ἀνέβλεψεν· ὡς Δέρκυλλος ἐν πρώτῳ κτίσεων.*

ΑΝΤΥΛΟΣ *ἀνὴρ τῶν ἐπισήμων πορευόμενος εἰς τὸ προάστειον ὑπὸ κοράκων ἐπεσχέθη παιόντων*

8 *τῶν ἐγκλημάτων*] *τοῦ ἐγκλήματος* Stob. 39, 32 *Δημάρατος*] Mueller. 4 p. 379 18 *Ἀριστείδης*] idem 4 p. 323 22 *ἐξῆν* W: *ἐξὸν* 24 *Δέρκυλλος*] Mueller. 4 p. 387 25 *Ἀντύλος*] *Μέτελλος* Basileensis

ταῖς πτέρυξι. φοβηθεὶς δὲ τὸν οἰωνὸν εἰς Ῥώμην ὑπέστρεψεν. ἰδὼν δὲ τὸ τέμενος τῆς Ἑστίας καιόμενον 310 *καὶ τὸ παλλάδιον ἁρπάσας ἐτυφλώθη· ὕστερον δ' ἀνέβλεψεν ἐξιλασάμενος· ὡς Ἀριστείδης Μιλήσιος ἐν Ἰταλικοῖς.*

18. ΘΡΑΙΚΕΣ *Ἀθηναίοις πολεμοῦντες χρησμὸν ἔλαβον, ὡς, ἐὰν Κόδρου φείσωνται, νικῆσαι· ὁ δὲ δρέπανον λαβὼν ἧκεν εἰς τοὺς ἐναντίους ἐν εὐτελοῦς σχήματι, καὶ ἕνα φονεύσας ὑπὸ θατέρου ἀνηρέθη. οὕτω τ' ἐνίκησαν οἱ Ἀθηναῖοι· ὡς Σωκράτης ἐν δευτέρῳ Θρακικῶν.*

ΠΟΥΠΛΙΟΣ *Δέκιος Ῥωμαῖος πρὸς Ἀλβανοὺς πολεμῶν ὄναρ εἶδεν, ἐὰν ἀποθάνῃ, Ῥώμην προσποιήσειν Ῥωμαίοις. ἐλθὼν εἰς μέσους καὶ πολλοὺς* B *φονεύσας ἀνηρέθη. ὁμοίως δὲ καὶ ὁ υἱὸς αὐτοῦ Δέκιος ἐν τῷ πρὸς Γάλλους πολέμῳ τοὺς Ῥωμαίους διέσωσεν· ὡς Ἀριστείδης Μιλήσιος.*

19. ΚΥΑΝΙΠΠΟΣ *γένει Συρακούσιος μόνῳ Διονύσῳ οὐκ ἔθυεν· ὁ δὲ θεὸς ὀργισθεὶς μέθην ἐνέσκηψε, καὶ ἐν τόπῳ σκοτεινῷ τὴν θυγατέρα ἐβιάσατο Κυάνην· ἡ δὲ τὸν δακτύλιον περιελομένη ἔδωκε τῇ τροφῷ, ἐσόμενον ἀναγνώρισμα. λοιμωξάντων δὲ καὶ τοῦ Πυθίου εἰπόντος μὲν δεῖν τὸν ἀσεβῆ τροπαίοις θεοῖς σφαγιάσαι, τῶν δ' ἄλλων ἀγνοούντων τὸν χρησμόν, γνοῦσα ἡ Κυάνη καὶ ἐπιλαβομένη τῶν* C *τριχῶν εἷλκε, καὶ αὐτὴ κατασφάξασα τὸν πατέρα*

4. 17 *Ἀριστείδης*] Mueller. 4 p. 323 10 *Σωκράτης*] *Σώστρατος* idem 4 p. 504

ἑαυτὴν ἐπέσφαξε· καθάπερ Δοσίθεος ἐν τῷ τρίτῳ Σικελικῶν.

ΤΩΝ Διονυσίων ἐν τῇ Ῥώμῃ ἀγομένων, Ἀρούντιος ἐκ γενετῆς ὑδροπότης ἐξουδένιζε τὴν τοῦ θεοῦ δύναμιν· ὁ δὲ μέθην ἐνέβαλε, καὶ ἐβιάσατο τὴν θυγατέρα Μεδουλλίναν. ἡ δὲ ἐκ δακτυλίου γνοῦσα τὸ γένος καὶ πρεσβύτερα τῆς ἡλικίας φρονήσασα, μεθύσασα τὸν πατέρα καὶ στεφανώσασα ἤγαγεν ἐπὶ τὸν βωμὸν τῆς Ἀστραπῆς καὶ δακρύσασα ἀνεῖλε τὸν ἐπίβουλον τῆς παρθενίας· ὡς Ἀριστείδης ἐν τρίτῃ Ἰταλικῶν.

D 20. ΕΡΕΧΘΕΥΣ πρὸς Εὔμολπον πολεμῶν ἔμαθε νικῆσαι, ἐὰν τὴν θυγατέρα προθύσῃ, καὶ συγκοινωνήσας τῇ γυναικὶ Πραξιθέᾳ προέθυσε τὴν παῖδα. μέμνηται Εὐριπίδης ἐν Ἐρεχθεῖ.

ΜΑΡΙΟΣ πρὸς Κίμβρους πόλεμον ἔχων καὶ ἡττώμενος ὄναρ εἶδεν, ὅτι νικήσει, ἐὰν τὴν θυγατέρα προθύσῃ· ἦν δ' αὐτῷ Καλπουρνία· προκρίνας δὲ τῆς φύσεως τοὺς πολίτας ἔδρασε καὶ ἐνίκησε. καὶ ἔτι καὶ νῦν βωμοὶ εἰσὶ δύο ἐν Γερμανίᾳ, οἳ κατ'
E ἐκεῖνον τὸν καιρὸν ἦχον σαλπίγγων ἀποπέμπουσιν· ὡς Δωρόθεος ἐν τετάρτῳ Ἰταλικῶν.

21. ΚΥΑΝΙΠΠΟΣ τῷ γένει Θετταλὸς ἐπὶ θήραν συνεχῶς ἐξῄει· ἡ δὲ νεόνυμφος αὐτοῦ ὑπολαβοῦσα διὰ τὸ πολλάκις ἐν ὕλαις μένειν συνήθειαν ἔχειν μεθ' ἑτέρας, κατ' ἴχνος ἠκολούθησε τῷ Κυανίππῳ·

1 Δοσίθεος] Mueller. 4 p. 401 3 Ἀρούντιος *: ἀρνεύτιος 10 Ἀριστείδης] Mueller. 4 p. 321 13 νικήσειν Nauck. 15 Ἐρεχθεῖ] cf. Stob. 39, 33. Nauck. p. 369 22 Δωρόθεος] cf. Lib. de Fluviis 23, 3

καὶ ἔν τινι κατακρυβεῖσα συνδένδρῳ, τὸ μέλλον ἀπεκαραδόκει. τῶν δὲ κλάδων σεισθέντων, οἱ κύνες θηρίον εἶναι δόξαντες ὥρμησαν καὶ τὴν φίλανδρον ἀλόγου δίκην ζώου διεσπάραξαν. ὁ δὲ Κυάνιππος τῆς ἀνελπίστου πράξεως αὐτόπτης γενόμενος ἑαυτὸν ἀπέσφαξεν· ὡς Παρθένιος ὁ ποιητής.

ΕΝ Συβάρει πόλει τῆς Ἰταλίας νέος περίβλεπτος F τὸ κάλλος Αἰμίλιος φιλοκύνηγος ἦν· ἡ δὲ νεόνυμφος δόξασα ἑτέρᾳ συνεῖναι εἰσῄει εἰς τὴν νάπην. τῶν δὲ δένδρων σεισθέντων, οἱ κύνες ἐπιδραμόντες διέσπασαν· ὁ δὲ ἐπέσφαξεν ἑαυτόν· ὡς Κλειτώνυμος ἐν δευτέρῳ Συβαριτικῶν.

22. ΣΜΥΡΝΑ Κινύρου θυγάτηρ διὰ μῆνιν Ἀφροδίτης ἠράσθη τοῦ γεννήσαντος, καὶ τῇ τροφῷ τὴν 311 ἀνάγκην τοῦ ἔρωτος ἐδήλωσεν· ἡ δὲ δόλῳ ὑπῆγε τὸν δεσπότην· ἔφη γὰρ γείτονα παρθένον ἐρᾶν αὐτοῦ καὶ αἰσχύνεσθαι ἐν φανερῷ προσιέναι. ὁ δὲ συνῄει. ποτὲ δὲ θελήσας τὴν ἐρῶσαν μαθεῖν φῶς ᾔτησεν, ἰδὼν δὲ ξιφήρης τὴν ἀσελγεστάτην ἐδίωκεν. ἡ δὲ κατὰ πρόνοιαν Ἀφροδίτης εἰς ὁμώνυμον δένδρον μετεμορφώθη· καθὰ Θεόδωρος ἐν ταῖς Μεταμορφώσεσιν.

ΟΥΑΛΕΡΙΑ Τουσκλαναρία κατὰ μῆνιν Ἀφροδίτης ἐρασθεῖσα Οὐαλερίου τοῦ πατρὸς τῇ τροφῷ ἀνεκοίνωσεν· ἡ δὲ τὸν δεσπότην δόλῳ ὑπῆλθεν, εἰποῦσα ὡς αἰδεῖται κατ' ὄψιν μίσγεσθαι, τῶν τε B

5 τῆς H 6 Παρθένιος] cf. Erot. Script. ed. Hercher. 1 p. 14 11 Κλειτώνυμος] cf. Lib. de Fluviis 3, 4 21 Θεόδωρος] Mueller. 4 p. 513

γειτόνων εἶναι τὴν παρθένον. καὶ οἰνωθεὶς ὁ πατὴρ ᾔτει φῶς, ἡ δὲ τροφὸς φθάσασα διήγειρεν, ἥτις ἐπὶ ταῖς ἀγροικίαις ἦν ἐγκύμων τυγχάνουσα· ποτὲ δὲ κατὰ κρημνῶν ἐνεχθείσης, τὸ βρέφος ἔζη· κατιοῦσα δ' ἐγκύμων κατέστη καὶ εἰς τὸν ὡρισμένον χρόνον ἐγέννησεν Αἰγίπανα, κατὰ τὴν Ῥωμαίων φωνὴν Σιλουᾶνον. ὁ δὲ Οὐαλέριος ἀθυμήσας κατὰ τῶν αὐτῶν ἔρριψε κρημνῶν· ὡς Ἀριστείδης Μιλήσιος ἐν τρίτῳ Ἰταλικῶν.

23. ΜΕΤΑ *τὴν Ἰλίου πόρθησιν ἐξεβράσθη Διομήδης εἰς Λιβύην, ἔνθα Λύκος ἦν βασιλεὺς ἔθος ἔχων τοὺς ξένους Ἄρει τῷ πατρὶ θύειν. Καλλιρρόη δὲ* C *ἡ θυγάτηρ ἐρασθεῖσα Διομήδους τὸν πατέρα προύδωκε, καὶ τὸν Διομήδην ἔσωσε λύσασα τῶν δεσμῶν· ὁ δὲ ἀμελήσας τῆς εὐεργέτιδος ἀπέπλευσεν· ἡ δὲ βρόχῳ ἐτελεύτησεν· ὡς Ἰόβας ἐν τρίτῃ Λιβυκῶν.*

ΚΑΛΠΟΥΡΝΙΟΣ *Κράσσος ἀνὴρ τῶν ἐπισήμων, Ῥηγούλῳ συστρατευόμενος, ἐπέμφθη εἰς Μασσύλους πορθήσων φρούριόν τι δυσάλωτον τοὔνομα Γαραίτιον. αἰχμάλωτος δὲ ληφθεὶς ἔμελλε θύεσθαι τῷ* D *Κρόνῳ. Βισαλτία δέ, τοῦ βασιλέως θυγάτηρ, ἐρασθεῖσα προύδωκε τὸν πατέρα καὶ νικηφόρον ἐκεῖνον ἐποίησεν. ἀναστρέψαντος δ' αὐτοῦ, ἡ κόρη κατέσφαξεν ἑαυτήν· ὡς Ἡσιάναξ ἐν τρίτῳ Λιβυκῶν.*

24. ΠΡΙΑΜΟΣ *Πολύδωρον ἐξέθετο εἰς Θρᾴκην μετὰ χρυσίου πρὸς Πολυμήστορα τὸν γαμβρόν· ὡς δ' ἐγγὺς ἦν τοῦ πορθεῖσθαι ἡ πόλις, μετὰ τὴν ἅλωσιν*

1 *καὶ οἰνωθεὶς κἑ*] corrupta 7 *ἔρριψε*] *ἑαυτὸν ἔρριψε*? 8 *Ἀριστείδης*] Mueller. 4 p. 321 15 *Ἰόβας* Mueller. 3 p. 472 17 *Μασσύλους* X: *μεσσύλους* 21 *προύδωκε* *: *προέδωκε* 23 *Ἡσιάναξ*] *Ἡγησιάναξ* Mueller. 3 p. 70

ἀπέκτεινε τὸν παῖδα, ὡς ἂν κερδήσῃ τὸν χρυσόν. Ἑκάβη δ' ἐπὶ τοὺς τόπους παραγενομένη καὶ σοφισαμένη ὡς χρυσὸν δώσουσα ἅμα ταῖς αἰχμαλωτίσι ταῖς χερσὶν ἐξετύφλωσεν· ὡς Εὐριπίδης ὁ τραγῳδοποιός.

ΑΝΝΙΒΑ Καμπανοὺς λεηλατοῦντος, Λούκιος E
Θύμβρις τὸν υἱὸν Ῥούστιον μετὰ χρημάτων ἔθετο πρὸς Οὐαλέριον Γέστιον ὄντα γαμβρόν. ὁ δὲ νενίκηκεν. ἀκούσας δὲ ὁ Καμπανὸς φιλαργυρίᾳ παρέβη τὰ δίκαια τῆς φύσεως, τὸν παῖδα φονεύσας. ὁ δὲ Θύμβρις διὰ τῆς ἀγροικίας πορευόμενος καὶ τῷ σώματι τοῦ παιδὸς ἐντυχὼν ἔπεμψεν ἐπὶ τὸν γαμβρὸν ὡς δείξων θησαυρούς· ἐλθόντα δ' ἐτύφλωσε καὶ ἐσταύρωσεν. ὡς Ἀριστείδης ἐν τρίτῳ Ἰταλικῶν.

25. ΦΩΚΟΥ ὄντος ἐκ Ψαμάθης Αἰακῷ καὶ στερ- F
γομένου, Τελαμὼν ἦγεν ἐπὶ θήραν· καὶ συὸς ἐπιφανέντος κατὰ τοῦ μισουμένου ἐπαφῆκε τὸ δόρυ καὶ ἐφόνευσεν. ὁ δὲ πατὴρ ἐφυγάδευσεν· ὡς Δωρόθεος ἐν πρώτῳ Μεταμορφώσεων.

ΓΑΙΟΣ Μάξιμος ἔχων υἱοὺς Σιμίλιον καὶ Ῥῆσον· τοῦτον ἐγέννησεν ἐξ Ἀμερίας Κόνων ὁ Ῥῆσος· οὗτος ἐν κυνηγεσίῳ ἀπέκτεινε τὸν ἀδελφὸν καὶ ὑποστρέψας τὸ σύμπτωμα τύχης εἶπεν οὐ κρίσεως γεγονέναι. ὁ δὲ γνοὺς τἀληθὲς ἐφυγάδευσεν· ὡς Ἀριστοκλῆς ἐν τρίτῳ Ἰταλικῶν.

3 αἰχμαλωτίσι *: αἰχμαλώτισι 4 χερσὶν] κερκίσιν Musgravius Εὐριπίδης] in Hecuba τραγῳδοποιός] τραγῳδιοποιός? 14 Ἀριστείδης] Mueller. 4 p. 321 22 Κόνων ὁ Ῥῆσος] 'corrupta' W 25 Ἀριστοκλῆς] Mueller. 4 p. 330

312 26. ΑΡΗΣ Ἀλθαίᾳ συνῆλθε καὶ Μελέαγρον ποιήσας *** ὡς Εὐριπίδης ἐν Μελεάγρῳ.

ΣΕΠΤΙΜΙΟΣ Μάρκελλος γήμας Σιλουίαν τὰ πολλὰ κυνηγίῳ προσέκειτο· τὴν δὲ νεόνυμφον ἐν σχήματι ποιμένος Ἄρης βιασάμενος ἐγκύμονα ἐποίησε, καὶ ὡμολόγησεν ὅστις ἦν καὶ δόρυ ἔδωκε, τὴν γένεσιν τοῦ μέλλοντος τίκτεσθαι φάσκων ἐν αὐτῷ ἀποκεῖσθαι. ἀπέκτεινε γοῦν Σεπτίμιος Τουσκῖνον. Μάμερκος δὲ ὑπὲρ εὐκαρπίας θύων θεοῖς μόνης ἠμέλησε Δήμητρος. ἡ δὲ κάπρον ἔπεμψε. συναθροίσας δὲ πολλοὺς ἐκεῖνος κυνηγέτας ἀνεῖλε, καὶ τὴν κεφαλὴν
B καὶ τὸ δέρος τῇ κατηγγυημένῃ γυναικὶ κατεχώρησε. Σκυμβράτης δὲ καὶ Μουθίας οἱ μητράδελφοι περιείλοντο τῆς κόρης. ἀγανακτήσας δ' ἀνεῖλε τοὺς συγγενεῖς· ἡ δὲ μήτηρ τὸ δόρυ κατέκαυσεν· ὡς Μένυλλος ἐν τρίτῳ Ἰταλικῶν.

27. ΤΕΛΑΜΩΝ ὁ Αἰακοῦ καὶ Ἐνδηίδος ἐλθὼν εἰς Εὔβοιαν καὶ *** νυκτὸς ἔφυγεν. ὁ δὲ πατὴρ αἰσθόμενος καὶ τῶν πολιτῶν τινα ὑποπτεύσας ἔδωκε τὴν κόρην καταποντωθῆναί τινι τῶν δορυφόρων. ὁ δ' ἐλεήσας ἀπημπόλησε· προσσχούσης δὲ τῆς νεὼς Σαλαμῖνι, Τελαμὼν ὠνήσατο· ἡ δ' ἔτεκεν Αἴαντα· ὡς
C Ἀρητάδης Κνίδιος ἐν δευτέρῳ Νησιωτικῶν.

ΛΟΥΚΙΟΣ Τρώσκιος θυγατέρα εἶχε Φλωρεντίαν ἀπὸ τῆς Πατρίδος· ταύτην ἔφθειρε Καλπούρνιος

2 lac. 24 fere litt. in E Μελεάγρῳ] cf. Nauck. p. 414 4 προσέκειτο] προσανέκειτο? 15 Μένυλλος] Mueller. 4 p. 452 18 lacunam 75 fere litt. dat E 21 et p. 373, 3 προσσχούσης *: προσχούσης 23 Ἀρητάδης] Mueller. 4 p. 316

῾Ρωμαῖος. ὁ δὲ παρέδωκε τὴν κόρην καταποντίσαι· ἐλεηθεῖσα δὲ ὑπὸ τοῦ δορυφόρου πιπράσκεται· κατὰ τύχην τῆς νεὼς προσσχούσης εἰς Ἰταλίαν, Καλπούρνιος ὠνήσατο καὶ ἐποιήσατο ἐξ αὐτῆς Κόντρουσκον· ὡς **

28. ΑΙΟΛΟΣ τῶν κατὰ Τυρρηνίαν βασιλεὺς ἔσχεν ἐξ Ἀμφιθέας θυγατέρας ἓξ καὶ ἴσους ἄρρενας· Μακαρεὺς δὲ ὁ νεώτατος ἔρωτι ἔφθειρε μίαν, ἡ δὲ D παιδίον ἐκύησεν. ἐμπεσοῦσα δὲ καὶ ξίφους πεμφθέντος ὑπὸ τοῦ πατρός, ἄνομον κρίνασα ἑαυτὴν διεχρήσατο· ὁμοίως δὲ καὶ ὁ Μακαρεύς· ὡς Σώστρατος ἐν δευτέρᾳ Τυρρηνικῶν.

ΠΑΠΙΡΙΟΣ Τόλουκερ γήμας ἸουλίανΠοῦλχραν ἔσχεν ἓξ θυγατέρας καὶ τοὺς ἴσους ἄρρενας. τούτων ὁ πρεσβύτατος Παπίριος ῾Ρωμᾶνος τῆς ἀδελφῆς ἐρασθεὶς Κανουλίας ἔγκυον ἐποίησε. μαθὼν δὲ ὁ πατὴρ τῇ θυγατρὶ ξίφος ἔπεμψεν· ἡ δὲ ἑαυτὴν ἀνεῖλε· τὸ αὐτὸ δὲ καὶ ὁ ῾Ρωμᾶνος ἔπραξεν· ὡς Χρύσιππος ἐν E τῷ πρώτῳ Ἰταλικῶν.

29. ΑΡΙΣΤΩΝΥΜΟΣ Ἐφέσιος υἱὸς Δημοστράτου ἐμίσει γυναῖκας, ὄνῳ δ' ἐμίσγετο· ἡ δὲ κατὰ χρόνον ἔτεκε κόρην εὐειδεστάτην Ὀνόσκελιν τοὔνομα· ὡς Ἀριστοτέλης ἐν δευτέρᾳ παραδόξων.

ΦΟΥΛΟΥΙΟΣ Στέλλος μισῶν γυναῖκας ἵππῳ συνεμίσγετο· ἡ δὲ κατὰ χρόνον ἔτεκε κόρην εὔμορ-

5 lac. 25 fere litt. in E 10 ἄνομον] ὃ νόμον Mueller. 11 Σώστρατος] Mueller. 4 p. 504 14 τοὺς ἴσους] ἴσους an ἴσους τοὺς? 18 Χρύσιππος] Mueller. 4 p. 362 20 Ἀριστώνυμος X: ἀρίστων ἀριστώνυμος 23 Ἀριστοτέλης] Ἀριστοκλέους Stob. 64, 37. vid. Mueller. 4 p. 330

φον καὶ ὠνόμασεν Ἔποναν· ἔστι δὲ θεὸς πρόνοιαν
ποιουμένη ἵππων· ὡς Ἀγησίλαος ἐν τρίτῳ Ἰταλικῶν.

30. ΣΑΡΔΙΑΝΟΙ πρὸς Σμυρναίους πόλεμον
ἔχοντες περὶ τὰ τείχη ἐστρατοπεδεύσαντο, καὶ διὰ
πρέσβεων ἔπεμψαν μὴ πρότερον ἀναχωρῆσαι, ἐὰν μὴ
F τὰς γυναῖκας συνελθεῖν αὐτοῖς συγχωρήσωσι. τῶν
δὲ Σμυρναίων διὰ τὴν ἀνάγκην μελλόντων πάσχειν
κακῶς, θεραπαινὶς ἦν μία τῶν εὐσχημόνων, ἣ προσ-
δραμοῦσα ἔφη τῷ δεσπότῃ Φιλάρχῳ 'δεῖ τὰς θερα-
παίνας κοσμήσαντας ἀντ' ἐλευθέρων πέμπειν.' ὃ δὴ
καὶ ἔδρασαν. οἱ δὲ κοπωθέντες ὑπὸ τῶν θεραπαι-
313 νῶν ἑάλωσαν. ὅθεν καὶ νῦν παρὰ Σμυρναίοις ἑορτὴ
λέγεται Ἐλευθέρια, ἐν ᾗ αἱ δοῦλαι τὸν κόσμον τῶν
ἐλευθέρων φοροῦσιν· ὡς Δοσίθεος ἐν τρίτῳ Λυδιακῶν.

ΑΤΕΠΟΜΑΡΟΣ Γάλλων βασιλεὺς Ῥωμαίοις
πολεμῶν ἔφη μὴ πρότερον ἀναχωρῆσαι, ἐὰν μὴ τὰς
γυναῖκας εἰς συνουσίαν ἐκδῶσι. τῶν δὲ διὰ συμ-
βουλὴν θεραπαινίδων πεμψάντων τὰς δούλας, κοπω-
θέντες οἱ βάρβαροι τῇ ἀλήκτῳ συνουσίᾳ ὑπνώ-
θησαν. ἡ δὲ Ῥητᾶνα (αὕτη γὰρ ἦν ἡ τοῦτο συμβου-
λεύσασα) ἀγρίας ἐπιλαβομένη συκῆς ἀναβαίνει εἰς
τὸ τεῖχος καὶ μηνύει τοῖς ὑπάτοις· οἱ δ' ἐπελθόντες
ἐνίκησαν. ἀφ' οὗ καὶ ἑορτὴ θεραπαινῶν καλεῖται·
B ὡς Ἀριστείδης Μιλήσιος ἐν πρώτῃ Ἰταλικῶν.

31. ΑΘΗΝΑΙΩΝ πόλεμον ἐχόντων πρὸς Εὔμολ-
πον καὶ τῆς εὐθηνίας μὴ ἐπαρκούσης, Πύρανδρος

2 Ἀγησίλαος] Mueller. 4 p. 292 9 δεῖν? 13 Ἐλευθέρια W: ἐλευθερία 14 Δοσίθεος] Mueller. 4 p. 401 18 κοπωθέντες *: καὶ κοπωθέντες 24 et p. 375, 8 Ἀριστείδης] Mueller. 4 p. 320. 322

ταμίας τῶν δημοσίων ὑπεσπάσατο τὸ μέτρον, φειδωλῶς χρώμενος· οἱ δ' ἐγχώριοι ὡς προδότην ὑποπτεύσαντες λιθόλευστον ἐποίησαν· ὡς Καλλισθένης ἐν τρίτῳ Θρακικῶν.

ῬΩΜΑΙΩΝ πρὸς Γάλλους πολεμούντων καὶ τῆς εὐθηνίας μὴ ἀρκούσης, Κίννας τοῦ δήμου τὸ σιτόμετρον ὑπέσπασε· Ῥωμαῖοι δὲ ὡς ἀντιποιούμενον αὐτὸν τῆς βασιλείας λιθόλευστον ἐποίησαν· ὡς Ἀριστείδης ἐν τρίτῳ Ἰταλικῶν.

32. ΕΝ τῷ Πελοποννησιακῷ πολέμῳ Πεισίστρατος Ὀρχομένιος τοὺς μὲν εὐγενεῖς ἐμίσει, τοὺς C δ' εὐτελεῖς ἐφίλει. ἐβουλεύσαντο δὲ οἱ ἐν τῇ βουλῇ φονεῦσαι, καὶ διακόψαντες αὐτὸν εἰς τοὺς κόλπους ἔβαλον, καὶ τὴν γῆν ἔξυσαν. ὁ δὲ δημότης ὄχλος ὑπόνοιαν λαβὼν ἔδραμεν εἰς τὴν βουλήν. ὁ δὲ νεώτερος υἱὸς τοῦ βασιλέως Τλησίμαχος εἰδὼς τὴν συνωμοσίαν ἀπὸ τῆς ἐκκλησίας ἀπέσπασε τὸν ὄχλον, εἰπὼν ἑωρακέναι τὸν πατέρα μεθ' ὁρμῆς εἰς τὸ Πισαῖον ὄρος φέρεσθαι, μείζονα μορφὴν ἀνθρώπου κεκτημένον. καὶ οὕτως ἠπατήθη ὁ ὄχλος· ὡς Θεόφιλος ἐν δευτέρῳ Πελοποννησιακῶν.

ΔΙΑ τοὺς ἀστυγείτονας πολέμους ἡ σύγκλητος D τῶν Ῥωμαίων τοῦ δήμου τὸ σιτόμετρον ἦρε· Ῥωμύλος δὲ ὁ βασιλεὺς βαρέως ἐνεγκὼν τῷ δήμῳ ἀπέδωκε· πολλοὺς δὲ τῶν μειζόνων ἐκόλαξεν. οἱ δὲ φονεύσαντες αὐτὸν ἐν τῇ συγκλήτῳ βουλῇ καὶ διακόψαντες εἰς τοὺς κόλπους ἔβαλον. Ῥωμαῖοι δὲ μετὰ πυρὸς

20 Θεόφιλος] Mueller. 4 p. 515   26 διακόψαντες *: κόψαντες

εἰς τὴν σύγκλητον ἔδραμον. Αἴτιος δὲ Πρόκλος τῶν ἐπισήμων ἀνὴρ εἶπε τὸν Ῥωμύλον ἐν ὄρει ἑωρακέναι μείζονα παντὸς ἀνθρώπου θεὸν γεγενῆσθαι. Ῥωμαῖοι δὲ πιστεύσαντες ἀνεχώρησαν· ὡς Ἀριστόβουλος ἐν τρίτῳ Ἰταλικῶν.

E 33. ΠΕΛΟΨ Ταντάλου καὶ Εὐρυανάσσης γήμας Ἱπποδάμειαν ἔσχεν Ἀτρέα καὶ Θυέστην· ἐκ δὲ Δαναΐδος νύμφης Χρύσιππον, ὃν πλέον τῶν γνησίων ἔστερξε. Λάιος δὲ ὁ Θηβαῖος ἐπιθυμήσας ἥρπασεν αὐτόν. καὶ συλληφθεὶς ὑπὸ Θυέστου καὶ Ἀτρέως ἐλέους ἔτυχε παρὰ Πέλοπος διὰ τὸν ἔρωτα. Ἱπποδάμεια δ' ἀνέπειθεν Ἀτρέα καὶ Θυέστην ἀναιρεῖν αὐτόν, εἰδυῖα ἔσεσθαι ἔφεδρον βασιλείας. τῶν δ' ἀρνησαμένων, αὐτὴ τῷ μύσει τὰς χεῖρας ἔχρισε. νυκτὸς γὰρ βαθείας κοιμωμένου Λαΐου, τὸ ξίφος ἑλκύσασα καὶ τρώσασα τὸν Χρύσιππον ἐγκαταπήγνυσι τὸ ξίφος. ὑπονοηθεὶς δὲ ὁ Λάιος διὰ τὸ ξίφος ῥύεται F ὑπὸ ἡμιθνῆτος τοῦ Χρυσίππου τὴν ἀλήθειαν ὁμολογήσαντος· ὁ δὲ θάψας τὴν Ἱπποδάμειαν ἐξώρισεν· ὡς Δοσίθεος ἐν Πελοπίδαις.

ΗΒΙΟΣ Τολίειξ γήμας Νουκερίαν ἔσχε δύο παῖδας ἐκ ταύτης. ἔσχε δὲ καὶ ἐξ ἀπελευθέρας κάλλει περίβλεπτον Φίρμον, ὃν τῶν γνησίων μᾶλλον ἔστεργε. ἡ δὲ Νουκερία πρὸς τὸν πρόγονον μισοπονήρως διακειμένη τοὺς παῖδας ἀνέπειθεν αὐτὸν ἀναιρεῖν. τῶν δ' εὐσεβῶς ἀνανευσάντων, αὐτὴ τὸν φόνον ἐνήρ-
314 γησε, καὶ νυκτὸς τοῦ σωματοφύλακος τὸ ξίφος

1 Αἴτιος] Ἰούλιος M. Αἴλιος W 4 Ἀριστόβουλος] Mueller. 3 p. 329 20 Δοσίθεος] idem 4 p. 402 27 καὶ Huttenus

ἑλκύσασα καιρίως ἔτρωσε τὸν κοιμώμενον, ἐγκαταλιποῦσα τὸ ξίφος. τοῦ δὲ σωματοφύλακος ὑποπτευθέντος, ὁ παῖς τὴν ἀλήθειαν λέγει. ὁ δὲ τοῦτον θάψας τὴν γυναῖκα ἐφυγάδευσεν· ὡς Δοσίθεος ἐν τρίτῳ Ἰταλικῶν.

34. ΘΗΣΕΥΣ ταῖς ἀληθείαις παῖς Ποσειδῶνος, ἔχων δ' ἐξ Ἱππολύτης Ἀμαζόνος Ἱππόλυτον, ἐπέγημε μητρυιὰν Φαίδραν τὴν Μίνωος, ἥτις τοῦ προγόνου εἰς ἐπιθυμίαν ἐμπεσοῦσα τὴν τροφὸν ἔπεμψεν· ὁ δὲ καταλείψας Ἀθήνας καὶ εἰς Τροιζῆνα παραγενόμενος κυνηγεσίαις προσανέκειτο. τῆς δὲ προαιρέσεως B ἡ ἀσελγὴς ἀποτυχοῦσα ψευδεῖς κατὰ τοῦ σώφρονος ἐπιστολὰς ἐχάραξε καὶ βρόχῳ τὸ ζῆν ἀνήρτησε. Θησεὺς δὲ πιστεύσας ᾐτήσατο παρὰ Ποσειδῶνος ἀπολέσθαι τὸν Ἱππόλυτον, ἐκ τῶν τριῶν εὐχῶν ἃς εἶχε παρ' αὐτοῦ. ὁ δὲ παρ' αἰγιαλὸν ἐπὶ ἅρματος τυχόντι ταῦρον ἔπεμψε καὶ ἐπτόησε τοὺς ἵππους, οἳ συνέτριψαν τὸν Ἱππόλυτον.

ΚΟΜΜΙΝΙΟΣ Σοῦπερ Λαυρεντῖνος ἔχων υἱὸν ἐξ Ἐγερίας νύμφης Κομμίνιον ἐπήγαγε μητρυιὰν Γιδίκαν· ἥτις ἐρασθεῖσα τοῦ προγόνου καὶ ἀποτυχοῦσα βρόχῳ κατέστρεψε τὸν βίον, ἐπιστολὰς καταλείψασα ψευδεῖς. ὁ δὲ Κομμίνιος ἀναγνοὺς τὰ C ἐγκλήματα καὶ τῷ ζήλῳ πιστεύσας ἐπεκαλέσατο τὸν Ποσειδῶνα. ὁ δὲ τῷ παιδὶ ἐπὶ ἅρματος ὀχουμένῳ ταῦρον ἔδειξε, καὶ οἱ ἵπποι τὸν νέον σύραντες ἀπώλεσαν· ὡς Δοσίθεος ἐν τρίτῳ Ἰταλικῶν.

4. 27 *Δοσίθεος*] Mueller. 4 p. 400. 401 13 *ἀνήρτησε*] *περιέγραψε* Stob. 64, 38. *ἀνήρπασε*?

35. ΛΟΙΜΟΥ κατασχόντος Λακεδαίμονα, ἔχρησεν ὁ θεὸς παύσασθαι, ἐὰν παρθένον εὐγενῆ κατὰ ἔτος θύωσιν. Ἑλένης δέ ποτε κληρωθείσης καὶ προαχθείσης κεκοσμημένης, ἀετὸς καταπτὰς ἥρπασε τὸ ξίφος καὶ ἐς τὰ βουκόλια κομίσας ἐπὶ δάμαλιν κατέθηκεν· ὅθεν ἀπέσχοντο τῆς παρθενοκτονίας· ὡς Ἀριστόδημος ἐν τρίτῃ μυθικῇ συναγωγῇ.

ΛΟΙΜΟΥ κατασχόντος Φαλερίους καὶ φθορᾶς
D γενομένης, χρησμὸς ἐδόθη λωφῆσαι τὸ δεινόν, ἐὰν παρθένον τῇ Ἥρᾳ θύωσιν κατ' ἐνιαυτόν. ἀεὶ δὲ τῆς δεισιδαιμονίας μενούσης, κατὰ κλῆρον καλουμένη Οὐαλερία Λουπέρκα ἤγετο εἰς θυσίαν· σπασαμένη δὲ τὸ ξίφος, ἀετὸς καταπτὰς ἥρπασε καὶ ἐπὶ τῶν ἐμπύρων ἔθηκε ῥάβδον μικρὰν ἔχουσαν σφῦραν, τὸ δὲ ξίφος ἐπέβαλε δαμάλει τινὶ παρὰ τὸν ναὸν βοσκομένῃ. νοήσασα δὲ ἡ παρθένος καὶ τὴν βοῦν θύσασα καὶ τὴν σφῦραν ἄρασα, κατ' οἰκίαν περιῆλθε, καὶ τοὺς ἀσθενοῦντας ἠρέμα πλήττουσα διήγειρεν, ἐρρῶσθαι ἑνὶ ἑκάστῳ λέγουσα. ὅθεν καὶ νῦν τὸ μυστήριον τελεῖται· ὡς Ἀριστείδης ἐν ἐννεακαιδεκάτῳ Ἰταλικῶν.

E 36. ΦΥΛΟΝΟΜΗ Νυκτίμου καὶ Ἀρκαδίας θυγάτηρ ἐκυνήγει σὺν τῇ Ἀρτέμιδι· Ἄρης δ' ἐν σχήματι ποιμένος ἔγκυον ἐποίησεν. ἡ δὲ τεκοῦσα διδύμους παῖδας καὶ φοβουμένη τὸν πατέρα ἔρριψεν εἰς τὸν Ἐρύμανθον. οἱ δὲ κατὰ πρόνοιαν ἀκινδύνως περι-

3 θύωσιν *: θύσωσιν 7 Ἀριστόδημος] Mueller. 3 p. 311
8 Φαλερίους *: Χαλερίους 12 Λουπέρκα *: τουπέρκα
σπασαμένη] σπασαμένων? 16 καὶ] delendum videtur
20 Ἀριστείδης] Mueller. 4 p. 322

φερόμενοι προσηνέχθησαν ἐν κοίλῃ δρυΐ· λύκαινα δ᾽ ἐμφωλεύουσα τοὺς μὲν ἰδίους σκύμνους εἰς τὸν ῥοῦν ἔρριψε, τοῖς δὲ βρέφεσι θηλὴν παρέσχε. Τύλιφος δὲ ποιμὴν αὐτόπτης γενόμενος καὶ ἀναλαβὼν τοὺς παῖδας ὡς ἰδίους ἔθρεψε, τὸν μὲν καλέσας Λύκαστον τὸν δὲ Παρράσιον, τοὺς διαδεξαμένους F τὴν βασιλείαν τῶν Ἀρκάδων· ὡς Ζώπυρος Βυζάντιος ἐν τῷ τρίτῳ Ἱστορικῶν.

ΑΜΟΥΛΙΟΣ πρὸς Νομίτορα τὸν ἀδελφὸν τυραννικῶς διακείμενος, τὸν μὲν υἱὸν Αἴνιτον ἐπὶ κυνηγίᾳ ἀνεῖλε, τὴν δὲ θυγατέρα Σιλουίαν ἐν Ἰουλίᾳ τῆς Ἥρας ἱέρειαν ἐποιήσατο. ταύτην Ἄρης ἐγκύμονα ποιεῖ· ἡ δ᾽ ἔτεκε διδύμους, ὡμολόγησέ τε τῷ τυράννῳ τὴν ἀλήθειαν. ὁ δὲ φοβηθεὶς ἀμφοτέρους κατεπόντισε, βαλὼν παρὰ τὰς ὄχθας τοῦ Θύμβρεως. οἱ δὲ 315 προσηνέχθησαν ἐν τόπῳ, ἔνθα λύκαινα ἦν φωλεύουσα νεοτόκος· καὶ τοὺς μὲν σκύμνους ἔρριψε, τὰ δὲ βρέφη ἔτρεφε. Φαῦστος δὲ ποιμὴν αὐτόπτης γενόμενος τοὺς παῖδας ἀνέθρεψε, καὶ τὸν μὲν Ῥῶμον τὸν δὲ Ῥωμύλον προσηγόρευσε, τοὺς κτίστας Ῥώμης· ὡς Ἀριστείδης Μιλήσιος ἐν τοῖς Ἰταλικοῖς.

37. ΜΕΤΑ τὴν Ἰλίου ἅλωσιν Ἀγαμέμνων μετὰ Κασάνδρας ἀνῃρέθη. Ὀρέστης δὲ παρὰ Στροφίῳ ἀνατραφεὶς τοὺς φονεῖς τοῦ πατρὸς ἐτιμωρήσατο· ὡς Πύρανδρος ἐν τετάρτῳ Πελοποννησιακῶν.

7 Ζώπυρος] Mueller. 4 p. 531 10 ἐπὶ] ἐν? 11 ἐν Ἰουλίᾳ τῆς] τῆς Ἰουλίας Duebneri Latina interpretatio 18 Φαῦστος] Φαυστύλος Bryanus 21 Ἀριστείδης] Mueller. 4 p. 323 25 Πύρανδρος] idem 4 p. 486

ΦΑΒΙΟΣ ΦΑΒΡΙΚΙΑΝΟΣ τοῦ μεγάλου συγγενὴς Φαβίου, πορθήσας Τούξιον μητρόπολιν Σαυνι- B τῶν, τὴν παρ' αὐτοῖς τιμωμένην νικηφόρον Ἀφροδίτην ἔπεμψεν εἰς Ῥώμην. τούτου γυνὴ Φαβία μοιχευθεῖσα ὑπό τινος εὐπρεποῦς νεανίου τοὔνομα Πετρωνίου Οὐαλεντίνου, τὸν ἄνδρα ἐδολοφόνησε. Φαβία δὲ τὸν ἀδελφὸν ἔτι νήπιον Φαβρικιανὸν τῶν κινδύνων ἐρρύσατο καὶ ἔπεμψε κρύφα τραφησόμενον. ἀκμάσας δὲ ὁ νεανίας τήν τε μητέρα καὶ τὸν μοιχὸν ἀπέκτεινε, καὶ ἀπελύθη ὑπὸ τῆς συγκλήτου· ὡς ἱστορεῖ Δοσίθεος ἐν τρίτῳ Ἰταλικῶν.

38. ΒΟΥΣΙΡΙΣ, παῖς Ποσειδῶνος καὶ Ἀνίππης τῆς Νείλου, τοὺς παριόντας ὑπούλῳ φιλοξενίᾳ κατέ- C θυε· μετῆλθε δ' αὐτὸν ἡ τῶν τετελευτηκότων νέμεσις· Ἡρακλῆς γὰρ ἐπιτεθεὶς τῷ ῥοπάλῳ διεχρήσατο· ὡς Ἀγάθων Σάμιος.

ΗΡΑΚΛΗΣ τὰς Γηρυόνου βοῦς ἐλαύνων δι' Ἰταλίας ἐπεξενώθη Φαύνῳ βασιλεῖ, ὃς ἦν Ἑρμοῦ παῖς καὶ τούς γε ξένους τῷ γεννήσαντι ἔθυεν· ἐπιχειρήσας δὲ τῷ Ἡρακλεῖ ἀνῃρέθη· ὡς Δέρκυλλος ἐν τρίτῳ Ἰταλικῶν.

39. ΦΑΛΑΡΙΣ Ἀκραγαντίνων τύραννος ἀποτόμως τοὺς παριόντας ξένους ἐστρέβλου καὶ ἐκόλαζε. Πέριλλος δὲ τῇ τέχνῃ χαλκουργὸς δάμαλιν κατασκευάσας χαλκῆν ἔδωκε τῷ βασιλεῖ, ὡς ἂν τοὺς ξένους κατακαίῃ ζῶντας ἐν αὐτῇ· ὁ δὲ μόνον τότε

2 Τούξιον] corruptum 11 Δοσίθεος] Mueller. 4 p. 491
16 Ἀγάθων] idem 4 p. 291 20 Δέρκυλλος] idem 4 p. 387
24 Πέριλλος (Τέρυξος cod. E)] Περίλαος?

γενόμενος δίκαιος αὐτὸν ἐνέβαλεν. ἐδόκει δὲ μυκηθ- D μὸν ἀναδιδόναι ἡ δάμαλις· ὡς ἐν δευτέρῳ Αἰτιῶν.

ΕΝ ΑΙΓΕΣΤΗΙ τῇ πόλει τῆς Σικελίας ἐγένετό τις ὠμὸς τύραννος Αἰμίλιος Κενσωρῖνος. οὗτος τοὺς καινότερα βασανιστήρια κατασκευάσαντας ἐδωροδόκει. εἷς δέ τις Ἀρούντιος Πατέρκουλος δημιουργήσας ἵππον χαλκοῦν τῷ προειρημένῳ δῶρον ἔδωκεν, ἵνα βάλλῃ αὐτούς. ὁ δὲ τότε πρῶτον νομίμως ἀναστραφεὶς τὸν χαρισάμενον πρότερον ἔβαλεν ὡς ἄν, ἣν ἐπενόησε βάσανον ἄλλοις, αὐτὸς πάθῃ πρῶτος. τοῦτον συλλαβὼν ἀπὸ τοῦ Ταρπηίου ὄρους ἔρριψε. καὶ δοκοῦσιν οἱ ἀποτόμως βασιλεύσαντες ἀπ' ἐκείνου Αἰμίλιοι προσαγορεύεσθαι· ὡς Ἀριστείδης ἐν τετάρτῳ E Ἰταλικῶν.

40. ΕΥΗΝΟΣ Ἄρεος καὶ Στερόπης τὴν Οἰνομάου γήμας Ἀλκίππην ἐγέννησε θυγατέρα Μάρπησσαν, ἣν παρθένον ἐφρούρει. ἰδὼν δ' Ἴδας ὁ Ἀφάρητος καὶ ἁρπάσας ἐκ χοροῦ ἔφυγεν. ὁ δὲ πατὴρ διώξας καὶ μὴ συλλαβὼν εἰς τὸν Λυκόρμαν ἔρριψεν ἑαυτὸν ποταμὸν καὶ ἀθάνατος ἐγένετο· ὡς Δοσίθεος ἐν πρώτῳ Ἰταλικῶν.

ΑΝΝΙΟΣ δὲ Τούσκων βασιλεὺς ἔχων θυγατέρα εὔμορφον τοὔνομα Σαλίαν, παρθένον ἐτήρει. Κάθητος δ' ἐκ τῶν ἐπισήμων ἰδὼν τὴν παρθένον παίζουσαν ἠράσθη, καὶ μὴ στέγων τὸν ἔρωτα ἥρπασε F καὶ ἦγεν εἰς Ῥώμην. ὁ δὲ πατὴρ ἐπιδιώξας καὶ μὴ

2 Αἰτιῶν] Αἰτίων? 6 Πατέρκουλος *: πατέρκουλλος 11 Ταρπηίου *: ταρπίου 13 Ἀριστείδης] Mueller. 4 p. 322 17 ἰδὼν δ' * 20 Δοσίθεος] Mueller. 4 p. 401 21 Ἰταλικῶν] Αἰτωλικῶν idem 24 δ' ἐκ] δὲ H

συλλαβὼν ἥλατο εἰς τὸν Παρεούσιον ποταμόν, ὃς Ἀννίων μετωνομάσθη· τῇ δὲ Σαλίᾳ συγγενόμενος Κάθητος ἐποιήσατο Λατῖνον καὶ Σάλιον, ἀφ' ὧν οἱ εὐγενέστατοι κατῆγον τὸ γένος· ὡς Ἀριστείδης Μιλήσιος καὶ Ἀλέξανδρος ὁ Πολυΐστωρ ἐν τρίτῳ Ἰταλικῶν.

41. ΗΓΗΣΙΣΤΡΑΤΟΣ *ἀνὴρ Ἐφέσιος ἐμφύλιον φόνον δράσας ἔφυγεν εἰς Δελφοὺς καὶ ἠρώτα τὸν θεὸν ποῦ οἰκήσειεν. ὁ δ' Ἀπόλλων ἀνεῖλεν, ἔνθα ἂν*
316 *ἴδῃ χορεύοντας ἀγροίκους θαλλοῖς ἐλαίας ἐστεφανωμένους. γενόμενος δὲ κατὰ τὸν τόπον τῆς Ἀσίας καὶ θεασάμενος φύλλοις ἐλαίας ἐστεφανωμένους γεωργοὺς καὶ χορεύοντας, ἔκτισεν αὐτοῦ πόλιν καὶ ἐκάλεσεν Ἐλαιοῦντα· ὡς Πυθοκλῆς ὁ Σάμιος ἐν τρίτῳ Γεωργικῶν.*

ΤΗΛΕΓΟΝΟΣ *Ὀδυσσέως καὶ Κίρκης ἐπ' ἀναζήτησιν τοῦ πατρὸς πεμφθεὶς ἔμαθε πόλιν κτίσαι, ἔνθα ἂν ἴδῃ γεωργοὺς ἐστεφανωμένους καὶ χορεύοντας. γενόμενος δὲ κατά τινα τόπον τῆς Ἰταλίας καὶ θεασάμενος ἀγροίκους πρινίνοις κλάδοις ἐστεφανωμένους καὶ ὀρχήσει προσευκαιροῦντας, ἔκτισε πόλιν, ἀπὸ τοῦ συγκυρήματος Πρίνιστον ὀνομάσας, ἣν Ῥωμαῖοι παραγώγως Πραίνεστον καλοῦσιν· ὡς ἱστορεῖ Ἀριστο-*
B *κλῆς ἐν τρίτῳ Ἰταλικῶν.*

5 *Ἀλέξανδρος*] Mueller. 3 p. 230 8 *ἀνεῖλεν* *: *ἀνεῖπεν* 13 *Πυθοκλῆς*] Mueller. 3 p. 488 22 *Ἀριστοκλῆς*] idem 4 p. 330

ΠΕΡΙ ΤΗΣ ΡΩΜΑΙΩΝ ΤΥΧΗΣ.

1. *Αἱ πολλοὺς πολλάκις ἠγωνισμέναι καὶ μεγάλους ἀγῶνας Ἀρετὴ καὶ Τύχη πρὸς ἀλλήλας μέγιστον* C *ἀγωνίζονται τὸν παρόντα, περὶ τῆς Ῥωμαίων ἡγεμονίας διαδικαζόμεναι ποτέρας γέγονεν ἔργον καὶ ποτέρα τὴν τηλικαύτην δύναμιν γεγέννηκεν. οὐ γὰρ μικρὸν ἔσται τῇ περιγενομένῃ τοῦτο μαρτύριον, μᾶλλον δ' ἀπολόγημα πρὸς κατηγορίαν. κατηγορεῖται δ' Ἀρετὴ μὲν ὡς καλὸν μὲν ἀνωφελὲς δέ, Τύχη δ' ὡς ἀβέβαιον μὲν ἀγαθὸν δέ· καὶ τὴν μὲν ἄκαρπα πονεῖν λέγουσι, τὴν δ' ἄπιστα δωρεῖσθαι. τίς οὖν οὐχὶ λέξει, τῇ ἑτέρᾳ τῆς Ῥώμης προστεθείσης, ἢ λυσιτελέστατον* D *Ἀρετήν, εἰ τηλικαῦτα τοὺς ἀγαθοὺς δέδρακεν ἀγαθά· ἢ βεβαιότατον εὐτυχίαν, χρόνον ἤδη τοσοῦτον ἃ δέδωκε τηροῦσαν; Ἴων μὲν οὖν ὁ ποιητὴς ἐν τοῖς δίχα μέτρου καὶ καταλογάδην αὐτῷ γεγραμμένοις φησὶν ἀνομοιότατον πρᾶγμα τῇ σοφίᾳ τὴν τύχην οὖσαν ὁμοιοτάτων πραγμάτων γίγνεσθαι δημιουργόν· αὔξουσιν ἀμφότεραι πόλεις, κοσμοῦσιν ἄνδρας, εἰς δόξαν ἀνάγουσιν εἰς δύναμιν εἰς ἡγεμονίαν. τί*

8 *Ἀρετὴ*] *ἀρετῆς* Cobetus *καλὸν μὲν* R: *καλὸν* *Τύχη*] *τύχης δὲ* Cobetus 16 et 17 *πρᾶγμα* et *πραγμάτων*] del. Abreschius 18 *πόλεις, κοσμοῦσιν* R: *προσκοσμοῦσιν*

δεῖ τὰ πολλὰ μηκύνειν ἐξαριθμούμενον; αὐτὴν τὴν τὰ πάντα γεννῶσαν ἡμῖν καὶ φέρουσαν φύσιν οἱ μὲν τύχην εἶναι νομίζουσιν, οἱ δὲ σοφίαν. διὸ καλόν τι E τῇ Ῥώμῃ καὶ ζηλωτὸν ὁ ἐνεστὼς λόγος ἀξίωμα περιτίθησιν, εἰ διαποροῦμεν περὶ αὐτῆς, ὡς ὑπὲρ γῆς καὶ θαλάττης καὶ οὐρανοῦ καὶ ἄστρων, πότερον κατὰ τύχην συνέστηκεν ἢ κατὰ πρόνοιαν.

2. Ἐγὼ δέ, ὅτι μέν, εἰ καὶ πάνυ πρὸς ἀλλήλας ἀεὶ πολεμοῦσι καὶ διαφέρονται Τύχη καὶ Ἀρετή, πρός γε τηλικαύτην σύμπηξιν ἀρχῆς καὶ δυνάμεως εἰκός ἐστιν αὐτὰς σπεισαμένας συνελθεῖν καὶ συνελθούσας ἐπιτελειῶσαι καὶ συναπεργάσασθαι τῶν ἀνθρωπίνων ἔργων τὸ κάλλιστον, ὀρθῶς ὑπονοεῖν οἴομαι. καὶ νομίζω, καθάπερ Πλάτων φησὶν ἐκ πυρὸς F καὶ γῆς ὡς ἀναγκαίων τε καὶ πρώτων γεγονέναι τὸν σύμπαντα κόσμον, ἵν' ὁρατός τε γένηται καὶ ἁπτός, γῆς μὲν τὸ ἐμβριθὲς καὶ στάσιμον αὐτῷ συμβαλομένης, πυρὸς δὲ χρῶμα καὶ μορφὴν καὶ κίνησιν· αἱ δ' ἐν μέσῳ φύσεις, ὕδωρ καὶ ἀήρ, μαλάξασαι καὶ σβέσασαι τὴν ἑκατέρου τῶν ἄκρων ἀνομοιότητα συνήγαγον καὶ ἀνεμίξαντο τὴν ὕλην δι' αὐτῶν· οὕτως ἄρα καὶ ὁ τὴν Ῥώμην ὑποβαλόμενος χρόνος μετὰ 317 θεοῦ τύχην καὶ ἀρετὴν ἐκέρασε καὶ συνέζευξεν, ἵν' ἑκατέρας λαβὼν τὸ οἰκεῖον ἀπεργάσηται πᾶσιν ἀνθρώποις ἑστίαν ἱερὰν ὡς ἀληθῶς καὶ ἀνησιδώραν καί ʽπεῖσμαʼ μόνιμον καὶ στοιχεῖον ἀίδιον, ὑποφερομένοις τοῖς πράγμασιν ʽἀγκυρηβόλιον σάλου καὶ

14 *Πλάτων*] Tim. p. 28b. 32b 25 *ἀνησιδώραν* Iunius: *ὀνησιδώραν*

πλάνης' ὥς φησι Δημόκριτος. ὡς γὰρ οἱ φυσικοὶ τὸν κόσμον λέγουσιν οὐκ εἶναι κόσμον οὐδ' ἐθέλειν τὰ σώματα συνελθόντα καὶ συμμιγέντα κοινὸν ἐκ πάντων εἶδος τῇ φύσει παρασχεῖν, ἀλλὰ τῶν μὲν ἔτι μικρῶν καὶ σποράδην φερομένων διολισθανόντων καὶ ὑποφευγόντων τὰς ἐναπολήψεις καὶ περιπλοκάς, τῶν δ' ἁδροτέρων καὶ συνεστηκότων ἤδη δεινοὺς B ἀγῶνας πρὸς ἄλληλα καὶ διαταραχὰς λαμβανόντων, κλύδωνα καὶ βρασμὸν εἶναι καὶ φθόρου καὶ πλάνης καὶ ναυαγίων μεστὰ πάντα, πρίν γε τὴν γῆν μέγεθος λαβοῦσαν ἐκ τῶν συνισταμένων καὶ φερομένων ἱδρυθῆναί πως αὐτὴν καὶ τοῖς ἄλλοις ἵδρυσιν ἐν αὐτῇ καὶ περὶ αὐτὴν παρασχεῖν· οὕτω τῶν μεγίστων ἐν ἀνθρώποις δυνάμεων καὶ ἡγεμονιῶν κατὰ τύχας ἐλαυνομένων καὶ συμφερομένων ὑπὸ τοῦ μηδένα κρατεῖν βούλεσθαι δὲ πάντας, ἀμήχανος ἦν ἡ φορὰ καὶ πλάνη καὶ μεταβολὴ πᾶσα πάντων, μέχρι οὗ τῆς Ῥώμης ἰσχὺν καὶ αὔξησιν λαβούσης καὶ ἀναδη- C σαμένης τοῦτο μὲν ἔθνη καὶ δήμους ἐν αὐτῇ, τοῦτο δ' ἀλλοφύλους καὶ διαποντίους βασιλέων ἡγεμονίας, ἕδραν ἔσχε τὰ μέγιστα καὶ ἀσφάλειαν, εἰς κόσμον εἰρήνης καὶ ἕνα κύκλον τῆς ἡγεμονίας ἄπταιστον περιφερομένης, πάσης μὲν ἀρετῆς ἐγγενομένης τοῖς ταῦτα μηχανησαμένοις, πολλῆς δὲ καὶ τύχης συνελθούσης, ὡς ἐνέσται τοῦ λόγου προϊόντος ἐνδείξασθαι.

1 Δημόκριτος] Mullach. 1 p. 359 2 οὐδ' ἐθέλειν *: οὐδὲ θέλειν 5 φερομένων Madvigius: φερομένων καὶ 13 αὐτῇ et αὐτὴν *: αὑτῇ et αὑτὴν 16 ἦν ἡ Madvigius: ἡ

3. *Νυνὶ δέ μοι δοκῶ τοῦ προβλήματος ὥσπερ ἀπὸ σκοπῆς καθορᾶν ἐπὶ τὴν σύγκρισιν καὶ τὸν ἀγῶνα τήν τε Τύχην καὶ τὴν Ἀρετὴν βαδιζούσας. ἀλλὰ τῆς μὲν Ἀρετῆς πρᾶόν τε τὸ βάδισμα καὶ τὸ βλέμμα καθεστηκός, ἐπανθεῖ δέ τι καὶ τῷ προσώπῳ πρὸς* D *τὴν ἅμιλλαν ἐρύθημα τῆς φιλοτιμίας. καὶ πολὺ μὲν ὑστερεῖ σπευδούσης τῆς Τύχης, ἄγουσι δ' αὐτὴν καὶ δορυφοροῦσι κατὰ πλῆθος*

'ἄνδρες ἀρηίφατοι βεβροτωμένα τεύχε' ἔχοντες,'

ἐναντίων τραυμάτων ἀνάπλεῳ, αἷμα συμμεμιγμένον ἱδρῶτι σταλάζοντες, ἡμικλάστοις ἐπιβεβηκότες λαφύροις. βούλεσθε δὲ πυθώμεθα, τίνες ποτ' εἰσὶν οὗτοι; Φαβρίκιοί φασιν εἶναι καὶ Κάμιλλοι καὶ Μούκιοι καὶ Κικιννᾶτοι καὶ Μάξιμοι Φάβιοι καὶ Κλαύδιοι Μάρκελλοι καὶ Σκιπίωνες. ὁρῶ δὲ καὶ Γάιον Μάριον ὀργιζόμενον τῇ Τύχῃ, καὶ Μούκιος ἐκεῖ Σκευόλας τὴν φλεγομένην χεῖρα δείκνυσι βοῶν 'μὴ καὶ ταύτην E *τῇ Τύχῃ χαρίζῃ;' καὶ Μάρκος Ὡράτιος ἀριστεὺς παραποτάμιος Τυρρηνικοῖς βέλεσι βαρυνόμενος καὶ σκάζοντα μηρὸν παρέχων, ἐκ βαθείας ὑποφθέγγεται δίνης 'οὐκοῦν κἀγὼ κατὰ τύχην πεπήρωμαι;' τοιοῦτος ὁ τῆς Ἀρετῆς χορὸς πρόσεισιν ἐπὶ τὴν σύγκρισιν,*

'βριθὺς ὁπλιτοπάλας δάιος ἀντιπάλοις.'

4. *Τῆς δὲ Τύχης ὀξὺ μὲν τὸ κίνημα καὶ θρασὺ*

1 *τοῦ προβλήματος*] fort. *πρὸ τοῦ* (aut *πρό του*) *βήματος*, ut cum *βαδιζούσας* iungatur 2 *σκοπιῆς* Duebnerus Homeri *Δ* 275. *δ* 524 memor; sed cf. Vit. Tit. c. 5 5 *ἐπανθεῖ* Cobetus: *παρέχει* 9 Hom. *λ* 41 13 *Μούκιοι* (aut *Λούκιοι*) *καὶ*] *Κούριοι καὶ* W 18 *Μάρκος Ὡράτιος* Basileensis: *πάκιος καὶ μάρκος* 23 *βριθὺς*] Bergk. 2 p. 242

τὸ φρόνημα καὶ μεγάλαυχον ἡ ἐλπίς, φθάνουσα δὲ τὴν Ἀρετὴν ἐγγύς ἐστιν, οὐ πτεροῖς ἐλαφρίζουσα κούφοις ἑαυτὴν οὐδ' ἀκρώνυχον ὑπὲρ σφαίρας τινὸς ἴχνος καθεῖσα περισφαλὴς καὶ ἀμφίβολος πρόσεισιν, εἶτ' ἄπεισιν ἀηδής· ἀλλ' ὥσπερ οἱ Σπαρτιᾶται τὴν Ἀφροδίτην λέγουσι διαβαίνουσαν τὸν Εὐρώταν τὰ F μὲν ἔσοπτρα καὶ τοὺς χλιδῶνας καὶ τὸν κεστὸν ἀποθέσθαι, δόρυ δὲ καὶ ἀσπίδα λαβεῖν κοσμουμένην τῷ Λυκούργῳ· οὕτως ἡ Τύχη καταλιποῦσα Πέρσας καὶ Ἀσσυρίους Μακεδονίαν μὲν ἐλαφρὰ διέπτη καὶ ἀπεσείσατο ταχέως Ἀλέξανδρον, καὶ δι' Αἰγύπτου καὶ Συρίας περιφέρουσα βασιλείας διώδευσε, καὶ 318 Καρχηδονίους στρεφομένη πολλάκις ἐβάστασε· τῷ δὲ Παλατίῳ προσερχομένη καὶ διαβαίνουσα τὸν Θύμβριν ὡς ἔοικεν ἔθηκε τὰς πτέρυγας, ἐξέβη τῶν πεδίλων, ἀπέλιπε τὴν ἄπιστον καὶ παλίμβολον σφαῖραν. οὕτως εἰσῆλθεν εἰς Ῥώμην ὡς μενοῦσα καὶ τοιαύτη πάρεστιν ὡς ἐπὶ τὴν δίκην. 'οὐ μὲν γὰρ ἀπειθής' κατὰ Πίνδαρον 'οὐδὲ δίδυμον στρέφουσα πηδάλιον', ἀλλὰ μᾶλλον 'Εὐνομίας καὶ Πειθοῦς ἀδελφὰ καὶ Προμαθείας θυγάτηρ' ὡς γενεαλογεῖ Ἀλκμάν. τὸ δ' ὑμνούμενον ἐκεῖνο τοῦ πλούτου κέρας ἔχει διὰ χειρός, οὐκ ὀπώρας ἀεὶ θαλλούσης μεστόν, ἀλλ' ὅσα φέρει πᾶσα γῆ πᾶσα δὲ θάλαττα καὶ ποταμοὶ καὶ μέταλλα B καὶ λιμένες, ἄφθονα καὶ ῥύδην ἐπιχεαμένη. λαμπροὶ

4 καθεῖσα] καταθεῖσα Abreschius 18 μὲν γὰρ ἀπειθής R: μεγαπένθης. cf. Bergk. 1 p. 382 20 Εὐνομίας τε καὶ Bergk. ἀδελφὰ καὶ Προμαθείας Schneidewinus: ἀδελφὴ καὶ προμηθείας 21 Ἀλκμάν] Bergk. 3 p. 58

δὲ καὶ διαπρεπεῖς ἄνδρες οὐκ ὀλίγοι μετ' αὐτῆς ὁρῶνται, Πομπίλιος Νομᾶς ἐκ Σαβίνων καὶ Πρίσκος ἐκ Ταρκυνίων, οὓς ἐπήλυδας βασιλεῖς καὶ ξένους ἐνιδρύσατο τοῖς Ῥωμύλου θρόνοις· καὶ Παῦλος Αἰμίλιος ἀπὸ Περσέως καὶ Μακεδόνων ἄτρωτον στρατὸν ἄγων καὶ νίκην ἄδακρυν θριαμβεύων μεγαλύνει τὴν Τύχην· μεγαλύνει δὲ καὶ Καικίλιος Μέτελλος ὁ Μακεδονικὸς γέρων, ὑπὸ τεσσάρων παίδων C *ὑπατικῶν ἐκκομιζόμενος, Κοΐντου Βαλεαρικοῦ καὶ Λευκίου Διαδημάτα καὶ Μάρκου Μετέλλου καὶ Γαΐου Καπραρίου, καὶ δυεῖν γαμβρῶν ὑπατικῶν καὶ θυγατριδῶν κοσμουμένων ἐπιφανέσιν ἀριστείαις καὶ πολιτείαις. Αἰμίλιος δὲ Σκαῦρος ἐκ ταπεινοῦ βίου καὶ ταπεινοτέρου γένους καινὸς ἄνθρωπος ἀρθεὶς ὑπ' αὐτῆς, προγράφεται τοῦ μεγάλου συνεδρίου. Κορνήλιον δὲ Σύλλαν ἐκ τῶν Νικοπόλεως τῆς ἑταίρας ἀναλαβοῦσα καὶ βαστάσασα κόλπων, ὑψηλότερον τῶν Κιμβρικῶν Μαρίου θριάμβων καὶ τῶν ἑπτὰ ὑπατειῶν ἐπιτίθησι μοναρχίαις καὶ δικτατωρίαις. ἄντικρυς οὗτος τῇ Τύχῃ μετὰ τῶν πράξεων ἑαυτὸν εἰσεποίει, βοῶν κατὰ τὸν Οἰδίποδα τὸν Σοφοκλέους*

D *'ἐγὼ δ' ἐμαυτὸν παῖδα τῆς Τύχης νέμω.'*

καὶ Ῥωμαϊστὶ μὲν Φήλιξ ὠνομάζετο, τοῖς δ' Ἕλλησιν οὕτως ἔγραφε 'Λούκιος Κορνήλιος Σύλλας Ἐπαφρόδιτος.' καὶ τὰ παρ' ἡμῖν ἐν Χαιρωνείᾳ τρόπαια κατὰ τῶν Μιθριδατικῶν οὕτως ἐπιγέγραπται,

2 *Νομᾶς* * hic et infra: *νουμᾶς* 3 *Ταρκυνίων* *: *Ταρκυϊνίων* 9 *Βαλεαρικοῦ* Basileensis: *βαραρίκου* 21 *Σοφοκλέους*] OR 1090 26 *κατὰ* R: *καὶ τὰ*

καὶ εἰκότως· ‘πλεῖστον γὰρ Ἀφροδίτης’ οὐ ‘νύξ’ κατὰ Μένανδρον, ἀλλὰ τύχη μετέσχηκεν.

5. Ἆρ’ οὖν ταύτην τις ἀρχὴν ποιησάμενος οἰκείαν ὑπὲρ τῆς Τύχης ἐπάγοιτο μάρτυρας αὐτοὺς Ῥωμαίους, ὡς τῇ Τύχῃ πλέον ἢ τῇ Ἀρετῇ νέμοντας; Ἀρετῆς μέν γε παρ’ αὐτοῖς ὀψὲ καὶ μετὰ πολλοὺς χρόνους ἱερὸν ἱδρύσατο Σκιπίων ὁ Νομαντῖνος, εἶτα Μάρκελλος τὸ Οὐιρτοῦτίς τε καὶ Ὀνῶρις προσαγορευόμενον· E καὶ τὸ τῆς Μέντις καλουμένης (Γνώμης ἂν νομίζοιτο) Σκαῦρος Αἰμίλιος, περὶ τὰ Κιμβρικὰ τοῖς χρόνοις γεγονώς· ἤδη τότε λόγων καὶ σοφισμάτων καὶ στωμυλίας παρεισρυείσης εἰς τὴν πόλιν, ἤρχοντο σεμνύνειν τὰ τοιαῦτα. σοφίας δὲ μέχρι καὶ νῦν ἱερὸν οὐκ ἔστιν οὐδὲ σωφροσύνης ἢ καρτερίας ἢ μεγαλοψυχίας ἢ ἐγκρατείας· ἀλλὰ τά γε τῆς Τύχης ἱερὰ λαμπρὰ καὶ παλαιά, καὶ ὁμοῦ τι τοῖς πρώτοις καταμεμιγμένα τῆς πόλεως θεμελίοις γέγονε. πρῶτος μὲν γὰρ ἱδρύσατο Τύχης ἱερὸν Μάρκιος Ἄγκος, ὁ Νομᾶ θυγατριδοῦς καὶ τέταρτος ἀπὸ Ῥωμύλου βασι- F λεὺς γενόμενος· καὶ τάχα που τῇ τύχῃ τὴν ἀνδρείαν παρωνόμασεν, ᾗ πλεῖστον εἰς τὸ νικᾶν τύχης μέτεστι. τὸ δὲ τῆς γυναικείας Τύχης κατεσκευάσαντο, ὅτε Μάρκιον Κοριολᾶνον ἐπάγοντα τῇ πόλει Οὐολούσκους ἀπετρέψαντο διὰ τῶν γυναικῶν. πρεσβευσάμεναι γὰρ

1 καὶ εἰκότως] εἰκότως Cobetus 2 Μένανδρον] Meinek. 4 p. 278 3 οὖν] οὐκ ἂν (οὖν)? 6 γε] γάρ? 10 νομίζοιτο] ὀνομάζοιτο? 11 ἢ δη] ἤδη γὰρ? σοφισμάτων] R ex p. 322 d: σοφιστῶν 18 ὁ Νομᾶ R: ὄνομα 21 παρωνόμασεν] παρωνόμασαν M 22 ὅτε W: πρὸ Καμίλλου ὅτε 24 ἀπετρέψαντο] ἀπέστρεψαν p. 322 e. ἀπετρίψαντο R. ἀπεστρέψαντο Bruhnius

αὗται πρὸς τὸν ἄνδρα μετὰ τῆς μητρὸς αὐτοῦ καὶ τῆς γυναικός, ἐξελιπάρησαν καὶ κατειργάσαντο φείσασθαι τῆς πόλεως καὶ τὴν στρατιὰν τῶν βαρβάρων
319 ἀπαγαγεῖν. τότε λέγεται τὸ ἄγαλμα τῆς Τύχης ἅμα τῷ καθιερωθῆναι φωνὴν ἀφεῖναι καὶ εἰπεῖν ʽὁσίως με πόλεως νόμῳ, γυναῖκες ἀσταί, καθιδρύσασθε’. καὶ μὴν καὶ Φούριος Κάμιλλος, ὅτε τὸ Κελτικὸν ἔσβεσε πῦρ, καὶ τὴν Ῥώμην ἀντίρροπον χρυσῷ κεκλιμένην ἀπὸ τοῦ ζυγοῦ καὶ τῆς πλάστιγγος καθεῖλεν, οὔτ’ εὐβουλίας οὔτ’ ἀνδρείας, ἀλλὰ Φήμης ἱδρύσατο καὶ Κληδόνος ἕδη παρὰ τὴν Καινὴν ὁδόν, ὅπου φασὶ πρὸ τοῦ πολέμου Μάρκῳ Καιδικίῳ βαδίζοντι νύκτωρ φωνὴν γενέσθαι κελεύουσαν ὀλίγῳ χρόνῳ Γαλατικὸν πόλεμον προσδέχεσθαι. τὴν δὲ πρὸς τῷ ποταμῷ Τύχην ʽφόρτιν’
B καλοῦσιν (ὅπερ ἐστὶν ἰσχυρὰν ἢ ἀριστευτικὴν ἢ ἀνδρείαν), ὡς τὸ νικητικὸν ἁπάντων κράτος ἔχουσαν. καὶ τόν γε ναὸν αὐτῆς ἐν τοῖς ὑπὸ Καίσαρος τῷ δήμῳ καταλειφθεῖσι κήποις ᾠκοδόμησαν, ἡγούμενοι κἀκεῖνον εὐτυχίᾳ γενέσθαι μέγιστον, ὡς αὐτὸς ἐμαρτύρησε.

6. Περὶ δὲ Γαΐου Καίσαρος ᾐδέσθην ἂν εἰπεῖν, ὡς ὑπ’ εὐτυχίας ἤρθη μέγιστος, εἰ μὴ τοῦτ’ αὐτὸς ἐμαρτύρησεν. ἐπεὶ γὰρ ἀπὸ Βρεντεσίου Πομπήιον διώκων ἀνήρθη πρὸ μιᾶς ἡμέρας νοννῶν Ἰανουαρίων,

5 ὁσίως] ὁσίῳ? cf. Vit. Cor. c. 37 6 καὶ μὴν καὶ Φούριος Κάμιλλος — — — προσδέχεσθαι] transponit ante τὸ δὲ τῆς γυναικείας Τύχης (p. 389 lin. 22) Bruhnius 10 ἕδη R: ἐκεῖ 12 Καιδικίῳ *: καιδεκίῳ 14 φόρτιν R: ἣν φόρτικαν 21 περὶ δὲ Γαΐου Καίσαρος — ἐμαρτύρησεν] delet Bruhnius 24 νοννῶν *: νόννων

χειμῶνος ἐν τροπαῖς ὄντος, τὸ μὲν πέλαγος ἀσφαλῶς
διεπέρασε, τῆς Τύχης τὸν καιρὸν ὑπερθεμένης· εὑρὼν
δὲ τὸν Πομπήιον ἄθρουν καὶ πολὺν μὲν ἐν γῇ πολὺν C
δ' ἐν θαλάσσῃ μετὰ πασῶν ἅμα τῶν δυνάμεων καθε-
ζόμενον αὐτὸς ὀλιγοστὸς ὤν, τῆς μετ' Ἀντωνίου καὶ
Σαβίνου στρατιᾶς αὐτῷ βραδυνούσης, ἐτόλμησεν εἰς
ἀκάτιον μικρὸν ἐμβὰς καὶ λαθὼν τόν τε ναύκληρον
καὶ τὸν κυβερνήτην ὥς τινος θεράπων ἀναχθῆναι.
σκληρᾶς δὲ πρὸς τὸ ῥεῦμα τοῦ ποταμοῦ γενομένης
ἀντιμεταβάσεως καὶ κλύδωνος ἰσχυροῦ, μεταβαλλό-
μενον ὁρῶν τὸν κυβερνήτην ἀφεῖλεν ἀπὸ τῆς κεφαλῆς
τὸ ἱμάτιον, καὶ ἀναδείξας ἑαυτόν 'ἴθι' ἔφη 'γενναῖε,
τόλμα καὶ δέδιθι μηδέν, ἀλλ' ἐπιδίδου τῇ Τύχῃ τὰ
ἱστία καὶ δέχου τὸ πνεῦμα, πιστεύων ὅτι Καίσαρα
φέρεις καὶ τὴν Καίσαρος Τύχην.' οὕτως ἐπέπειστο
τὴν Τύχην αὐτῷ συμπλεῖν, συναποδημεῖν, συστρα- D
τεύεσθαι, συστρατηγεῖν· ᾗ ἔργον ἦν γαλήνην μὲν
ἐπιτάξαι θαλάσσῃ, θέρος δὲ χειμῶνι, τάχος δὲ τοῖς
βραδυτάτοις, ἀλκὴν δὲ τοῖς ἀθυμοτάτοις· τὸ δὲ
τούτων ἀπιστότερον, φυγὴν Πομπηίῳ καὶ Πτολεμαίῳ
ξενοκτονίαν, ἵνα καὶ Πομπήιος πέσῃ καὶ Καῖσαρ μὴ
μιανθῇ.

7. Τί δέ; ὁ τούτου μὲν υἱός, πρῶτος δ' ἀναγο-
ρευθεὶς Σεβαστός, ἄρξας δὲ τέσσαρα καὶ πεντήκοντα
ἔτη, οὐκ αὐτὸς ἐκπέμπων τὸν θυγατριδοῦν ἐπὶ
στρατείαν εὔξατο τοῖς θεοῖς ἀνδρείαν μὲν αὐτῷ δοῦναι
τὴν Σκιπίωνος, εὔνοιαν δὲ τὴν Πομπηίου, Τύχην δὲ E

9 τοῦ ποταμοῦ] seclusit Duebnerus, sed cf. Appian. 2, 56. 57

τὴν αὑτοῦ; καθάπερ ἔργῳ μεγάλῳ δημιουργὸν ἐπιγράψας ἑαυτῷ τὴν Τύχην, ἥτις αὐτὸν ἐπιθεῖσα Κικέρωνι καὶ Λεπίδῳ καὶ Πάσσᾳ καὶ Ἱρτίῳ καὶ Μάρκῳ Ἀντωνίῳ, ταῖς ἐκείνων ἀριστείαις καὶ χερσὶ καὶ νίκαις καὶ στόλοις καὶ πολέμοις καὶ στρατοπέδοις γενόμενον πρῶτον εἰς ὕψος ἄρασα καὶ καταβαλοῦσα τούτους, δι' ὧν ἀνέβη, μόνον κατέλιπεν. ἐκείνῳ γὰρ ἐπολιτεύετο Κικέρων καὶ Λέπιδος ἐστρατήγει καὶ Πάσσας F ἐνίκα καὶ Ἵρτιος ἔπιπτε καὶ Ἀντώνιος ὕβριζεν. ἐγὼ γὰρ καὶ Κλεοπάτραν αὐτὴν τύχην Καίσαρος τίθημι, περὶ ἣν ὡς ἕρμα κατέδυ καὶ συνετρίβη τηλικοῦτος αὐτοκράτωρ, ἵν' ᾖ μόνος Καῖσαρ. λέγεται δέ, πολλῆς οἰκειότητος αὐτοῖς καὶ συνηθείας ὑπαρχούσης, πολλάκις σχολαζόντων εἰς παιδιὰν σφαίρας ἢ κύβων ἢ νὴ Δία θρεμμάτων ἁμίλλης, οἷον ὀρτύγων, ἀλεκτρυόνων, ἀεὶ νικώμενον Ἀντώνιον ἀπαλλάττεσθαι· καί τινα τῶν περὶ αὐτὸν ἐπὶ μαντείᾳ σεμνυνόμενον 320 πολλάκις παρρησιάζεσθαι καὶ νουθετεῖν, 'ὦ ἄνθρωπε, τί σοι πρᾶγμα πρὸς τοῦτον ἔστι τὸν νεανίσκον; φεῦγ' αὐτόν· ἐνδοξότερος εἶ, πρεσβύτερος εἶ, ἄρχεις πλειόνων, ἐνήθληκας πολέμοις, ἐμπειρίᾳ διαφέρεις· ἀλλ' ὁ σὸς δαίμων τὸν τούτου φοβεῖται· καὶ ἡ τύχη σου καθ' ἑαυτήν ἐστι μεγάλη κολακεύει δὲ τὴν τούτου· ἐὰν μὴ μακρὰν ᾖς, οἰχήσεται μεταβᾶσα πρὸς αὐτόν.'

8. Ἀλλὰ γὰρ αἱ μὲν ἀπὸ τῶν μαρτύρων πίστεις τοσαῦται τῇ Τύχῃ πάρεισι. δεῖ δὲ καὶ τὰς ἀπὸ τῶν

3 Ἱρτίῳ * hic et infra: ἱρτίῳ Μάρκῳ Ἀντωνίῳ Basileensis: ἀντωνίῳ καὶ μάρκῳ. Vid. Praefatio p. XXXIX
5 καὶ πολέμοις] om. mei codd. 10 αὐτὴν *: τὴν

πραγμάτων αὐτῶν εἰσάγειν, ἀρχὴν τοῦ λόγου τὴν ἀρχὴν τῆς πόλεως λαβόντας. εὐθὺς γοῦν τίς οὐκ ἂν εἴποι πρὸς τὴν Ῥωμύλου γένεσιν καὶ σωτηρίαν B καὶ τροφὴν καὶ αὔξησιν τὴν μὲν Τύχην ὑποβολὰς κατατεθεῖσθαι τὴν δ' Ἀρετὴν ἐξῳκοδομηκέναι; πρῶτον μὲν οὖν τὸ περὶ τὴν γένεσιν καὶ τὴν τέκνωσιν αὐτῶν τῶν ἱδρυσαμένων καὶ κτισάντων τὴν πόλιν εὐτυχίας ἔοικε θαυμαστῆς γενέσθαι. θεῷ γὰρ ἡ τεκοῦσα μιχθῆναι λέγεται, καὶ καθάπερ τὸν Ἡρακλέα σπαρῆναί φασιν ἐν μακρᾷ νυκτί, τῆς ἡμέρας ἐπισχεθείσης παρὰ φύσιν καὶ τοῦ ἡλίου βραδύναντος· οὕτω περὶ τὴν Ῥωμύλου σπορὰν καὶ καταβολὴν τὸν ἥλιον ἐκλιπεῖν ἱστοροῦσι, ποιησάμενον ἀτρεκῆ σύνοδον πρὸς C σελήνην, ὥσπερ ὁ Ἄρης θεὸς ὢν τῇ Σιλβίᾳ θνητῇ συνῆλθε. τοῦτο δὲ συντυχεῖν τῷ Ῥωμύλῳ καὶ περὶ τὴν μετάστασιν αὐτὴν τοῦ βίου· λέγουσι γὰρ ἐκλείποντος τοῦ ἡλίου ἠφανίσθαι, νόνναις καπρατίναις, ἣν ἄχρι νῦν ἡμέραν ἐπιφανῶς ἑορτάζουσιν. ἔπειτα γεννηθέντας αὐτούς, τοῦ τυράννου ζητοῦντος ἀνελεῖν, παρέλαβε κατὰ τύχην οὐ βάρβαρος οὐδ' ἄγριος ὑπηρέτης, ἐλεήμων δέ τις καὶ φιλάνθρωπος, ὥστε μὴ κτεῖναι· ἀλλὰ τοῦ ποταμοῦ τις ἦν ὄχθη χλοερῷ λειμῶνι προσβλύζουσα καὶ περισκιαζομένη χθαμαλοῖς δένδρεσιν· ἐνταῦθα κατέθηκε τὰ βρέφη πλησίον D ἐρινεοῦ τινος, ὃν ῥουμινᾶλιν ὠνόμαζον. εἶτα λύκαινα μὲν νεοτόκος σπαργῶσα καὶ πλημμυροῦσα τοὺς

4 τὴν μὲν Τύχην — τὴν δ' Ἀρετὴν Huttenus: ἀρετῆς μὲν — τὴν δὲ τύχην   ὑποβολὰς M: ὑπερβολὰς   7 ἱδρυσαμένων Emperius: ἐνιδρυσαμένων   19 ζητοῦντος R: αἰτοῦντος   23 προσκλίνουσα Abreschius

μαστοὺς γάλακτι, τῶν σκύμνων ἀπολωλότων, αὐτὴ χρῄζουσα κουφισμοῦ, περιέστειξε τὰ βρέφη καὶ θηλὴν ἐπέσχεν, ὥσπερ ὠδῖνα δευτέραν ἀποτιθεμένη τὴν τοῦ γάλακτος. ἱερὸς δ' ὄρνις Ἄρεος, ὃν δρυοκολάπτην καλοῦσιν, ἐπιφοιτῶν καὶ προσκαθίζων ἀκρώνυχος, ἐν μέρει τῶν νηπίων ἑκατέρου στόμα τῇ χηλῇ διοίγων, ἐνετίθει ψώμισμα, τῆς αὐτοῦ τροφῆς ἀπομερίζων. τὸν μὲν οὖν ἐρινεὸν ῥουμινᾶλιν ὠνόμασαν ἀπὸ τῆς θηλῆς, ἣν ἡ λύκαινα παρ' αὐτὸν ὀκλάσασα
E τοῖς βρέφεσι παρέσχε· μέχρι δὲ πολλοῦ διεφύλαττον οἱ περὶ τὸν τόπον ἐκεῖνον κατοικοῦντες μηδὲν ἐκτιθέναι τῶν γεννωμένων, ἀλλ' ἀναιρεῖσθαι πάντα καὶ τρέφειν, τὸ Ῥωμύλου πάθος καὶ τὴν ὁμοιότητα τιμῶντες. καὶ μὴν τό τε λαθεῖν αὐτοὺς τρεφομένους καὶ παιδευομένους ἐν Γαβίοις καὶ ἀγνοηθῆναι Σιλ-
F βίας ὄντας υἱοὺς καὶ θυγατριδοῦς Νομίτορος τοῦ βασιλέως παντάπασι Τύχης κλέμμα καὶ σόφισμα φαίνεται γεγενημένον, ὅπως μὴ ἀπόλωνται πρὸ τῶν ἔργων διὰ τὸ γένος, ἀλλ' ἐν αὐτοῖς φανῶσι τοῖς κατορθώμασι, γνώρισμα τῆς εὐγενείας τὴν ἀρετὴν παρέχοντες. ἐνταῦθά μοι μεγάλου καὶ φρονίμου στρατηγοῦ λόγος ἔπεισι Θεμιστοκλέους, ῥηθεὶς πρός τινας τῶν ὕστερον εὐημερούντων Ἀθήνησι στρατηγῶν καὶ προτιμᾶσθαι τοῦ Θεμιστοκλέους ἀξιούντων. ἔφη γὰρ τὴν ὑστεραίαν ἐρίσαι πρὸς τὴν ἑορτὴν λέγουσαν ὡς ἐκείνη μέν ἐστι κοπώδης καὶ ἄσχολος,

1 αὐτὴ] αὐτῇ W ut cum ἀπολωλότων iungatur 2 περιέστειξε *: περιέστηξε 6 στόμα] τὸ στόμα? 20 γνώρισμα Aldina: γνωρίσματα

ἐν αὐτῇ δὲ τῶν παρεσκευασμένων ἀπολαύουσι μεθ'
ἡσυχίας. τὴν οὖν ἑορτὴν εἰπεῖν 'ἀληθῆ λέγεις, ἀλλ'
ἐμοῦ μὴ γενομένης, ποῦ ἂν σὺ ἦσθα;' 'κἀμοῦ τοίνυν
ἔφη 'μὴ γενομένου περὶ τὰ Μηδικά, τίς ἂν ὑμῶν
ἦν νῦν ὄνησις;' τοῦτό μοι δοκεῖ πρὸς τὴν Ῥωμύλου
Ἀρετὴν ἡ Τύχη λέγειν 'λαμπρὰ μὲν τὰ σὰ ἔργα καὶ
μεγάλα καὶ θεῖον ὡς ἀληθῶς ἐξέφηνας αἷμα καὶ
γένος οὖσαν σεαυτήν· ἀλλ' ὁρᾷς πόσον ὑστερεῖς μου; 321
εἰ γὰρ ἐγὼ τότε μὴ παρηκολούθησα χρηστὴ καὶ
φιλάνθρωπος, ἀλλ' ἀπέλιπον καὶ προηκάμην τὰ νήπια,
σὺ πῶς ἂν ἐγένου καὶ πόθεν ἐξέλαμψας; εἰ τότε μὴ
θῆλυ θηρίον ἐπῆλθε φλεγμαῖνον ὑπὸ πλήθους καὶ
φορᾶς γάλακτος καὶ τραφησομένου δεόμενον μᾶλλον
ἢ θρέψοντος, ἀλλ' ἀνήμερόν τι τελέως καὶ λιμῶττον,
οὐκ ἂν ἔτι νῦν τὰ καλὰ ταῦτα βασίλεια καὶ ναοὶ
καὶ θέατρα καὶ περίπατοι καὶ ἀγορὰ καὶ ἀρχεῖα
βοτηρικαὶ καλύβαι καὶ σταθμοὶ νομέων ἦσαν, Ἀλ-
βανὸν ἢ Τυρρηνὸν ἢ Λατῖνον ἄνδρα δεσπότην προσ- B
κυνούντων;' ἀρχὴ μὲν δὴ μέγιστον ἐν παντί, μάλιστα
δ' ἐν ἱδρύσει καὶ κτίσει πόλεως· ταύτην δ' ἡ Τύχη
παρέσχε, σώσασα καὶ φυλάξασα τὸν κτίστην· ἡ μὲν
γὰρ Ἀρετὴ μέγαν ἐποίησε Ῥωμύλον, ἡ Τύχη δ'
ἄχρι τοῦ γενέσθαι μέγαν ἐτήρησε.

9. Καὶ μὴν τήν γε Νομᾶ βασιλείαν πολυχρονιωτάτην γενομένην ὁμολογουμένως εὐτυχία διεκυβέρνησε θαυμαστή. τὸ μὲν γὰρ Ἐγερίαν τινά, νυμφῶν μίαν δρυάδων, δαίμονα σοφὴν ἔρωτι τἀνδρὸς ἐν συνουσίᾳ γενομένην, παραπαιδαγωγεῖν καὶ συσχη-

17 βοτηρικαὶ *: βοτῆραι καὶ   27 τἀνδρὸς *: τ' ἀνδρὸς

ματίζειν τὴν πολιτείαν, ἴσως μυθωδέστερόν ἐστι.
C καὶ γὰρ ἄλλοι λεχθέντες ἅψασθαι γάμων θείων καὶ θεοῖς ἐράσμιοι γενέσθαι, Πηλεῖς καὶ Ἀγχίσαι καὶ Ὠρίωνες καὶ Ἠμαθίωνες, οὐ πάντως ἀγαπητῶς οὐδ' ἀλύπως διεβίωσαν. ἀλλὰ Νομᾶς ἔοικε τὴν ἀγαθὴν Τύχην ἔχειν ὡς ἀληθῶς σύνοικον καὶ σύνεδρον καὶ συνάρχουσαν· ἣ καθάπερ ἐν κλύδωνι θολερῷ καὶ τεταραγμένῳ πελάγει τῇ τῶν προσοίκων καὶ γειτόνων ἔχθρᾳ καὶ χαλεπότητι, τὴν πόλιν φερομένην καὶ φλεγμαίνουσαν ὑπὸ μυρίων πόνων καὶ διχοστασιῶν παραλαβοῦσα τοὺς μὲν ἀντιτεταγμένους θυμοὺς
D καὶ φθόνους ὥσπερ πνεύματα κατέσβεσεν· οἷα δέ φασι τὰς ἀλκυόνων λοχείας παραδεξαμένην τὴν θάλατταν ἐν χειμῶνι σῴζειν καὶ συνεκτιθηνεῖσθαι, τοιαύτην ἀναχεαμένη καὶ περιστήσασα γαλήνην πραγμάτων ἀπόλεμον καὶ ἄνοσον καὶ ἀκίνδυνον καὶ ἄφοβον, νεοσταθεῖ δήμῳ καὶ κραδαινομένῳ παρέσχε ῥιζῶσαι καὶ καταστῆσαι τὴν πόλιν, αὐξανομένην ἐν ἡσυχίᾳ βεβαίως καὶ ἀνεμποδίστως. ὥσπερ γὰρ ὁλκὰς ἢ τριήρης ναυπηγεῖται μὲν ὑπὸ πληγῶν καὶ βίας πολλῆς, σφύραις καὶ ἥλοις ἀρασσομένη καὶ γομφώμασι καὶ πρίοσι καὶ πελέκεσι, γενομένην δὲ στῆναι δεῖ καὶ παγῆναι σύμμετρον χρόνον, ἕως οἵ τε δεσμοὶ κάτοχοι γένωνται καὶ
E συνήθειαν οἱ γόμφοι λάβωσιν· ἐὰν δὲ ὑγροῖς ἔτι καὶ περιολισθάνουσι τοῖς ἁρμοῖς κατασπασθῇ, πάντα χαλάσει διατιναχθέντα καὶ δέξεται τὴν θάλατταν· οὕτω τὴν Ῥώμην ὁ μὲν πρῶτος ἄρχων καὶ δημιουργὸς

15 ἀπόλεμον R: καὶ ἀπόλεμον   24 συνήθειαν] συνάφειαν?

ἐξ ἀγρίων καὶ βοτήρων ὥσπερ ἐκ δρυόχων κραταιῶν συνιστάμενος, οὐκ ὀλίγους πόνους ἔσχεν οὐδὲ μικροῖς ἀντήρεισε πολέμοις καὶ κινδύνοις ἐξ ἀνάγκης ἀμυνόμενος τοὺς ἀνθισταμένους πρὸς τὴν γένεσιν καὶ ἵδρυσιν αὐτῆς· ὁ δὲ δεύτερος παραλαβὼν χρόνον παρέσχε πῆξαι καὶ βεβαιῶσαι τὴν αὔξησιν τῇ εὐτυχίᾳ, ἐπιλαβόμενος πολλῆς μὲν εἰρήνης πολλῆς δ' ἡσυχίας. F εἰ δὲ τότε Πορσίνας τις ἐπέβρισε Τυρρηνικὸν χάρακα καὶ στρατόπεδον παραστήσας τείχεσιν ὑγροῖς ἔτι καὶ κραδαινομένοις ἤ τις ἐκ Μαρσῶν ἀποστὰς ἀρειμάνιος δυνάστης ἢ Λευκανὸς ὑπὸ φθόνου καὶ φιλονεικίας, ἀνὴρ δύσερις καὶ πολεμοποιός, οἷος ὕστερον Μουτίλος ἢ Σίλων ὁ θρασὺς ἢ τὸ ἔσχατον Σύλλα πάλαισμα Τελεσῖνος, ὡς ἀφ' ἑνὸς συνθήματος ὅλην ἐξοπλίζων τὴν Ἰταλίαν, τὸν φιλόσοφον Νομᾶν περιεσάλπιζε θύοντα καὶ προσευχόμενον, οὐκ ἂν ἀντέσχον αἱ πρῶται τῆς πόλεως ἀρχαὶ πρὸς σάλον καὶ κλύδωνα τοσοῦτον οὐδ' εἰς εὐανδρίαν καὶ πλῆθος ἐπέ- 322 δωκαν· νῦν δ' ἔοικε τῆς πρὸς τοὺς ὕστερον πολέμους παρασκευῆς ἐφόδιον Ῥωμαίοις ἡ τότ' εἰρήνη γενέσθαι, καὶ καθάπερ ἀθλητὴς ὁ δῆμος ἐκ τῶν κατὰ Ῥωμύλον ἀγώνων ἐν ἡσυχίᾳ χρόνον ἐτῶν τριῶν καὶ τετταράκοντα σωμασκήσας τὴν δύναμιν ἀξιόμαχον καταστῆσαι τοῖς ὕστερον ἀντιταττομένοις. οὐδὲ γὰρ λιμὸν οὐδὲ λοιμὸν οὐδ' ἀφορίαν γῆς οὐδ' ἀωρίαν τινὸς θέρους ἢ χειμῶνος ἐν τῷ τότε χρόνῳ παραλυπῆσαι τὴν Ῥώμην λέγουσιν, ὡς οὐκ ἀνθρωπίνης εὐβουλίας ἀλλὰ

13 *Μουτίλος* X: *μούϊλος* 14 *Τελεσῖνος* Basileensis: *ἢ τελεσῖνος* *ὡς* eadem: *ὅς*

θείας Τύχης ἐπιτροπευούσης τῶν καιρῶν ἐκείνων. ἐκλείσθη δ' οὖν τότε καὶ τὸ τοῦ Ἰανοῦ δίπυλον, ὃ B πολέμου πύλην καλοῦσιν· ἀνέῳγε μὲν γάρ, ὅταν ᾖ πόλεμος, κλείεται δ' εἰρήνης γενομένης. Νομᾶ δ' ἀποθανόντος ἀνεῴχθη, τοῦ πρὸς Ἀλβανοὺς πολέμου συρραγέντος. εἶτα μυρίων ἄλλων συνεχῶς ὑπολαμβανόντων, πάλιν δι' ἐτῶν ὀγδοήκοντα καὶ τετρακοσίων ἐκλείσθη μετὰ τὸν πρὸς Καρχηδονίους πόλεμον εἰρήνης γενομένης, Γαΐου Ἀτιλίου καὶ Τίτου Μαλλίου ὑπάτων. μετὰ δὲ τοῦτον τὸν ἐνιαυτὸν αὖθις ἀνεῴχθη καὶ διέμειναν οἱ πόλεμοι μέχρι τῆς ἐν Ἀκτίῳ νίκης Καίσαρος· τότε δ' ἤργησε τὰ Ῥωμαίων C ὅπλα χρόνον οὐ πολύν· αἱ γὰρ ἀπὸ Καντάβρων ταραχαὶ καὶ Γαλατίαι συρραγεῖσαι Γερμανοῖς, συνετάραξαν τὴν εἰρήνην. ἀλλὰ ταῦτα μὲν εὐτυχίας τῆς Νομᾶ προσιστόρηται μαρτύρια.

10. Τὴν δὲ Τύχην καὶ οἱ μετ' ἐκεῖνον ἐθαύμασαν βασιλεῖς ὡς πρωτόπολιν καὶ τιθηνὸν καὶ 'φερέπολιν' τῆς Ῥώμης ἀληθῶς κατὰ Πίνδαρον. Σέρβιος

9 Μαλλίου * 11 μέχρι Benselerus: ἄχρι 14 Γαλατίαι R: γαλατίας 18 φερέπολιν] cf. Paus. IV 30, 6 19 κατὰ Πίνδαρον. Σέρβιος δὲ Τύλλιος W: κατὰ Πίνδαρον· ἔξεστι δ' οὕτω θεωρεῖν. ἱερόν ἐστιν Ἀρετῆς ἐν Ῥώμῃ τιμώμενον, ὃ Οὐιρτοῦτις αὐτοὶ καλοῦσιν, ἀλλ' ὀψὲ καὶ μετὰ πολλοὺς χρόνους ἱδρυθὲν ὑπὸ Μαρκέλλου τοῦ Συρακούσας ἑλόντος. ἔστι δὲ καὶ Γνώμης, ἢ νὴ Δία Εὐβουλίας νεώς, ὃν Μέντεμ καλοῦσιν, ἀλλὰ καὶ τοῦτο Σκαῦρος Αἰμίλιος περὶ τὰ Κιμβρικὰ τοῖς χρόνοις γεγονὼς καθιέρωσεν, ἤδη τότε λόγων καὶ σοφισμάτων καὶ στωμυλίας Ἑλληνικῆς εἰς τὴν πόλιν παρεισρυείσης. σοφίας δὲ ἔτι καὶ νῦν ἱερὸν οὐκ ἔχουσιν οὐδὲ σωφροσύνης οὐδὲ καρτερίας οὐδὲ μεγαλοψυχίας· ἀλλὰ τά γε τῆς Τύχης ἱερὰ πάμπολλα καὶ παλαιὰ καὶ λαμπρὰ τιμαῖς πᾶσιν ὡς ἔπος εἰπεῖν ἐνίδρυται καὶ κατα-

δὲ Τύλλιος, ἀνὴρ τῶν βασιλέων μάλιστα καὶ τὴν δύναμιν αὐξήσας τοῦ δήμου καὶ τὸ πολίτευμα κοσμήσας καὶ τάξιν μὲν ἐπιθεὶς ταῖς ψηφοφορίαις, τάξιν δὲ ταῖς στρατείαις, τιμητὴς δὲ πρῶτος καὶ βίων ἐπίσκοπος καὶ σωφροσύνης γενόμενος καὶ δοκῶν ἀνδρειότατος εἶναι καὶ φρονιμώτατος, αὐτὸς ἑαυτὸν εἰς τὴν Τύχην ἀνῆπτε καὶ ἀνεδεῖτο τὴν ἡγεμονίαν ἐξ ἐκείνης· ὥστε καὶ συνεῖναι δοκεῖν αὐτῷ τὴν Τύχην διά τινος F θυρίδος καταβαίνουσαν εἰς τὸ δωμάτιον, ὃ νῦν Φενεστέλλαν πύλην καλοῦσιν. ἱδρύσατο δ' οὖν Τύχης ἱερὸν ἐν μὲν Καπετωλίῳ τὸ τῆς Πριμιγενείας λεγομένης, ὃ πρωτογόνου τις ἂν ἑρμηνεύσειε· καὶ τὸ τῆς Ὀψεκουέντις, ἣν οἱ μὲν πειθήνιον οἱ δὲ μειλίχιον εἶναι νομίζουσι. μᾶλλον δὲ τὰς Ῥωμαϊκὰς ἐάσας ὀνομασίας Ἑλληνιστὶ τὰς δυνάμεις τῶν ἱδρυμάτων πειράσομαι καταριθμήσασθαι. καὶ γὰρ ἰδίας Τύχης ἱερόν ἐστιν ἐν Παλατίῳ, καὶ τὸ τῆς ἰξευτρίας, εἰ καὶ γελοῖον, ἀλλ' ἔχον ἐκ μεταφορᾶς ἀναθεώρησιν, οἷον ἑλκούσης τὰ πόρρω καὶ κρατούσης συμπροσισχόμενα. παρὰ δὲ τὴν Μουσκῶσαν καλουμένην κρήνην ἔτι παρθένου Τύχης ἱερόν ἐστι καὶ ἐν Αἰ- 323 σκυλίαις ἐπιστρεφομένης· ἐν δὲ τῷ μακρῷ στενωπῷ

μέμικται τοῖς ἐπιφανεστάτοις μέρεσι καὶ τόποις τῆς πόλεως. καὶ τὸ μὲν τῆς ἀνδρείας Τύχης ἱερὸν ὑπὸ (ἀπὸ codd.) Μαρκίου Ἄγκου τοῦ τετάρτου βασιλέως ἱδρυθὲν καὶ ὀνομασθὲν οὕτως, ὅτι πλεῖστον ἡ ἀνδρεία τύχης (ita W: πλεῖστον ἀνδρείας ἢ τύχης) εἰς τὸ νικᾶν μετέσχηκε· τὸ δὲ τῆς γυναικείας αὖθις ὑπὸ (ἀπὸ codd.) τῶν γυναικῶν, αἳ Μάρκιον Κοριολᾶνον ἀπέστρεψαν ἐπάγοντα τῇ Ῥώμῃ πολεμίους, καθοσιωθὲν οὐδεὶς ἀγνοεῖ. Σέρβιος δὲ Τύλλιος 11 Καπετωλίῳ* hic et infra: καπιτωλίῳ 20 Μουσκῶσαν Basileensis: μουσικῶσαν 21 Αἰσκυλίαις M: αβισκύμαις

Τύχης βωμὸς εὐέλπιδος· ἔστι δὲ καὶ παρὰ τὸν τῆς Ἀφροδίτης ἐπιταλαρίου βωμὸν ἄρρενος Τύχης ἕδος. ἄλλαι τε μυρίαι Τύχης τιμαὶ καὶ ἐπικλήσεις, ὧν τὰς πλείστας Σερούιος κατέστησεν, εἰδὼς ὅτι μεγάλη ῥοπὴ μᾶλλον δ' ὅλον ἡ Τύχη παρὰ πάντ' ἐστὶ τὰ τῶν ἀνθρώπων πράγματα, καὶ μάλιστά γ' αὐτοῦ δι' εὐτυχίαν ἐξ αἰχμαλώτου καὶ πολεμίου γένους εἰς B *βασιλείαν προαχθέντος. τοῦ γὰρ Κορνικλάνων ἄστεος ἁλόντος ὑπὸ Ῥωμαίων, Ὀκρησία παρθένος αἰχμάλωτος, ἧς οὐδὲ τὴν ὄψιν οὐδὲ τὸν τρόπον ἠμαύρωσεν ἡ Τύχη, δοθεῖσα Τανακυλλίδι τῇ Ταρκυνίου γυναικὶ τοῦ βασιλέως ἐδούλευσε· καὶ πελάτης τις εἶχεν αὐτήν, οὓς κλιέντης Ῥωμαῖοι καλοῦσιν· ἐκ τούτων ἐγεγόνει Σερούιος. οἱ δ' οὔ φασιν, ἀλλὰ παρθένον τὴν Ὀκρησίαν ἀπάργματα καὶ λοιβὴν ἑκάστοτε λαμβάνουσαν ἀπὸ τῆς βασιλικῆς τραπέζης ἐπὶ τὴν ἑστίαν κομίζειν· καί ποτε τυχεῖν μὲν αὐτήν, ὥσπερ εἰώθει, τῷ πυρὶ τὰς ἀπαρχὰς ἐπιβάλλουσαν, αἰφνίδιον δὲ τῆς φλογὸς μαρανθείσης μόριον ἀνδρὸς ἀνατεῖναι* C *γόνιμον ἐκ τῆς ἑστίας, καὶ τοῦτο τὴν κόρην τῇ Τανακυλλίδι φράσαι μόνῃ περίφοβον γενομένην. τὴν δὲ συνετὴν οὖσαν καὶ φρενήρη κοσμῆσαί τε τὴν κόρην ὅσα νύμφαις πρέπει καὶ συγκαθεῖρξαι τῷ φάσματι, θεῖον ἡγουμένην. οἱ μὲν ἥρωος οἰκουροῦ λέγουσιν, οἱ δ' Ἡφαίστου τὸν ἔρωτα τοῦτον γενέσθαι. τίκτεται δ' οὖν Σερούιος, καὶ βρέφους ὄντος*

1 *εὐέλπιδος* X: *εὐέλπιδος ἢ ὡς ἐλπίδος* 2 *ἐπιταλαρίου*] fort *ἐπιταλασίου* 11. 21 *Τανακυλλίδι* Basileensis: *Ταρκυλλίδι*. Sed p. 401, 10 recte dat *Τανακυλλίδος* codex V[4] 19 *ἀνατεῖλαι* R

ἡ κεφαλὴ σέλας ἀστραπῇ παραπλήσιον ἀπήστραψεν. οἱ δὲ περὶ Ἀντίαν οὐχ οὕτω λέγουσιν, ἀλλὰ τυχεῖν μὲν τῷ Σερουίῳ τὴν γυναῖκα Γεγανίαν θνήσκουσαν, αὐτὸν δὲ τῆς μητρὸς παρούσης εἰς ὕπνον ἐκ δυσθυμίας καὶ λύπης ἀποκλιθῆναι· καὶ καθεύδοντος αὐτοῦ D ταῖς γυναιξὶν ὀφθῆναι τὸ πρόσωπον αὐτοῦ πυρὶ περιλαμπόμενον· ὅπερ ἦν μαρτύριον αὐτῷ τῆς ἐκ πυρὸς γενέσεως, σημεῖον δὲ χρηστὸν ἐπὶ τὴν ἀπροσδόκητον ἡγεμονίαν, ἧς ἔτυχε μετὰ τὴν Ταρκυνίου τελευτήν, Τανακυλλίδος σπουδασάσης. ἐπεὶ πάντων γε τῶν βασιλέων πρὸς μοναρχίαν οὗτος ἀφυέστατος δοκεῖ γενέσθαι καὶ ἀπροθυμότατος, ὅς γε τὴν βασιλείαν ἀποθέσθαι διανοηθεὶς ἐκωλύθη· τελευτῶσα γὰρ ὡς ἔοικεν ἐξώρκωσε τοῦτον ἐμμεῖναι τῇ ἀρχῇ καὶ μὴ προέσθαι τὴν πάτριον Ῥωμαίων πολιτείαν. οὕτως ἡ Σερουίου βασιλεία παντάπασι τῆς Τύχης, ἣν ἔλαβέ τε μὴ προσδοκήσας καὶ μὴ βουλόμενος διεφύλαξεν.

11. Ἀλλ' ἵνα μὴ δοκῶμεν ὥσπερ εἰς τόπον E ἀμαυρὸν τὸν παλαιὸν χρόνον ἐκ τῶν λαμπρῶν καὶ ἐναργῶν τεκμηρίων φεύγειν καὶ ὑποχωρεῖν, φέρε τοὺς βασιλεῖς ἐάσαντες ἐπὶ τὰς γνωριμωτάτας πράξεις καὶ τοὺς ἐπιφανεστάτους πολέμους τὸν λόγον μεταγάγωμεν. οἷς πολλὴν τόλμαν καὶ ἀνδρείαν 'αἰδῶ τε συνεργὸν ἀρετᾶς δοριμάχου' ὥς φησι Τιμόθεος. τίς οὐκ ἂν ὁμολογήσειεν; ἡ δ' εὔροια τῶν πραγμά- F των καὶ τὸ ῥόθιον τῆς εἰς τοσαύτην δύναμιν καὶ αὔξησιν ὁρμῆς, οὐ χερσὶν ἀνθρώπων οὐδ' ὁρμαῖς

3 *Γεγανίαν* Basileensis: *γετανίαν* 15 *μὴ* X 24 *Τιμόθεος*] Bergk. 3 p. 622 27 *ὁρμαῖς*] *γνώμαις* W

προχωροῦσαν ἡγεμονίαν, θείᾳ δὲ πομπῇ καὶ πνεύματι Τύχης ἐπιταχυνομένην, ἐπιδείκνυται τοῖς ὀρθῶς λογιζομένοις. τρόπαια τροπαίοις ἐπανίσταται καὶ θρίαμβοι θριάμβοις ἀπαντῶσι, καὶ τὸ πρῶτον αἷμα τῶν ὅπλων ἔτι θερμὸν ἀποκλύζεται τῷ δευτέρῳ καταλαμβανόμενον. τὰς δὲ νίκας ἀριθμοῦσιν οὐ νεκρῶν πλήθει καὶ λαφύρων, ἀλλὰ βασιλείαις αἰχμαλώτοις καὶ δεδουλωμένοις ἔθνεσι καὶ νήσοις καὶ ἠπείροις προσοριζομέναις τῷ μεγέθει τῆς ἡγεμονίας. μιᾷ μάχῃ Φίλιππος ἀπέβαλε Μακεδονίαν, μιᾷ πληγῇ παρεχώρησεν Ἀντίοχος Ἀσίας, ἅπαξ Καρχηδόνιοι
324 σφαλέντες ἀπώλεσαν Λιβύην. εἷς ἀνὴρ μιᾶς ὁρμῇ στρατιᾶς Ἀρμενίαν προσεκτήσατο Πόντον Εὔξεινον Συρίαν Ἀραβίαν Ἀλβανοὺς Ἴβηρας τὰ μέχρι Καυκάσου καὶ Ὑρκανῶν· καὶ τρὶς αὐτὸν ὁ περιρρέων τὴν οἰκουμένην Ὠκεανὸς εἶδε νικῶντα. Νομάδας μὲν ἐν Λιβύῃ μέχρι τῶν μεσημβρινῶν ἀνέκοψεν ᾐόνων, Ἰβηρίαν δὲ Σερτωρίῳ συννοσήσασαν ἄχρι τῆς Ἀτλαντικῆς κατεστρέψατο θαλάσσης· τοὺς δ᾽ Ἀλβανῶν βασιλεῖς διωκομένους περὶ τὸ Κάσπιον πέλαγος ἔστησε. ταῦτα πάντα κατώρθωσε δημοσίᾳ τύχῃ χρώμενος, εἶθ᾽ ὑπὸ τῆς ἰδίας ἀνετράπη μοίρας. ὁ
B δὲ Ῥωμαίων μέγας δαίμων οὐκ ἐφήμερος πνεύσας οὐδὲ καιρὸν ἀκμάσας βραχὺν ὡς ὁ Μακεδόνων, οὐδὲ χερσαῖος μόνον ὡς ὁ Λακώνων οὐδ᾽ ἐνάλιος ὡς ὁ

1 προχωροῦσαν R: προσχωροῦσαν 2 ἐπιταχυνομένην idem: ἐπιταχυνομένης 9 προσοριζομέναις Emperius: προσορμιζομέναις 10 Φίλιππος — Μακεδονίαν Basileensis: φίλιππον — μακεδονία 17 ἀνέκοψεν R: ἀπέκοψεν 20 περὶ R: ἐπὶ 24 Μακεδόνων *: μακεδῶν

Ἀθηναίων, οὐδ' ὀψὲ κινηθεὶς ὡς ὁ Περσῶν, οὐδὲ ταχὺ παυσάμενος ὡς ὁ Κολοφωνίων· ἀλλ' ἄνωθεν ἐκ πρώτων γενέσεων τῇ πόλει συνηβήσας καὶ συναυξηθεὶς καὶ συμπολιτευσάμενος, καὶ παραμείνας βέβαιος ἐν γῇ καὶ θαλάττῃ καὶ πολέμοις καὶ εἰρήνῃ καὶ πρὸς βαρβάρους καὶ πρὸς Ἕλληνας. οὗτος Ἀννίβαν τὸν Καρχηδόνιον, φθόνῳ καὶ ταῖς πολιτικαῖς ἔχθραις μηδενὸς οἴκοθεν ἐπιρρέοντος, ὥσπερ χείμαρρον ἐξέχεε καὶ κατανάλωσε περὶ τὴν Ἰταλίαν. οὗτος τὸ Κίμβρων C καὶ τὸ Τευτόνων στράτευμα μεγάλοις διαστήμασι τόπων καὶ χρόνων ἐχώρισε καὶ διέσπασεν, ἵν' ἀρκέσῃ Μάριος ἑκατέροις ἀνὰ μέρος μαχόμενος, καὶ μὴ συμπεσοῦσαι τριάκοντα μυριάδες ἀνδρῶν ἀηττήτων καὶ ἀμάχων ὅπλων ὁμοῦ κατακλύσωσι τὴν Ἰταλίαν. διὰ τοῦτον Ἀντίοχος μὲν ἠσχολεῖτο, πολεμουμένου Φιλίππου, Φίλιππος δέ, κινδυνεύοντος Ἀντιόχου, προηττημένος ἔπιπτε· Μιθριδάτην δέ, τοῦ Μαρσικοῦ πολέμου τὴν Ῥώμην ἐπιφλέγοντος, οἱ D Σαρματικοὶ καὶ Βασταρνικοὶ πόλεμοι κατεῖχον· Τιγράνην δὲ Μιθριδάτου λαμπροῦ μὲν ὄντος ὑπόνοια καὶ φθόνος ἐχώριζεν, ἡττωμένῳ δ' ἀνέμιξεν ἑαυτὸν συναπολέσθαι.

12. Τί δ' οὐχὶ καὶ περὶ τὰς μεγίστας συμφορὰς ὤρθου τὴν πόλιν ἡ Τύχη; Κελτῶν μὲν περὶ τὸ Καπετώλιον στρατοπεδευόντων καὶ πολιορκούντων τὴν ἀκρόπολιν,

'νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν, ὀλέκοντο δὲ λαοί·'

2 Κολοφωνίων] Καρχηδονίων? 14 ὅπλων] sanum est. cf. p. 408, 13 15 τοῦτον R: τοῦτο 27 Hom. *A* 10

τὴν δὲ νυκτερινὴν ἔφοδον αὐτῶν, λεληθότων πάντας
ἀνθρώπους, ἡ Τύχη καὶ ταὐτόματον ἔκπυστον ἐποί-
ησε γενέσθαι. περὶ ἧς κἂν βραχεῖ πλείω διελθεῖν
ἴσως οὐκ ἄκαιρόν ἐστι. μετὰ τὴν ἐπ' Ἀλλίᾳ ποταμῷ
E Ῥωμαίων μεγάλην ἧτταν οἱ μὲν εἰς Ῥώμην κατά-
ραντες ἀπὸ τῆς φυγῆς ταραχῆς συναναπλήσαντες τὸν
δῆμον ἐξεπτόησαν καὶ διεσκέδασαν, ὀλίγων εἰς τὸ
Καπετώλιον ἀνασκευασαμένων καὶ διακαρτερούντων.
οἱ δ' εὐθὺς ἀπὸ τῆς τροπῆς εἰς Βηίους συναθροι-
σθέντες ᾑροῦντο δικτάτωρα Φούριον Κάμιλλον, ὃν
εὐτυχῶν μὲν καὶ ὑψαυχενῶν ὁ δῆμος ἀπεσείσατο καὶ
κατέβαλε, δίκῃ περιπεσόντα δημοσίων κλοπῶν· πτή-
F ξας δὲ καὶ ταπεινωθεὶς ἀνεκαλεῖτο μετὰ τὴν ἧτταν,
ἐγχειρίζων καὶ παραδιδοὺς ἀνυπεύθυνον ἡγεμονίαν.
ἵν' οὖν μὴ καιρῷ δοκῇ νόμῳ δὲ λαμβάνειν ὁ ἀνήρ,
μηδ' ὡς ἀπεγνωκὼς τὴν πόλιν ὅπλοις ἀρχαιρεσιάζῃ
τὰ τοῦ στρατοῦ σποράδος καὶ πλάνητος, ἔδει τοὺς
ἐν Καπετωλίῳ βουλευτὰς ἐπιψηφίσασθαι τὴν τῶν
στρατιωτῶν γνώμην μαθόντας. ἦν οὖν Γάιος Πόντιος
ἀνὴρ ἀγαθός, καὶ τῶν δεδογμένων αὐτάγγελος ὑπο-
στὰς ἔσεσθαι τοῖς ἐν Καπετωλίῳ μέγαν ἀνεδέξατο
κίνδυνον· ἡ γὰρ ὁδὸς ἦν διὰ τῶν πολεμίων κύκλῳ
φυλακαῖς καὶ χάραξι τὴν ἄκραν περιεχόντων. ὡς
οὖν ἐπὶ τὸν ποταμὸν ἦλθε νύκτωρ, φελλοὺς πλατεῖς
325 ὑποστερνισάμενος καὶ τὸ σῶμα τῇ κουφότητι τοῦ

2 ταὐτόματον *: τὸ αὐτόματον 3 κἂν * κἂν 4 ἐπ' Ἀλλίᾳ Basileensis: ἐν παλλίᾳ 6 ἀπὸ R: ὑπὸ 8 Καπετώλιον unus codex: καπιτώλιον 15 λαμβάνειν] λαγχάνειν Patzigius 16 ἀρχαιρεσιάζῃ τὰ] ἀρχαιρεσιάζηται Madvigius

ὀχήματος παραθέμενος ἀφῆκε τῷ ῥόῳ· τυχὼν δὲ πράου καὶ σχολαίως ὑποφέροντος ἥψατο τῆς ἀντιπέρας ὄχθης ἀσφαλῶς, καὶ ἀποβὰς ἐχώρει πρὸς τὸ τῶν φώτων διάκενον, τῷ τε σκότει καὶ τῇ σιωπῇ τὴν ἐρημίαν τεκμαιρόμενος· ἐμφὺς δὲ τῷ κρημνῷ, καὶ ταῖς δεχομέναις τὴν ἐπίβασιν καὶ παρεχούσαις ἀντίληψιν ἐγκλίσεσι καὶ περιαγωγαῖς καὶ τραχύτησι τῆς πέτρας παραδιδοὺς ἑαυτὸν καὶ ἐπερεισάμενος ἐξίκετο πρὸς τὸ ἀντιπέρας καὶ ἀναληφθεὶς ὑπὸ τῶν προφυλάκων ἐδήλωσε τοῖς ἔσω τὰ δεδογμένα· καὶ B λαβὼν τὸ ψήφισμα πάλιν ᾤχετο πρὸς τὸν Κάμιλλον. ἡμέρας δὲ τῶν βαρβάρων τις ἄλλως τὸν τόπον περιιὼν ὡς εἶδε τοῦτο μὲν ἴχνη ποδῶν ἀκρώνυχα καὶ περιολισθήσεις, τοῦτο δ' ἀποτριβὰς καὶ περικλάσεις τῆς ἐπιβλαστανούσης τοῖς γεώδεσι πόας ὁλκούς τε σώματος πλαγίους καὶ ἀπερείσεις, ἔφραζε τοῖς ἄλλοις. οἱ δὲ δείκνυσθαι τὴν ὁδὸν αὐτοῖς ὑπὸ τῶν πολεμίων νομίζοντες ἐπεχείρουν ἁμιλλᾶσθαι, καὶ τῆς νυκτὸς τὸ ἐρημότατον διαφυλάξαντες ἀνέβησαν λαθόντες οὐ μόνον τοὺς φύλακας, ἀλλὰ καὶ τοὺς συνεργοὺς καὶ τοὺς προκοίτους τῆς φρουρᾶς κύνας C ὕπνῳ κρατηθέντας. οὐ μὴν ἠπόρησεν ἡ τῆς Ῥώμης Τύχη φωνῆς κακὸν τοσοῦτο μηνῦσαι καὶ φράσαι δυναμένης. χῆνες ἱεροὶ περὶ τὸν νεὼν τῆς Ἥρας ἐτρέφοντο θεραπεύοντες τὴν θεόν. φύσει μὲν οὖν τὸ ζῷον εὐθορύβητόν ἐστι καὶ ψοφοδεές· τότε δέ, συντόνου περὶ τοὺς ἔνδον οὔσης ἀπορίας ἀμελου-

9 ἀντιπέρας] ἄνω τῆς πέτρας Emperius 16 ἐπερείσεις R 19 ἠρεμώτατον? 21 καὶ τοὺς] καὶ?

μένων αὐτῶν, λεπτὸς ἦν καὶ λιμώδης ὁ ὕπνος, ὥστ᾽
εὐθὺς ᾔσθοντο τῶν πολεμίων ὑπερφανέντων τῆς
στεφάνης καὶ καταβοῶντες ἰταμῶς προσεφέροντο, καὶ
τῇ τῶν ὅπλων ὄψει μᾶλλον ἐκταραττόμενοι κλαγγῆς
D διατόρου καὶ τραχείας ἐνεπεπλήκεσαν τὸν τόπον· ὑφ᾽
ἧς ἀναστάντες οἱ Ῥωμαῖοι καὶ συμφρονήσαντες τὸ
γενόμενον ἐώσαντο καὶ κατεκρήμνισαν τοὺς πολε-
μίους. πομπεύει δὲ μέχρι νῦν ἐπὶ μνήμῃ τῶν τότε
συμπτωμάτων κύων μὲν ἀνεσταυρωμένος, χὴν δὲ
μάλα σεμνῶς ἐπὶ στρωμνῆς πολυτελοῦς καὶ φορείου
καθήμενος. ἡ δ᾽ ὄψις ἐπιδείκνυται Τύχης ἰσχὺν καὶ
πρὸς ἅπαν εὐπορίαν ἐκ τῶν παραλόγων, ὅταν τι
πραγματεύηται καὶ στρατηγῇ, νοῦν μὲν ἀλόγοις καὶ
ἄφροσιν ἀλκὴν δὲ καὶ θράσος δειλοῖς ἐντιθείσης.
τίς γὰρ οὐκ ἂν ὡς ἀληθῶς ἐκπλαγείη καὶ θαυμάσειεν,
E ἐμπαθὴς γενόμενος καὶ λογισμῷ τινι τὴν τότε κατή-
φειαν καὶ τὴν νῦν ὑπάρχουσαν εὐδαιμονίαν τῆς
πόλεως περιλαβὼν καὶ ἀποβλέψας ἄνω λαμπρότητα
καὶ πλοῦτον ἀναθημάτων καὶ τεχνῶν ἁμίλλας καὶ
φιλοτιμίας πόλεων καὶ στεφάνους βασιλέων, καὶ ὅσα
γῆ φέρει καὶ θάλαττα καὶ νῆσοι καὶ ἤπειροι καὶ
ποταμοὶ καὶ δένδρα καὶ ζῷα καὶ πεδία καὶ ὄρη καὶ
μέταλλα, πάντων ἀπαρχὰς ἐριζούσας εἰς κάλλος ὄψει
καὶ χάριτι κοσμούσῃ τὸν τόπον, ὡς ταῦτα παρὰ
μικρὸν ἦλθε μὴ γενέσθαι μηδ᾽ εἶναι; πυρὶ δὲ καὶ
σκότει φοβερῷ καὶ ὄρφνῃ καὶ ξίφεσι βαρβάροις καὶ
μιαιφόνοις θυμοῖς κρατουμένων πάντων, εὐτελῆ καὶ

17 νῦν R   26 ὄρφνῃ *: ὀρφνῇ

ἄλογα καὶ ἄτολμα θρέμματα σωτηρίας ἀρχὴν παρέσχε, F
καὶ τοὺς μεγάλους ἐκείνους ἀριστεῖς καὶ ἡγεμόνας Μαλλίους καὶ Σερουίους καὶ Ποστουμίους καὶ Παπιρίους τῶν αὖθις οἴκων γενάρχας, παρ' οὐδὲν ἥκοντας ἀπολέσθαι, χῆνες ἀνέστησαν ὑπὲρ τοῦ πατρίου θεοῦ καὶ τῆς πατρίδος ἀμύνεσθαι; εἰ δέ, ὥσπερ Πολύβιος ἐν τῇ δευτέρᾳ βίβλῳ περὶ τῶν τότε τὴν Ῥωμαίων πόλιν καταλαβόντων ἱστόρηκε Κελτῶν, ἀληθές ἐστιν ὅτι προσπεσούσης αὐτοῖς ἀγγελίας φθείρεσθαι τὰ οἴκοι, τῶν προσοίκων βαρβάρων ἐμβεβληκότων εἰς τὴν χώραν καὶ κρατούντων, ἀνεχώρησαν εἰρήνην θέμενοι πρὸς τὸν Κάμιλλον, οὐδ' 326
ἀμφισβήτησις ἔστι πρὸς τὴν Τύχην, ὡς οὐχὶ τῆς σωτηρίας αἰτία κατέστη περισπάσασα τοὺς πολεμίους, μᾶλλον δ' ἀποσπάσασα τῆς Ῥώμης ἀπροσδοκήτως.

13. Ἀλλὰ τί δεῖ περὶ ταῦτα διατρίβειν, ἃ σαφὲς οὐδὲν οὐδ' ὡρισμένον ἔχει τῷ καὶ τὰ πράγματα διαφθαρῆναι τῶν Ῥωμαίων καὶ συγχυθῆναι τοὺς ὑπ' αὐτῶν ὑπομνηματισμούς, ὡς Λίβιος ἱστόρηκε; τὰ γὰρ ὕστερον μᾶλλον ὄντα δῆλα καὶ καταφανῆ δεικνύει τὴν τῆς Τύχης εὐμένειαν. ἐγὼ δὲ τίθεμαι καὶ τὴν Ἀλεξάνδρου τελευτήν, ἀνδρὸς εὐτυχήμασι μεγάλοις καὶ κατορθώμασι λαμπροῖς ὑπὸ θάρσους ἀμάχου καὶ B
φρονήματος ὥσπερ ἄστρου φερομένου καὶ διάττοντος ἐπὶ δυσμὰς ἐξ ἀνατολῶν καὶ βάλλοντος ἤδη τὰς τῶν

3 Σερουίους] Σερουιλίους W 5 τοῦ πατρίου θεοῦ] τῶν πατρίων θεῶν R 17 πράγματα] γράμματα R. cf. Liv. 6, 1 18 διαφθαρῆναι — συγχυθῆναι] συγχυθῆναι — διαφθαρῆναι Abreschius 21 τίθεμαι] τύχην τίθεμαι?

ὅπλων αὐγὰς εἰς τὴν Ἰταλίαν, ὡς πρόφασις μὲν ἦν αὐτῷ τῆς στρατείας ὁ Μολοττὸς Ἀλέξανδρος ὑπὸ Βρεττίων καὶ Λευκανῶν περὶ Πανδοσίαν κατακεκομμένος· ὁ δ' ἄγων αὐτὸν ὡς ἀληθῶς ἐπὶ πάντας ἀνθρώπους δόξης ἔρως καὶ ἡγεμονίας ζῆλον ἔσχε καὶ ἅμιλλαν ὑπερβαλέσθαι τὰ Διονύσου καὶ Ἡρακλέους πέρατα τῆς στρατηλασίας. τῆς δ' Ἰταλίας ἐπυνθάνετο τὴν ἐν Ῥώμῃ δύναμιν καὶ ἀλκὴν ὥσπερ C στόμωμα προτεταγμένην· ὄνομα γὰρ καὶ δόξα τούτων ἐπιφανεστάτη διεπέμπετο πρὸς αὐτὸν ὥσπερ ἀθλητῶν μυρίοις ἐγγεγυμνασμένων πολέμοις.

'οὐ γὰρ ἀναιμωτί γε διακρινθήμεναι οἴω,'

συμπεσόντων ὅπλοις ἀνικήτοις φρονημάτων ἀδουλώτων. πλῆθος μὲν γὰρ ἦσαν οὗτοι τρισκαίδεκα μυριάδων οὐκ ἐλάττους, πολεμικοὶ δὲ καὶ ἀνδρώδεις ἅπαντες,

'ἐπιστάμενοι μὲν ἀφ' ἵππων
ἀνδράσι μάρνασθαι καὶ ὅθι χρὴ πεζὸν ἐόντα.'

1 ὡς πρόφασις] fort. ὡς cum V^4 deleto cetera corrigenda sunt ita: πρόφασις μὲν γὰρ ἦν αὐτῷ κἑ   4 ἐπὶ Madvigius: ὁ ἐπὶ   12 διακρινέεσθαι ὀίω Hom. σ 148   17 Hom. ι 49

ΠΕΡΙ
ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Η ΑΡΕΤΗΣ.

ΛΟΓΟΣ Α′.

Οὗτος ὁ τῆς Τύχης λόγος ἐστίν, ἴδιον καὶ μόνης αὐτῆς ἔργον ἀποφαινομένης Ἀλέξανδρον. δεῖ δ' ἀντειπεῖν ὑπὲρ φιλοσοφίας, μᾶλλον δ' ὑπὲρ Ἀλεξάνδρου δυσχεραίνοντος καὶ ἀγανακτοῦντος, εἰ προῖκα E
δόξει καὶ παρὰ τῆς Τύχης λαβεῖν τὴν ἡγεμονίαν, ἣν ὤνιον αἵματος πολλοῦ καὶ τραυμάτων ἐπαλλήλων κτώμενος

'πολλὰς μὲν ἀύπνους νύκτας ἴαυεν,
ἤματα δ' αἱματόεντα διέπρησσεν πολεμίζων'

πρὸς ἀμάχους δυνάμεις καὶ ἄπειρα φῦλα καὶ ποταμοὺς ἀπεράτους καὶ πέτρας ἀτοξεύτους, εὐβουλίᾳ καὶ καρτερίᾳ καὶ ἀνδρείᾳ καὶ σωφροσύνῃ παραταττόμενος.

2. Οἶμαι δ' ἂν αὐτὸν εἰπεῖν πρὸς τὴν Τύχην F
τοῖς κατορθώμασιν αὐτὴν ἐπιγράφουσαν 'μή μου διάβαλλε τὴν ἀρετὴν μηδ' ἀφαιροῦ περισπῶσα τὴν

2 αὐτῆς Abreschius: αὑτῆς 8 Hom. *I* 325 12 παραταττόμενος R: παραπεμπόμενος

δόξαν. Δαρεῖος ἦν σὸν ἔργον, ὃν ἐκ δούλου καὶ ἀστάνδου βασιλέως κύριον Περσῶν ἐποίησας· καὶ Σαρδανάπαλος, ᾧ τὸ διάδημα τῆς βασιλείας πορφύραν ξαίνοντι περιέθηκας. ἐγὼ δ' εἰς Σοῦσα νικῶν δι' Ἀρβήλων ἀναβέβηκα, καὶ Κιλικία μοι πλατεῖαν ἀνέῳξεν Αἴγυπτον, Κιλικίαν δὲ Γράνικος, ὃν Μιθριδάτῃ καὶ Σπιθριδάτῃ νεκροῖς ἐπιβὰς διεπέρασα. κόσμει σεαυτὴν καὶ σεμνύνου βασιλεῦσιν ἀτρώτοις καὶ ἀναιμάκτοις· ἐκεῖνοι γὰρ εὐτυχεῖς ἦσαν,
327 Ὦχοι καὶ Ἀρτοξέρξαι, οὓς εὐθὺς ἐκ γενετῆς τῷ Κύρου θρόνῳ ἐνίδρυσας. τοὐμὸν δὲ σῶμα πολλὰ σύμβολα φέρει Τύχης ἀνταγωνιζομένης οὐ συμμαχούσης. πρῶτον ἐν Ἰλλυριοῖς λίθῳ τὴν κεφαλὴν ὑπέρῳ δὲ τὸν τράχηλον ἠλοήθην· ἔπειτα περὶ Γράνικον τὴν κεφαλὴν βαρβαρικῇ μαχαίρᾳ διεκόπην, ἐν δ' Ἰσσῷ ξίφει τὸν μηρόν· πρὸς δὲ Γάζῃ τὸ μὲν σφυρὸν ἐτοξεύθην, τὸν δ' ὦμον ἐκπεσὼν βαρὺς ἐξ ἕδρας περιεδίνησα· πρὸς δὲ Μαρακανδάνοις
B τοξεύμασι τὸ τῆς κνήμης ὀστέον διεσχίσθην· τὰ λοιπὰ δ' Ἰνδῶν πληγαὶ καὶ βίαι θυμῶν· ἐν Ἀσπασίοις ἐτοξεύθην τὸν ὦμον, ἐν δὲ Γανδρίδαις τὸ σκέλος· ἐν δὲ Μαλλοῖς βέλει μὲν ἀπὸ τόξου τὸ στέρνον ἐνερεισθέντι καὶ καταδύσαντι τὸν σίδηρον, ὑπέρου δὲ πληγῇ παρὰ τὸν τράχηλον, ὅτε προστεθεῖσαι τοῖς τείχεσιν αἱ κλίμακες ἐκλάσθησαν· ἐμὲ δ' ἡ Τύχη μόνον συνεῖρξεν οὐδὲ λαμπροῖς ἀντα-

10 Ἀρτοξέρξαι *: ἀρταξέρξαι τοῖς Κύρου θρόνοις? cf. p. 318 b 17 ἐκπεσὼν — περιεδίνησα] corrupta 18 Μαρακανδάνοις R: μαρκάνδαν τοῖς 20 θυμῶν] θηρίων Herwerdenus Ἀσπασίοις Car. Schmidtius: ἅπασιν οἷς

γωνισταῖς, ἀλλὰ βαρβάροις ἀσήμοις χαριζομένη τηλικοῦτον ἔργον· εἰ δὲ μὴ Πτολεμαῖος ὑπερέσχε τὴν πέλτην, Λιμναῖος δὲ πρὸ ἐμοῦ μυρίοις ἀπαντήσας βέλεσιν ἔπεσεν, ἤρειψαν δὲ θυμῷ καὶ βίᾳ Μακεδόνες τὸ τεῖχος, ἔδει τάφον Ἀλεξάνδρου τὴν βάρβαρον C ἐκείνην καὶ ἀνώνυμον κώμην γενέσθαι.'

3. Καὶ μὴν τὰ μὲν αὐτῆς τῆς στρατείας χειμῶνες, αὐχμοί, βάθη ποταμῶν, ἄορνα ὕψη, θηρίων ὑπερφυεῖς ὄψεις, ἄγριοι δίαιται, μεταβολαὶ δυναστῶν, παλιμπροδοσίαι· τὰ δὲ πρὸ τῆς στρατείας, ἔτι τοῖς Φιλιππικοῖς πολέμοις ἐπέσπαιρεν ἡ Ἑλλάς, ἀπεσείοντο δ' αἱ Θῆβαι τῶν ὅπλων τὴν Χαιρωνικὴν κόνιν ἐκ τοῦ πτώματος ἀνιστάμεναι, καὶ συνῆπτον αἱ Ἀθῆναι τὰς χεῖρας ὀρέγουσαι· πᾶσα δ' ὕπουλος ἡ Μακεδονία πρὸς Ἀμύνταν ἀποβλέπουσα καὶ τοὺς Ἀερόπου παῖδας· ἀνερρήγνυντο δ' Ἰλλυριοί, καὶ τὰ Σκυθῶν ἐπῃωρεῖτο D τοῖς προσοίκοις νεωτερίζουσι· τὸ δὲ Περσικὸν χρυσίον διὰ τῶν ἑκασταχοῦ δημαγωγῶν ῥέον ἐκίνει τὴν Πελοπόννησον· κενοὶ δ' οἱ Φιλίππου θησαυροὶ χρημάτων, καὶ προσῆν ἔτι δάνειον, ὡς Ὀνησίκριτος ἱστορεῖ, διακοσίων ταλάντων. ἐν τοσαύτῃ πενίᾳ καὶ πράγμασι ταραχὰς ἔχουσι μειράκιον ἄρτι τὴν παιδικὴν παραλλάττον ἡλικίαν ἐθάρρησεν ἐλπίσαι Βαβυλῶνα καὶ Σοῦσα, μᾶλλον δὲ τὴν πάντων ἀνθρώπων ἀρχὴν εἰς νοῦν ἐμβαλέσθαι, τοῖς τρισμυρίοις, οἴεσθαι, πεζοῖς καὶ τετρακισχιλίοις ἱππεῦσι πιστεύσας· τοσοῦτοι γὰρ

9 παλιμπροδοσίαι Bryanus: πάλιν προδοσίαι 10 ἔτι R: ἐπὶ 16 ἀνερρήγνυντο] ἀπερρήγνυντο? 17 νεωτερίζουσι R: νεωτεροῦσι 22 ταραχὰς] ταραχὰς τοσαύτας? 25 οἴεσθαι] πῶς οἴεσθε R. Mihi delendum vid.

ἦσαν, ὡς Ἀριστόβουλός φησιν· ὡς δὲ Πτολεμαῖος
E ὁ βασιλεύς, τρισμύριοι πεζοὶ πεντακισχίλιοι δ' ἱππεῖς· ὡς δ' Ἀναξιμένης, τετρακισμύριοι πεζοὶ καὶ τρισχίλιοι, πεντακισχίλιοι δὲ καὶ πεντακόσιοι ἱππεῖς. τὸ δὲ λαμπρὸν αὐτῷ καὶ μέγα παρασκευασθὲν ὑπὸ τῆς Τύχης ἐφόδιον ἑβδομήκοντα τάλαντ' ἦν, ὥς φησιν Ἀριστόβουλος· ὡς δὲ Δοῦρις, τριάκοντα μόνον ἡμερῶν ἐπισιτισμός.

4. Ἄβουλος οὖν καὶ προπετὴς Ἀλέξανδρος ἐξ εὐτελῶν οὕτως ἐπὶ τὴν τηλικαύτην δύναμιν ὁρμώμενος; οὐ μὲν οὖν. τίς γὰρ ἀπὸ μειζόνων ἢ καλλιόνων ἀφορμῶν ἀνήγετο, μεγαλοψυχίας, συνέσεως, σωφροσύνης, ἀνδραγαθίας, οἷς αὐτὸν ἐφωδίαζε φιλο-
F σοφία πρὸς τὴν στρατείαν, καὶ πλείονας παρ' Ἀριστοτέλους τοῦ καθηγητοῦ ἢ παρὰ Φιλίππου τοῦ πατρὸς ἀφορμὰς ἔχων διέβαινεν ἐπὶ Πέρσας; ἀλλὰ τοῖς μὲν γράφουσιν, ὡς Ἀλέξανδρος ἔφη ποτὲ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν ἀκολουθεῖν αὐτῷ τῆς στρατείας ἐφόδιον, πιστεύομεν, Ὅμηρον σεμνύνοντες· ἂν δέ τις φῇ τὴν Ἰλιάδα καὶ τὴν Ὀδύσσειαν παραμύθια πόνου καὶ διατριβὰς ἕπεσθαι σχολῆς γλυκείας, ἐφό-
328 διον δ' ἀληθῶς γεγονέναι τὸν ἐκ φιλοσοφίας λόγον καὶ τοὺς περὶ ἀφοβίας καὶ ἀνδρείας ἔτι δὲ σωφροσύνης καὶ μεγαλοψυχίας ὑπομνηματισμούς, καταφρονοῦμεν· ὅτι δηλαδὴ περὶ συλλογισμῶν οὐδὲν οὐδὲ περὶ ἀξιωμάτων ἔγραψεν, οὐδ' ἐν Λυκείῳ περίπατον συνέσχεν οὐδ' ἐν Ἀκαδημείᾳ θέσεις εἶπεν· τούτοις

7 Δοῦρις] Mueller. 2 p. 472 20 διατριβὰς *: διατριβῆς σχολῆς R: καὶ σχολῆς 25 ἔγραψεν *: ἔγραφεν 26 Ἀκαδημείᾳ *: ἀκαδημίᾳ

γὰρ ὁρίζουσι φιλοσοφίαν οἱ λόγον αὐτὴν οὐκ ἔργον νομίζοντες. καίτοι γ' οὐδὲ Πυθαγόρας ἔγραψεν οὐδὲν οὐδὲ Σωκράτης οὐδ' Ἀρκεσίλαος οὐδὲ Καρνεάδης, οἱ δοκιμώτατοι τῶν φιλοσόφων· καὶ οὐκ ἠσχολοῦντο περὶ πολέμους ἐκεῖνοι τηλικούτους, οὐδὲ βασιλεῖς βαρβάρους ἡμεροῦντες οὐδὲ πόλεις Ἑλληνίδας ἐγκτίζοντες ἀγρίοις ἔθνεσιν οὐδ' ἄθεσμα καὶ ἀνήκοα φῦλα νόμους διδάσκοντες καὶ εἰρήνην ἐπῄεσαν, ἀλλὰ καὶ σχολάζοντες τὸ γράφειν παρίεσαν τοῖς σοφισταῖς. πόθεν οὖν ἐπιστεύθησαν ἐκεῖνοι φιλοσοφεῖν; ἀφ' ὧν εἶπον ἢ ἀφ' ὧν ἐβίωσαν ἢ ἀφ' ὧν ἐδίδαξαν. ἀπὸ τούτων κρινέσθω καὶ Ἀλέξανδρος· ὀφθήσεται γὰρ οἷς εἶπεν οἷς ἔπραξεν οἷς ἐπαίδευσε φιλόσοφος. B

5. Καὶ πρῶτον τὸ παραδοξότατον, εἰ βούλει, σκόπει, τοὺς Ἀλεξάνδρου μαθητὰς τοῖς Πλάτωνος, τοῖς Σωκράτους ἀντιπαραβάλλων. εὐφυεῖς οὗτοι καὶ ὁμογλώσσους ἐπαίδευον, εἰ μηδὲν ἄλλο φωνῆς Ἑλληνίδος συνιέντας· καὶ πολλοὺς οὐκ ἔπεισαν· ἀλλὰ C Κριτίαι καὶ Ἀλκιβιάδαι καὶ Κλειτοφῶντες, ὥσπερ χαλινὸν τὸν λόγον ἐκπτύσαντες, ἄλλῃ πῃ παρετράπησαν. τὴν δ' Ἀλεξάνδρου παιδείαν ἂν ἐπιβλέπῃς, Ὑρκανοὺς γαμεῖν ἐπαίδευσε καὶ γεωργεῖν ἐδίδαξεν Ἀραχωσίους, καὶ Σογδιανοὺς ἔπεισε πατέρας τρέφειν καὶ μὴ φονεύειν, καὶ Πέρσας σέβεσθαι μητέρας ἀλλὰ μὴ γαμεῖν. ὢ θαυμαστῆς φιλοσοφίας, δι' ἣν Ἰνδοὶ θεοὺς Ἑλληνικοὺς προσκυνοῦσι, Σκύθαι θάπτουσι τοὺς

7 ἐγκτίζοντες *: ἐπικτίζοντες 11 ἢ et ἢ] del. W 21 πῃ Abreschius: που

ἀποθανόντας οὐ κατεσθίουσι. θαυμάζομεν τὴν Καρ-
D νεάδου δύναμιν, εἰ Κλειτόμαχον, Ἀσδρούβαν καλούμενον πρότερον καὶ Καρχηδόνιον τὸ γένος, ἑλληνίζειν ἐποίησε· θαυμάζομεν τὴν διάθεσιν Ζήνωνος, εἰ Διογένη τὸν Βαβυλώνιον ἔπεισε φιλοσοφεῖν. ἀλλ' Ἀλεξάνδρου τὴν Ἀσίαν ἐξημεροῦντος Ὅμηρος ἦν ἀνάγνωσμα, καὶ Περσῶν καὶ Σουσιανῶν καὶ Γεδρωσίων παῖδες τὰς Εὐριπίδου καὶ Σοφοκλέους τραγῳδίας ᾖδον. καὶ Σωκράτης μὲν ξένα παρεισάγων δαιμόνια δίκην τοῖς Ἀθήνησιν ὠφλίσκανε συκοφάνταις· διὰ
E δ' Ἀλέξανδρον τοὺς Ἑλλήνων θεοὺς Βάκτρα καὶ Καύκασος προσεκύνησε. Πλάτων μὲν γὰρ μίαν γράψας πολιτείαν οὐδένα πέπεικεν αὐτῇ χρῆσθαι διὰ τὸ αὐστηρόν· Ἀλέξανδρος δ' ὑπὲρ ἑβδομήκοντα πόλεις βαρβάροις ἔθνεσιν ἐγκτίσας καὶ κατασπείρας τὴν Ἀσίαν Ἑλληνικοῖς τέλεσι, τῆς ἀνημέρου καὶ θηριώδους ἐκράτησε διαίτης. καὶ τοὺς μὲν Πλάτωνος ὀλίγοι νόμους ἀναγιγνώσκομεν, τοῖς δ' Ἀλεξάνδρου μυριάδες ἀνθρώπων ἐχρήσαντο καὶ χρῶνται· μακαριώτεροι τῶν διαφυγόντων Ἀλέξανδρον οἱ κρατηθέντες γενόμενοι· τοὺς μὲν γὰρ οὐδεὶς ἔπαυσεν ἀθλίως ζῶντας, τοὺς δ' ἠνάγκασεν εὐδαιμονεῖν ὁ
F νικήσας. ὥσθ' ὅπερ εἶπε Θεμιστοκλῆς, ὁπηνίκα φυγὼν ἔτυχε δωρεῶν μεγάλων παρὰ βασιλέως καὶ τρεῖς πόλεις ὑποφόρους ἔλαβε, τὴν μὲν εἰς σῖτον τὴν δ' εἰς οἶνον τὴν δ' εἰς ὄψον, 'ὦ παῖδες ἀπωλόμεθ' ἂν εἰ μὴ ἀπωλόμεθα·' τοῦτο περὶ τῶν ἁλόντων ὑπ' Ἀλεξάνδρου δικαιότερόν ἐστιν εἰπεῖν. οὐκ

16 Ἑλληνικοῖς τέλεσι] Ἑλληνικαῖς πόλεσι?

ἂν ἡμερώθησαν, εἰ μὴ ἐκρατήθησαν· οὐκ ἂν εἶχεν Ἀλεξάνδρειαν Αἴγυπτος, οὐδὲ Μεσοποταμία Σελεύκειαν οὐδὲ Προφθασίαν Σογδιανὴ οὐδ' Ἰνδία Βουκεφαλίαν, οὐδὲ πόλιν Ἑλλάδα Καύκασος παροικοῦσαν αἷς ἐμπολισθεὶς ἀπεσβέσθη τὸ ἄγριον καὶ 329 μετέβαλε τὸ χεῖρον ὑπὸ τοῦ κρείττονος ἐθιζόμενον. εἰ τοίνυν μέγιστον μὲν οἱ φιλόσοφοι φρονοῦσιν ἐπὶ τῷ τὰ σκληρὰ καὶ ἀπαίδευτα τῶν ἠθῶν ἐξημεροῦν καὶ μεθαρμόζειν, μυρία δὲ φαίνεται γένη καὶ φύσεις θηριώδεις μεταβαλὼν Ἀλέξανδρος, εἰκότως ἂν φιλοσοφώτατος νομίζοιτο.

6. Καὶ μὴν ἡ πολὺ θαυμαζομένη πολιτεία τοῦ τὴν Στωικῶν αἵρεσιν καταβαλομένου Ζήνωνος εἰς ἓν τοῦτο συντείνει κεφάλαιον, ἵνα μὴ κατὰ πόλεις μηδὲ κατὰ δήμους οἰκῶμεν ἰδίοις ἕκαστοι διωρισμένοι δικαίοις, ἀλλὰ πάντας ἀνθρώπους ἡγώμεθα δημότας B καὶ πολίτας, εἷς δὲ βίος ᾖ καὶ κόσμος, ὥσπερ ἀγέλης συννόμου νόμῳ κοινῷ συντρεφομένης. τοῦτο Ζήνων μὲν ἔγραψεν ὥσπερ ὄναρ ἢ εἴδωλον εὐνομίας φιλοσόφου καὶ πολιτείας ἀνατυπωσάμενος, Ἀλέξανδρος δὲ τῷ λόγῳ τὸ ἔργον παρέσχεν. οὐ γάρ, ὡς Ἀριστοτέλης συνεβούλευεν αὐτῷ, τοῖς μὲν Ἕλλησιν ἡγεμονικῶς τοῖς δὲ βαρβάροις δεσποτικῶς χρώμενος, καὶ τῶν μὲν ὡς φίλων καὶ οἰκείων ἐπιμελόμενος τοῖς δ' ὡς ζῴοις ἢ φυτοῖς προσφερόμενος, πολέμων C

4 παροικοῦσαν R: περιοικοῦσαν 5 ἐμπολισθεὶς *: ἐμποδισθεῖσαν ἀπεσβέσθη R: ἐσβέσθη 23 χρώμενος — ἐπιμελούμενος — προσφερόμενος R: χρώμενον — ἐπιμελούμενον — προσφερόμενον 25 πολέμων πολλῶν καὶ *: πολέμῳ πολλῶν

πολλῶν καὶ φυγῶν ἐνέπλησε καὶ στάσεων ὑπούλων τὴν ἡγεμονίαν· ἀλλὰ κοινὸς ἥκειν θεόθεν ἁρμοστὴς καὶ διαλλακτὴς τῶν ὅλων νομίζων, οὓς τῷ λόγῳ μὴ συνῆγε τοῖς ὅπλοις βιαζόμενος, εἰς ταὐτὸ συνενεγκὼν τὰ πανταχόθεν, ὥσπερ ἐν κρατῆρι φιλοτησίῳ μίξας τοὺς βίους καὶ τὰ ἤθη καὶ τοὺς γάμους καὶ τὰς διαίτας, πατρίδα μὲν τὴν οἰκουμένην προσέταξεν ἡγεῖσθαι πάντας, ἀκρόπολιν δὲ καὶ φρουρὰν τὸ στρατόπεδον, συγγενεῖς δὲ τοὺς ἀγαθούς, ἀλλοφύλους δὲ τοὺς πονηρούς· τὸ δ' Ἑλληνικὸν καὶ βαρβαρικὸν D μὴ χλαμύδι μηδὲ πέλτῃ μηδ' ἀκινάκῃ μηδὲ κάνδυι διορίζειν, ἀλλὰ τὸ μὲν Ἑλληνικὸν ἀρετῇ τὸ δὲ βαρβαρικὸν κακίᾳ τεκμαίρεσθαι· κοινὰς δ' ἐσθῆτας ἡγεῖσθαι καὶ τραπέζας καὶ γάμους καὶ διαίτας, δι' αἵματος καὶ τέκνων ἀνακεραννυμένους.

7. Δημάρατος μὲν οὖν ὁ Κορίνθιος εἷς ὢν τῶν Φιλίππου ξένων καὶ φίλων, ὅτ' Ἀλέξανδρον εἶδεν ἐν Σούσοις, περιχαρὴς γενόμενος καὶ δακρύσας ʻμεγάλης' ἔφη ʻχαρᾶς ἐστερῆσθαι τοὺς ἔμπροσθεν τεθνηκότας Ἕλληνας, ὅτι Ἀλέξανδρον οὐκ εἶδον ἐν τῷ Δαρείου θρόνῳ καθεζόμενον.' ἐγὼ δ' οὐδὲ τούτου E μὰ Δία τοῦ θεάματος ζηλῶ τοὺς ἰδόντας, ὃ καὶ τύχης ἦν καὶ κοινὸν ἑτέρων βασιλέων· ἀλλ' ἐκείνης ἡδέως ἄν μοι δοκῶ γενέσθαι τῆς καλῆς καὶ ἱερᾶς νυμφαγωγίας θεατής, ὅτε μιᾷ σκηνῇ χρυσορόφῳ περιλαβών, ἐφ' ἑστίας κοινῆς καὶ τραπέζης, ἑκατὸν Περσίδας νύμφας καὶ ἑκατὸν νυμφίους Μακεδόνας

4 ταὐτὸ *: τὸ αὐτὸ 5 τὰ] τὰ πάντα? 7 τὰς R
23 κοινὸν ἑτέρων W: κοινοτέρων 27 καὶ R

καὶ Ἕλληνας, αὐτὸς ἐστεφανωμένος πρῶτος ἀναμέλπων τὸν ὑμέναιον, ὥσπερ φιλοτήσιον ἐπᾴδων μέλος, εἰς κοινωνίαν συνιοῦσι τοῖς μεγίστοις καὶ δυνατωτάτοις γένεσι, μιᾶς νυμφίος, πασῶν δὲ νυμφαγωγὸς F ἅμα καὶ πατὴρ καὶ ἁρμοστὴς κατὰ ζυγὰ συνῆπτεν. ἡδέως γὰρ ἂν εἶπον ‘ὦ βάρβαρε Ξέρξη καὶ ἀνόητε καὶ μάτην πολλὰ περὶ τὴν Ἑλλησποντίαν πονηθεὶς γέφυραν, οὕτως ἔμφρονες βασιλεῖς Ἀσίαν Εὐρώπῃ συνάπτουσιν, οὐ ξύλοις οὐδὲ σχεδίαις οὐδ᾽ ἀψύχοις καὶ ἀσυμπαθέσι δεσμοῖς, ἀλλ᾽ ἔρωτι νομίμῳ καὶ γάμοις σώφροσι καὶ κοινωνίαις παίδων τὰ γένη συνάπτοντες.’

8. Πρὸς τοῦτον ἀποβλέπων τὸν κόσμον Ἀλέξανδρος οὐ τὴν ἐσθῆτα προσήκατο τὴν Μηδικήν, ἀλλὰ τὴν Περσικὴν πολλῷ τῆς Μηδικῆς εὐτελεστέραν οὖσαν. τὰ γὰρ ἔξαλλα καὶ τραγικὰ τοῦ βαρβαρι- 330 κοῦ κόσμου παραιτησάμενος, οἷον τιάραν καὶ κάνδυν καὶ ἀναξυρίδας, ἐκ τοῦ Περσικοῦ καὶ Μακεδονικοῦ τρόπου μεμιγμένην τινὰ στολὴν ἐφόρει, καθάπερ Ἐρατοσθένης ἱστόρηκεν, ὡς μὲν φιλόσοφος τοῖς ἀδιαφόροις χρώμενος, ὡς δ᾽ ἡγεμὼν κοινὸς καὶ βασιλεὺς φιλάνθρωπος τῇ περὶ τὴν ἐσθῆτα τιμῇ τὴν τῶν κεκρατημένων ἀνακτώμενος εὔνοιαν, ἵνα βεβαίως παραμένωσιν ἀγαπῶντες ὡς ἄρχοντας Μακεδόνας, μὴ μισοῦντες ὡς πολεμίους. τοὐναντίον γὰρ ἦν ἀσόφου καὶ τετυφωμένης ψυχῆς τὴν μὲν αὐτόχρουν χλαμύδα θαυμάζειν, τὸν δὲ περιπόρφυρον χιτῶνα δυσχεραίνειν· ἢ πάλιν ἐκεῖνα μὲν ἀτιμάζειν, τούτοις δ᾽ ἐκπεπλῆχθαι, δίκην νηπίου παιδὸς φυλάττοντα B

6 εἶπον Basileensis: εἶπεν

τὴν περιβολήν, ἣν ἡ πάτριος αὐτῷ συνήθεια καθάπερ τίτθη περιέθηκε. ζῷα θηρεύοντες ἄνθρωποι δορὰς ἐλάφων περιτίθενται, καὶ πτερωτοῖς ἀμπέχονται χιτωνίσκοις ἄγραις ἐπιχειροῦντες ὀρνίθων, καὶ φυλάττονται ταύροις ὀφθῆναι φοινικίδας ἔχοντες, ἐλέφασι δὲ λευκοὺς χιτῶνας· ἐρεθίζεται γὰρ ὑπὸ τῶν χρωμάτων τὰ ζῷα τούτων καὶ διαθηριοῦται. εἰ δὲ βασιλεὺς μέγας ἔθνη δυσκάθεκτα καὶ μαχόμενα καθάπερ ζῷα τιθασεύων καὶ μειλισσόμενος ἐσθῆσιν οἰκείαις
C καὶ συνήθεσιν ἐξεπράυνε διαίταις καὶ κατέστελλεν, οἰκειούμενος αὐτῶν τὸ δύσθυμον καὶ παρηγορῶν τὸ σκυθρωπόν, ἐγκαλοῦσιν, οὐχὶ θαυμάζουσι τὴν σοφίαν, ὅτι τῷ τυχόντι μετασχηματισμῷ τὴν Ἀσίαν ἐδημαγώγησε, τοῖς μὲν ὅπλοις τῶν σωμάτων ἐπικρατήσας, τῇ δ' ἐσθῆτι τὰς ψυχὰς προσαγαγόμενος; καίτοι γ' Ἀρίστιππον θαυμάζουσι τὸν Σωκρατικόν, ὅτι καὶ τρίβωνι λιτῷ καὶ Μιλησίᾳ χλανίδι χρώμενος δι' ἀμφοτέρων ἐτήρει τὸ εὔσχημον· Ἀλεξάνδρῳ δ' ἐγκαλοῦσιν, ὅτι τὴν πάτριον ἐσθῆτα κοσμῶν οὐδὲ τὴν
D δορίκτητον ὑπερεῖδε, μεγάλων πραγμάτων καταβαλλόμενος ἀρχάς. οὐ γὰρ λῃστρικῶς τὴν Ἀσίαν καταδραμὼν οὐδ' ὥσπερ ἅρπαγμα καὶ λάφυρον εὐτυχίας ἀνελπίστου σπαράξαι καὶ ἀνασύρασθαι διανοηθείς, καθάπερ ὕστερον μὲν Ἀννίβας Ἰταλίαν, πρότερον δὲ Τρῆρες Ἰωνίαν καὶ Σκύθαι Μηδίαν ἐπῆλθον· ἀλλ' ἑνὸς ὑπήκοα λόγου τὰ ἐπὶ γῆς καὶ μιᾶς πολιτείας, ἕνα δῆμον ἀνθρώπους ἅπαντας ἀποφῆναι βουλόμενος, οὕτως ἑαυτὸν ἐσχημάτιζεν· εἰ δὲ μὴ ταχέως ὁ δεῦρο κατα-

17 χλανίδι Cobetus: χλαμύδι

πέμψας τὴν Ἀλεξάνδρου ψυχὴν ἀνεκαλέσατο δαίμων, E εἷς ἂν νόμος ἅπαντας ἀνθρώπους ἐπέβλεπε καὶ πρὸς ἓν δίκαιον ὡς πρὸς κοινὸν διῳκοῦντο φῶς. νῦν δὲ τῆς γῆς ἀνήλιον μέρος ἔμεινεν, ὅσον Ἀλέξανδρον οὐκ εἶδεν.

9. Οὐκοῦν πρώτη μὲν ἡ τῆς στρατείας ὑπόθεσις φιλόσοφον τὸν ἄνδρα συνίστησιν, οὐχ ἑαυτῷ τρυφὴν καὶ πολυτέλειαν ἀλλὰ πᾶσιν ἀνθρώποις ὁμόνοιαν καὶ εἰρήνην καὶ κοινωνίαν πρὸς ἀλλήλους παρασκευάσαι διανοηθέντα. δεύτερον δ' αὐτοῦ καὶ τὰς φωνὰς ἴδωμεν, ἐπεὶ καὶ τὰ τῶν ἄλλων ἤθη βασιλέων καὶ δυναστῶν μάλιστα ταῖς φωναῖς αἱ ψυχαὶ προβάλλουσιν. Ἀντίγονος ὁ γέρων, σοφιστοῦ τινος αὐτῷ σύγγραμμα προσδόντος περὶ δικαιοσύνης, 'ἀβέλτερος εἶ' εἶπεν 'ὃς ὁρῶν με τὰς ἀλλοτρίας πόλεις τύπτοντα F λέγεις περὶ δικαιοσύνης.' Διονύσιος δ' ὁ τύραννος ἐκέλευε τοὺς μὲν παῖδας ἀστραγάλοις τοὺς δ' ἄνδρας ὅρκοις ἐξαπατᾶν. τοῖς δὲ Σαρδαναπάλου μνημείοις ἐπιγέγραπται

'ταῦτ' ἔχω ὅσσ' ἔφαγον καὶ ἐφύβρισα.'

τίς οὐκ ἂν εἴποι τῶν ἀποφθεγμάτων τούτων τῷ μὲν ἀποφαίνεσθαι φιληδονίαν, τῷ δ' ἀθεότητα, τῷ δ' ἀδικίαν καὶ πλεονεξίαν; τῶν δ' Ἀλεξάνδρου φωνῶν ἂν ἀφέλῃς τὸ διάδημα καὶ τὸν Ἄμμωνα καὶ τὴν 331 εὐγένειαν, Σωκράτους ἢ Πλάτωνος ἢ Πυθαγόρου σοι φανοῦνται. μὴ γὰρ ἃς οἱ ποιηταὶ ταῖς εἰκόσιν αὐτοῦ καὶ τοῖς ἀνδριᾶσι μεγαληγορίας ἐπεχάραττον, οὐ τῆς μετριότητος ἀλλὰ τῆς δυνάμεως τῆς Ἀλεξάνδρου στοχαζόμενοι, σκοπῶμεν·

3 διῳκοῦντο Emperius: διῳκεῖτο 19 cf. Anthol. Pal. VII 325

‘αὐδασοῦντι δ’ ἔοικεν ὁ χάλκεος εἰς Δία λεύσσων,
Γᾶν ὑπ’ ἐμοὶ τίθεμαι· Ζεῦ, σὺ δ’ Ὄλυμπον ἔχε.’

καὶ Ἀλέξανδρος ‘ἐγὼ Διὸς μὲν υἱός **’. ταῦτα μὲν οὖν, ὡς ἔφην, οἱ ποιηταὶ κολακεύοντες αὐτοῦ τὴν τύχην προσεῖπον· τῶν δ’ ἀληθινῶν ἀποφθεγμάτων Ἀλεξάνδρου πρῶτον ἄν τις τὰ παιδικὰ διέλθοι·
B ποδωκέστατος γὰρ τῶν ἐφ’ ἡλικίας νέων γενόμενος καὶ τῶν ἑταίρων αὐτὸν ἐπ’ Ὀλύμπια παρορμώντων, ἠρώτησεν, εἰ βασιλεῖς ἀγωνίζονται· τῶν δ’ οὐ φαμένων, ἄδικον εἶπεν εἶναι τὴν ἅμιλλαν, ἐν ᾗ νικήσει μὲν ἰδιώτας νικηθήσεται δὲ βασιλεύς. τοῦ δὲ πατρὸς Φιλίππου λόγχῃ τὸν μηρὸν ἐν Τριβαλλοῖς διαπαρέντος, καὶ τὸν μὲν κίνδυνον διαφυγόντος ἀχθομένου δὲ τῇ χωλότητι, ‘θάρρει πάτερ’ ἔφη ‘καὶ πρόιθι φαιδρῶς, ἵνα τῆς ἀρετῆς κατὰ βῆμα μνημονεύῃς.’ ταῦτ’ οὐκ ἔστι διανοίας φιλοσόφου καὶ διὰ τὸν ἐπὶ
C τοῖς καλοῖς ἐνθουσιασμὸν ἤδη τῶν τοῦ σώματος ἐλαττωμάτων κατεξανισταμένης; πῶς γὰρ αὐτὸν οἴει τοῖς ἰδίοις ἀγάλλεσθαι τραύμασι, καθ’ ἕκαστον μέρος ἔθνους μνημονεύοντα καὶ νίκης καὶ πόλεων ἁλισκομένων καὶ βασιλέων παραδιδόντων, οὐκ ἐγκαλυπτόμενον οὐδὲ κατακρύπτοντα τὰς οὐλάς, ἀλλ’ ὥσπερ εἰκόνας ἐγκεχαραγμένας ἀρετῆς καὶ ἀνδραγαθίας περιφέροντα;

10. Καὶ μὴν εἴ ποτε γένοιτο τῶν Ὁμήρου σύγκρισις ἐπῶν ἐν ταῖς διατριβαῖς ἢ παρὰ τὰ συμπόσια, ἄλλον ἄλλου στίχον προκρίνοντος, αὐτὸς ὡς διαφέροντα πάντων ἐνέκρινε τοῦτον,

1 Anthol. Pal. XVI 120   3 lacunam add. W   15 φαιδρῶς R: φανερῶς   18 οἴει X: ἐπὶ   21 βασιλέων] add. ἑαυτοὺς R

ʽἀμφότερον βασιλεύς τ᾽ ἀγαθὸς κρατερός τ᾽ αἰχμητής·᾽ ὃν ἄλλος ἔπαινον τῷ χρόνῳ προέλαβε, τοῦτον αὑτῷ νόμον κεῖσθαι λογιζόμενος, ὥστ᾽ εἰπεῖν Ὅμηρον, ὅτι D τῷ αὐτῷ μέτρῳ τὴν μὲν Ἀγαμέμνονος ἀνδραγαθίαν κεκόσμηκε, τὴν δ᾽ Ἀλεξάνδρου μεμάντευται. διαβὰς τοίνυν τὸν Ἑλλήσποντον ἐθεᾶτο τὴν Τροίαν, ἀνατυπούμενος τὰς ἡρωικὰς πράξεις· καί τινος αὐτῷ τῶν ἐγχωρίων ὑποσχομένου τὴν Πάριδος λύραν εἰ βούλοιτο δώσειν, ʽοὐδέν᾽ ἔφη ʽτῆς ἐκείνου δέομαι· τὴν γὰρ Ἀχιλλέως κέκτημαι, πρὸς ἣν ἐκεῖνος ἀνεπαύετο ʽἄειδε δ᾽ ἄρα κλέα ἀνδρῶν·᾽ ἡ δὲ Πάριδος πάντως μαλακήν τινα καὶ θήλειαν ἁρμονίαν ἐρωτικοῖς ἔψαλλε μέλεσι.᾽ φιλοσόφου τοίνυν ἐστὶ ψυχῆς σοφίας ἐρᾶν καὶ σοφοὺς ἄνδρας θαυμάζειν μάλιστα· E τοῦτο δ᾽ Ἀλεξάνδρῳ προσῆν ὡς οὐδενὶ τῶν βασιλέων. καὶ πῶς μὲν εἶχε πρὸς Ἀριστοτέλην εἴρηται καὶ ὅτι τὸν μὲν ἁρμονικὸν Ἀνάξαρχον ἐντιμότατον τῶν φίλων ἐνόμιζε, Πύρρωνι δὲ τῷ Ἠλείῳ πρῶτον ἐντυχόντι μυρίους χρυσοῦς ἔδωκε, Ξενοκράτει δὲ τῷ Πλάτωνος συνήθει πεντήκοντα τάλαντα δωρεὰν ἔπεμψεν· Ὀνησίκριτον δὲ τὸν Διογένους τοῦ Κυνὸς μαθητήν, ὅτι ἄρχοντα τῶν κυβερνητῶν κατέστησεν, ὑπὸ πλειόνων F ἱστόρηται. Διογένει δ᾽ αὐτῷ περὶ Κόρινθον εἰς λόγους ἐλθὼν οὕτως ἔφριξε καὶ κατεπλάγη τὸν βίον καὶ τὸ ἀξίωμα τοῦ ἀνδρός, ὥστε πολλάκις αὐτοῦ μνημονεύων λέγειν ʽεἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην,᾽ τουτέστιν ʽἠσχολούμην ἂν περὶ λόγους, εἰ μὴ δι᾽ ἔργων ἐφιλοσόφουν.᾽ οὐκ εἶπεν ʽεἰ μὴ

1 Hom. Γ 179 2 προὔλαβε?

βασιλεὺς ἤμην, Διογένης ἂν ἤμην,' οὐδ' 'εἰ μὴ πλούσιος καὶ Ἀργεάδης' (οὐ γὰρ προέκρινε τὴν 332 *τύχην τῆς σοφίας οὐδὲ τὴν πορφύραν καὶ τὸ διάδημα τῆς πήρας καὶ τοῦ τρίβωνος)· ἀλλ' εἶπεν 'εἰ μὴ Ἀλέξανδρος ἤμην, Διογένης ἂν ἤμην', τουτέστιν 'εἰ μὴ τὰ βαρβαρικὰ τοῖς Ἑλληνικοῖς κεράσαι διενοούμην καὶ πᾶσαν ἤπειρον ἐπιὼν ἐξημερῶσαι, καὶ πέρατα γῆς ἀνευρὼν καὶ θαλάττης ὠκεανῷ προσερεῖσαι Μακεδονίαν, καὶ τὴν Ἑλλάδα σπεῖραι καὶ καταχέασθαι γένους παντὸς εὐδικίαν καὶ εἰρήνην, οὐκ ἂν ἐν ἀπράκτῳ τρυφῶν ἐξουσίᾳ καθήμην, ἀλλ' ἐζήλουν ἂν τὴν Διογένους εὐτέλειαν. νῦν δὲ σύγγνωθι, Διόγενες,* B *Ἡρακλέα μιμοῦμαι καὶ Περσέα ζηλῶ, καὶ τὰ Διονύσου μετιὼν ἴχνη, θεοῦ γενάρχου καὶ προπάτορος, βούλομαι πάλιν ἐν Ἰνδίᾳ νικῶντας Ἕλληνας ἐγχορεῦσαι καὶ τοὺς ὑπὲρ Καύκασον ὀρείους καὶ ἀγρίους τῶν βακχικῶν ἀναμνῆσαι κώμων. κἀκεῖ τινες εἶναι λέγονται στερρᾶς καὶ γυμνήτιδος σοφίας ἐθάδες ἄνδρες ἱεροὶ καὶ αὐτόνομοι, θεῷ σχολάζοντες, εὐτελέστεροι Διογένους, οὐδὲν πήρας δεόμενοι· τροφὴν γὰρ οὐκ ἀποτίθενται, πρόσφατον ἀεὶ καὶ νέαν ἀπὸ γῆς ἔχοντες· ποτὸν δὲ ποταμοὶ ῥέουσι· φύλλα δ' αὐτοῖς* C *δένδρων ἀποχυθέντα καὶ πόα γῆς ἐγκατακλιθῆναι. δι' ἐμὲ κἀκεῖνοι Διογένη γνώσονται καὶ Διογένης ἐκείνους. δεῖ κἀμὲ νόμισμα παρακόψαι καὶ παραχαράξαι τὸ βαρβαρικὸν Ἑλληνικῇ πολιτείᾳ.'*

2 *προύκρινε?* 8 *προσερεῖσαι*] *προσορίσαι* Herwerdenus 9 *σπεῖραι*] deest aliquid. Fort. *τῇ Ἀσίᾳ* 23 *ἀποχυθέντα* R: *ἀποχυθέντων*

11. *Εἶεν· αἱ δὴ πράξεις αὐτοῦ πότερον αὐτοματισμὸν ἐπιφαίνουσι τύχης καὶ βίαν πολεμικὴν καὶ χειροκρασίαν, ἢ πολλὴν μὲν ἀνδρείαν καὶ δικαιοσύνην πολλὴν δὲ σωφροσύνην καὶ πραότητα μετὰ κόσμου καὶ συνέσεως, νήφοντι καὶ πεπνυμένῳ τῷ λογισμῷ πάντα πράττοντος; οὐ γάρ ἔστιν εἰπεῖν διακρίναντά με μὰ τοὺς θεούς, ὅτι τοῦτο μὲν ἀνδρείας, τοῦτο δὲ φιλανθρωπίας, τοῦτο δ' ἐγκρατείας· ἀλλὰ πᾶν ἔργον ἐκ πασῶν ἔοικε τῶν ἀρετῶν μεμῖχθαι· βεβαιοῦντος αὐτοῦ τὸν Στωικὸν ἐκεῖνον λόγον, ὅτι* D *πᾶν, ὃ ἂν δρᾷ ὁ σοφός, κατὰ πᾶσαν ἀρετὴν ἐνεργεῖ, καὶ μία μέν, ὡς ἔοικεν, ἀρετὴ πρωταγωνιστεῖ πράξεως ἑκάστης, παρακαλεῖ δὲ τὰς ἄλλας καὶ συντείνει πρὸς τὸ τέλος. ἰδεῖν γοῦν ἔστιν ἐν Ἀλεξάνδρῳ τὸ μὲν πολεμικὸν φιλάνθρωπον, τὸ δὲ πρᾶον ἀνδρῶδες, τὸ δὲ χαριστικὸν οἰκονομικόν, τὸ δὲ θυμικὸν εὐδιάλλακτον, τὸ δ' ἐρωτικὸν σῶφρον, τὸ δ' ἀνειμένον οὐκ ἀργόν, τὸ δ' ἐπίπονον οὐκ ἀπαραμύθητον. τίς ἔμιξε πολέμοις ἑορτάς; τίς δὲ κώμοις στρατείας; τίς δὲ πολιορκίαις καὶ παρατάξεσι βακχείας καὶ γάμους καὶ ὑμεναίους; τίς ἀδικοῦσιν ἐχθρότερος ἢ δυστυχοῦσιν ἡμερώτερος; τίς μαχομένοις βαρύτερος ἢ* E *δεομένοις εὐγνωμονέστερος; ἔπεισί μοι τὸ τοῦ Πώρου δεῦρο μετενεγκεῖν. ἐκεῖνος γὰρ ὡς ἤχθη πρὸς Ἀλέξανδρον αἰχμάλωτος, πυθομένου πῶς αὐτῷ χρήσηται, 'βασιλικῶς' εἶπεν 'ὦ Ἀλέξανδρε.' πάλιν δ' ἐπερομένου 'μή τι ἄλλο;' 'οὐδέν' εἶπε 'πάντα γὰρ ἔνεστιν ἐν τῷ*

3 *χειροκρασίαν*] *χειροκρατίαν* R 20 *παρατάξεσι* R: *πράξεσι* 27 *ἔνεστιν* p. 458b: *ἔστιν*

βασιλικῶς.’ κἀμοὶ δὴ ταῖς Ἀλεξάνδρου πράξεσιν ἔπεισιν ἐπιφωνεῖν ἀεί ‘φιλοσόφως·’ ἐν τούτῳ γὰρ πάντ’ ἔνεστι. Ῥωξάνης ἐρασθεὶς τῆς Ὀξυάθρου θυγατρὸς ἐν ταῖς αἰχμαλωτίσι χορευούσης οὐχ ὕβρι- F σεν ἀλλ’ ἔγημε· φιλοσόφως. Δαρεῖον ἰδὼν κατηκοντισμένον οὐκ ἔθυσεν οὐδ’ ἐπαιάνισεν ὡς τοῦ μακροῦ πολέμου τέλος ἔχοντος, ἀλλὰ τὴν χλαμύδα τὴν ἑαυτοῦ περιελὼν ἐπέρριψε τῷ νεκρῷ καθάπερ τινὰ τύχης βασιλικῆς νέμεσιν συγκαλύπτων· φιλοσόφως. ἐπιστολὴν δέ ποτε τῆς μητρὸς ἀπόρρητον διερχόμενος, Ἡφαιστίωνος ὡς ἔτυχε παρακαθημένου καὶ ἁπλῶς 333 συναναγιγνώσκοντος, οὐκ ἐκώλυσεν, ἀλλὰ τὸν δακτύλιον αὑτοῦ τῷ στόματι προσέθηκεν αὐτοῦ, κατασφραγισάμενος φιλικῇ πίστει τὴν σιωπήν· φιλοσόφως. εἰ γὰρ ταῦτ’ οὐκ ἔστι φιλοσόφως, τίν’ ἐστὶν ἄλλα;

12. Παραθῶμεν τὰ τῶν ὁμολογουμένων φιλοσόφων. Σωκράτης ἠνέσχετο συγκοιμηθέντος Ἀλκιβιάδου· Ἀλέξανδρος δέ, Φιλοξένου τοῦ τῆς παραλίας ὑπάρχου γράψαντος, ὅτι παῖς ἐν Ἰωνίᾳ γέγονεν οἷος οὐκ ἄλλος ὥραν καὶ εἶδος, καὶ πυνθανομένου διὰ τῶν γραμμάτων εἰ ἀναπέμψῃ, πικρῶς ἀντέγραψεν ‘ὦ κάκιστ’ ἀνθρώπων, τί μοι πώποτε τοιοῦτο συνέγνως, B ἵνα τοιαύταις με κολακεύσῃς ἡδοναῖς;’ Ξενοκράτην, πεντήκοντα τάλαντα δωρεὰν Ἀλεξάνδρου πέμψαντος, ὅτι οὐκ ἔλαβε θαυμάζομεν· τὸ δὲ δοῦναι, οὔ; ἢ οὐχ ὁμοίως καταφρονεῖν χρημάτων δοκοῦμεν τὸν μὴ προσιέμενον καὶ τὸν χαριζόμενον; οὐκ ἐδεῖτο πλού-

4 αἰχμαλωτίσι *: αἰχμαλώτισι 9 νέμεσιν R: γένεσιν
21 ἀναπέμψῃ Cobetus: ἀναπέμψει

του Ξενοκράτης διὰ φιλοσοφίαν, Ἀλέξανδρος δ' ἐδεῖτο διὰ φιλοσοφίαν, ἵνα τοιούτοις χαρίζηται. ** τοῦτο ποσάκις Ἀλέξανδρος εἶπε βαλλόμενος, ἐκβιαζόμενος; καίτοι κρίσεις μὲν ὀρθὰς πᾶσιν ἐνυπάρχειν ἀνθρώποις νομίζομεν· ἡ γὰρ φύσις ἀγωγός ἐστιν ἀφ' ἑαυτῆς πρὸς τὸ καλόν· οἱ δὲ φιλόσοφοι τῶν πολλῶν C διαφέρουσι τῷ τὰς κρίσεις ἔχειν ἐρρωμένας παρὰ τὰ δεινὰ καὶ πεπηγυίας· ἐπεὶ οὐ μετὰ τῶν τοιούτων προλήψεων 'εἷς οἰωνὸς ἄριστος' καί 'πέρας μέν ἐστιν ἅπασιν ἀνθρώποις ὁ θάνατος.' ἀλλὰ θραύουσιν οἱ καιροὶ παρὰ τὰ δεινὰ τοὺς λογισμούς, καὶ τὰς κρίσεις ἐκκρούουσιν αἱ φαντασίαι τῶν κινδύνων ἐγγὺς γενομένων. 'φόβος γάρ' οὐ μόνον 'μνήμην ἐκπλήττει' κατὰ τὸν Θουκυδίδην, ἀλλὰ καὶ προαίρεσιν πᾶσαν καὶ φιλοτιμίαν καὶ ὁρμήν, εἰ μὴ μηρίνθους φιλοσοφία περιτέθεικεν **

2 lacunam add. Duebnerus 9 εἷς οἰωνὸς] Hom. *M* 243 13 ἐκπλήσσει Thucydides II 87 15 εἰ μὴ Emperius 16 lacunae signa dedit idem

D

ΠΕΡΙ ΤΗΣ ΑΛΕΞΑΝΔΡΟΥ ΤΥΧΗΣ Η ΑΡΕΤΗΣ.

ΛΟΓΟΣ Β′.

Διέφυγεν ἡμᾶς, ὡς ἔοικε, χθὲς εἰπεῖν, ὅτι καὶ
E τέχνας πολλὰς καὶ φύσεις μεγάλας ὁ κατ' Ἀλέξαν-
δρον χρόνος ἐνεγκεῖν εὐτύχησεν· ἢ τοῦτο μὲν οὐ
τῆς Ἀλεξάνδρου τύχης γέγονεν ἀλλὰ τῆς ἐκείνων,
μάρτυρα λαβεῖν καὶ θεατὴν τὸν ἄριστα κρῖναι τὸ
κατορθούμενον καὶ μάλιστ' ἀμείψασθαι δυνάμενον.
λέγεται γοῦν, ὅτι χρόνοις ὕστερον, Ἀρχεστράτου
γενομένου ποιητοῦ χαρίεντος ἐν δὲ πενίᾳ καὶ ἀδοξίᾳ
διάγοντος, εἶπέ τις πρὸς αὐτόν 'ἀλλ' εἰ κατ' Ἀλέ-
ξανδρον ἐγένου, κατὰ στίχον ἄν σοι Κύπρον ἢ Φοι-
νίκην ἔδωκεν.' οἶμαι δὲ καὶ τῶν τότε τεχνιτῶν οὐ
F κατ' Ἀλέξανδρον ἀλλὰ δι' Ἀλέξανδρον τοὺς πρώτους
γενέσθαι. καρπῶν μὲν γὰρ εὐφορίαν εὐκρασία ποιεῖ
καὶ λεπτότης τοῦ περιέχοντος ἀέρος, τεχνῶν δὲ καὶ
φύσεων ἀγαθῶν αὔξησιν εὐμένεια καὶ τιμὴ καὶ
φιλανθρωπία βασιλέως ἐκκαλεῖται· καὶ τοὐναντίον

14 ἀέρος del. Abreschius

ὑπὸ φθόνου καὶ σμικρολογίας ἢ φιλονεικίας τῶν κρατούντων σβέννυται καὶ φθίνει πᾶν τὸ τοιοῦτο. Διονύσιος γοῦν ὁ τύραννος, ὥς φασι, κιθαρῳδοῦ τινος εὐδοκιμοῦντος ἀκούων ἐπηγγείλατο δωρεὰν αὐτῷ τάλαντον· τῇ δ' ὑστεραίᾳ τοῦ ἀνθρώπου τὴν ὑπόσχεσιν ἀπαιτοῦντος, 'χθές' εἶπεν 'εὐφραινόμενος ὑπὸ σοῦ παρ' ὃν ᾖδες χρόνον εὔφρανα κἀγώ σε ταῖς 334
ἐλπίσιν· ὥστε τὸν μισθὸν ὧν ἔτερπες ἀπελάμβανες εὐθὺς ἀντιτερπόμενος.' Ἀλέξανδρος δ' ὁ Φεραίων τύραννος (ἔδει δὲ τοῦτο μόνον αὐτὸν καλεῖσθαι καὶ μὴ καταισχύνειν τὴν ἐπωνυμίαν), θεώμενος τραγῳδὸν ἐμπαθέστερον ὑφ' ἡδονῆς διετέθη πρὸς τὸν οἶκτον. ἀναπηδήσας οὖν ἐκ τοῦ θεάτρου θᾶττον ἢ βάδην ἀπῄει, δεινὸν εἶναι λέγων, εἰ τοσούτους ἀποσφάττων πολίτας ὀφθήσεται τοῖς Ἑκάβης καὶ Πολυξένης πάθεσιν ἐπιδακρύων. οὗτος μὲν οὖν μικροῦ καὶ δίκην ἐπράξατο τὸν τραγῳδόν, ὅτι τὴν ψυχὴν αὐτοῦ B
καθάπερ σίδηρον ἐμάλαξεν. Ἀρχελάῳ δὲ δοκοῦντι γλισχροτέρῳ περὶ τὰς δωρεὰς εἶναι Τιμόθεος ᾄδων ἐνεσήμαινε πολλάκις τουτὶ τὸ κομμάτιον

'σὺ δὲ τὸν γηγενέταν ἄργυρον αἰνεῖς.'

ὁ δ' Ἀρχέλαος οὐκ ἀμούσως ἀντεφώνησε 'σὺ δέ γ' αἰτεῖς' ὁ δὲ τῶν Σκυθῶν βασιλεὺς Ἀτέας Ἰσμηνίαν τὸν αὐλητὴν λαβὼν αἰχμάλωτον, ἐκέλευσε παρὰ πότον αὐλῆσαι. θαυμαζόντων δὲ τῶν ἄλλων καὶ κροτούντων, αὐτὸς ὤμοσεν ἀκροᾶσθαι τοῦ ἵππου χρεμετίζοντος ἥδιον. οὕτω μακρὰν ἀπεσκηνώκει τὰ ὦτα τῶν

20 κομμάτιον M: σκωμμάτιον 21 Bergk 3 p. 624 δὲ p. 177 b: δὴ 23 Ἀτέας Basileensis: ἀντέας

C Μουσῶν, καὶ τὴν ψυχὴν ἐν ταῖς φάτναις εἶχεν, οὐχ ἵππων ἀλλ' ὄνων ἐπιτηδειοτέραν ἀκούειν. τίς ἂν οὖν παρὰ τοιούτοις βασιλεῦσιν αὔξησις ἢ τιμὴ τέχνης γένοιτο καὶ Μούσης τοιαύτης; ἀλλ' οὐδὲ παρὰ τοῖς ἀντιτέχνοις ἐθέλουσιν εἶναι, καὶ διὰ τοῦτο βασκανίᾳ καὶ δυσμενείᾳ τοὺς ἀληθῶς τεχνίτας καθαιροῦσιν. οἷος ἦν πάλιν αὖ Διονύσιος ὁ τὸν ποιητὴν Φιλόξενον εἰς τὰς λατομίας ἐμβαλών, ὅτι τραγῳδίαν αὐτοῦ διορθῶσαι κελευσθείς, εὐθὺς ἀπὸ τῆς ἀρχῆς ὅλην μέχρι τῆς κορωνίδος περιέγραψεν. ἦν δὲ καὶ Φίλιππος ἐν τούτοις ὑπ' ὀψιμαθίας ἑαυτοῦ μικρότερος καὶ νεοπρεπέστερος· ὅθεν καί φασι πρός τινα ψάλτην περὶ κρουμάτων αὐτοῦ διαφερομένου καὶ D δοκοῦντος ἐξελέγχειν, ἀτρέμα μειδιάσαντα τὸν ἄνθρωπον εἰπεῖν 'μὴ γένοιτό σοι, βασιλεῦ, ἀθλίως οὕτως, ἵνα ταῦτ' ἐμοῦ βέλτιον εἰδῇς.'

2. Ἀλλ' Ἀλέξανδρος εἰδὼς τίνων δεῖ θεατὴν εἶναι καὶ ἀκροατὴν καὶ τίνων ἀγωνιστὴν καὶ αὐτουργόν, ἤσκει μὲν ἀεὶ διὰ τῶν ὅπλων δεινὸς εἶναι καὶ κατὰ τὸν Αἰσχύλον

'βριθὺς ὁπλιτοπάλας, δάιος ἀντιπάλοις.'

ταύτην ἔχων τέχνην προγονικὴν ἀπ' Αἰακιδῶν, ἀφ' Ἡρακλέους, ταῖς δ' ἄλλαις τέχναις τὸ τιμᾶν ἄνευ τοῦ ζηλοῦν ἀπεδίδου κατὰ τὸ ἔνδοξον αὐτῶν καὶ χάριεν, τῷ τέρπειν δ' οὐκ ἦν εὐάλωτος εἰς τὸ μιμεῖσθαι. γεγόνασι δὲ κατ' αὐτὸν τραγῳδοὶ μὲν οἱ περὶ E Θετταλὸν καὶ ὁ Ἀθηνόδωρος, ὧν ἀνταγωνιζομένων

4 ἀλλ' οὐδὲ — ἀντιτέχνοις] sana sunt 21 Bergk. 2 p. 242

ἀλλήλοις, ἐχορήγουν μὲν οἱ Κύπριοι βασιλεῖς ἔκρινον δ' οἱ δοκιμώτατοι τῶν στρατηγῶν. ἐπεὶ δ' ἐνίκησεν Ἀθηνόδωρος, 'ἐβουλόμην ἄν' ἔφη 'μᾶλλον ἀπολωλέναι μέρος τῆς βασιλείας ἢ Θετταλὸν ἐπιδεῖν ἡττημένον.' ἀλλ' οὔτ' ἐνέτυχε τοῖς κριταῖς οὔτε τὴν κρίσιν ἐμέμψατο, πάντων οἰόμενος δεῖν περιεῖναι, τοῦ δικαίου δ' ἡττᾶσθαι. κωμῳδοὶ δ' ἦσαν οἱ περὶ F Λύκωνα τὸν Σκαρφέα· τούτῳ δ' εἴς τινα κωμῳδίαν ἐμβαλόντι στίχον αἰτητικὸν γελάσας ἔδωκε δέκα τάλαντα. κιθαρῳδοὶ δ' ἄλλοι τε καὶ Ἀριστόνικος, ὃς ἐν μάχῃ τινὶ προσβοηθήσας ἔπεσε λαμπρῶς ἀγωνισάμενος. ἐκέλευσεν οὖν αὐτοῦ γενέσθαι καὶ σταθῆναι χαλκοῦν ἀνδριάντα Πυθοῖ, κιθάραν ἔχοντα καὶ δόρυ προβεβλημένον, οὐ τὸν ἄνδρα τιμῶν μόνον, ἀλλὰ καὶ μουσικὴν κοσμῶν ὡς ἀνδροποιὸν καὶ μάλιστα δὴ πληροῦσαν ἐνθουσιασμοῦ καὶ ὁρμῆς τοὺς γνησίως 335 ἐντρεφομένους. καὶ γὰρ αὐτός, Ἀντιγενίδου ποτὲ τὸν ἁρμάτειον αὐλοῦντος νόμον, οὕτω παρέστη καὶ διεφλέχθη τὸν θυμὸν ὑπὸ τῶν μελῶν, ὥστε τοῖς ὅπλοις ᾄξας ἐπιβαλεῖν τὰς χεῖρας ἐγγὺς παρακειμένοις καὶ μαρτυρῆσαι τοῖς Σπαρτιάταις ᾄδουσιν

'ἕρπει γὰρ ἄντα τῶ σιδάρω τὸ καλῶς κιθαρίσδειν.'

ἦν δὲ καὶ Ἀπελλῆς ὁ ζωγράφος καὶ Λύσιππος ὁ πλάστης κατ' Ἀλέξανδρον· ὧν ὁ μὲν ἔγραψε τὸν κεραυνοφόρον οὕτως ἐναργῶς καὶ κεκραμένως, ὥστε λέγειν, ὅτι δυεῖν Ἀλεξάνδρων ὁ μὲν Φιλίππου γέγονεν ἀνίκητος, ὁ δ' Ἀπελλοῦ ἀμίμητος. Λυσίππου δὲ τὸν B

20 ᾄξας *: ἀΐξας 22 Bergk. 3 p. 51 τῶ σιδάρω Welckerus: τῷ σιδάρῳ

πρῶτον Ἀλέξανδρον πλάσαντος, ἄνω βλέποντα τῷ προσώπῳ πρὸς τὸν οὐρανὸν (ὥσπερ αὐτὸς εἰώθει βλέπειν Ἀλέξανδρος ἡσυχῇ παρεγκλίνων τὸν τράχηλον) ἐπέγραψέ τις οὐκ ἀπιθάνως

'αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος εἰς Δία λεύσσων,
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι· Ζεῦ, σὺ δ' Ὄλυμπον ἔχε.'

διὸ καὶ μόνον Ἀλέξανδρος ἐκέλευε Λύσιππον εἰκόνας αὐτοῦ δημιουργεῖν. μόνος γὰρ οὗτος, ὡς ἔοικε, κατεμήνυε τῷ χαλκῷ τὸ ἦθος αὐτοῦ καὶ συνεξέφαινε τῇ μορφῇ τὴν ἀρετήν· οἱ δ' ἄλλοι τὴν ἀποστροφὴν τοῦ C τραχήλου καὶ τῶν ὀμμάτων τὴν διάχυσιν καὶ ὑγρότητα μιμεῖσθαι θέλοντες οὐ διεφύλαττον αὐτοῦ τὸ ἀρρενωπὸν καὶ λεοντῶδες. ἐν δ' οὖν τοῖς ἄλλοις τεχνίταις καὶ Στασικράτης ἦν ἀρχιτέκτων, οὐδὲν ἀνθηρὸν οὐδ' ἡδὺ καὶ πιθανὸν τῇ ὄψει διώκων, ἀλλὰ καὶ χειρὶ μεγαλουργῷ καὶ διαθέσει χορηγίας βασιλικῆς οὐκ ἀποδεούσῃ χρώμενος. οὗτος ἀναβὰς πρὸς Ἀλέξανδρον ἐμέμφετο τὰς γραφομένας εἰκόνας αὐτοῦ καὶ γλυφομένας καὶ πλαττομένας, ὡς ἔργα δειλῶν τεχνιτῶν καὶ ἀγεννῶν· 'ἐγὼ δ'' εἶπεν 'εἰς ἄφθαρτον, ὦ βασιλεῦ, καὶ ζῶσαν ὕλην καὶ ῥίζας D ἔχουσαν ἀιδίους καὶ βάρος ἀκίνητον καὶ ἀσάλευτον ἔγνωκά σου τὴν ὁμοιότητα καταθέσθαι τοῦ σώματος. ὁ γὰρ Θρᾴκιος Ἄθως, ᾗ μέγιστος αὐτὸς αὑτοῦ καὶ περιφανέστατος ἐξανέστηκεν, ἔχων ἑαυτῷ σύμμετρα πλάτη καὶ ὕψη καὶ μέλη καὶ ἄρθρα καὶ διαστήματα μορ-

1 πρῶτον] del. Abreschius 2. 3 τῷ προσώπῳ πρὸς τὸν οὐρανὸν et Ἀλέξανδρος] del. idem 5 vid. p. 331 a 8 ἐγκατεμήνυε R 9 συνεξέφαινε Abreschius: συνεξέφερε 24 αὐτὸς αὑτοῦ Herwerdenus: αὑτοῦ

φοειδῆ, δύναται κατεργασθεὶς καὶ σχηματισθεὶς εἰκὼν Ἀλεξάνδρου καλεῖσθαι καὶ εἶναι, ταῖς μὲν βάσεσιν ἁπτομένου τῆς θαλάσσης, τῶν δὲ χειρῶν τῇ μὲν ἐναγκαλιζομένου καὶ φέροντος πόλιν ἐνοικουμένην μυρίανδρον, τῇ δὲ δεξιᾷ ποταμὸν ἀέναον ἐκ φιάλης σπένδοντος εἰς τὴν θάλασσαν ἐκχεόμενον. χρυσὸν δὲ καὶ χαλκὸν καὶ ἐλέφαντα καὶ ξύλα καὶ βαφάς, E ἐκμαγεῖα μικρὰ καὶ ὠνητὰ καὶ κλεπτόμενα καὶ συγχεόμενα, καταβάλωμεν.' ταῦτ' ἀκούσας Ἀλέξανδρος τὸ μὲν φρόνημα τοῦ τεχνίτου καὶ τὸ θάρσος ἀγασθεὶς ἐπῄνεσεν, 'ἔα δὲ κατὰ χώραν' ἔφη 'τὸν Ἄθω μένειν· ἀρκεῖ γὰρ ἑνὸς βασιλέως ἐνυβρίσαντος εἶναι μνημεῖον· ἐμὲ δ' ὁ Καύκασος δείξει καὶ τὰ Ἠμωδὰ καὶ Τάναϊς καὶ τὸ Κάσπιον πέλαγος, αὗται τῶν ἐμῶν ἔργων εἰκόνες.'

3. Ἀλλὰ φέρε πρὸς θεῶν ἐκτελεσθῆναι καὶ φανῆναι τοιοῦτον ἔργον· ἔσθ' ὅστις ἂν ἰδὼν ὑπέλαβε κατὰ τύχην γεγονέναι καὶ αὐτομάτως τὸ σχῆμα καὶ τὴν διάθεσιν καὶ τὸ εἶδος; οὐδεὶς ἂν οἶμαι. τί δὲ τὸν F κεραυνοφόρον; τί δὲ τὸν ἐπὶ τῆς αἰχμῆς προσαγορευόμενον; εἶτ' ἀνδριάντος μὲν μέγεθος οὐκ ἂν ἄνευ τέχνης ὑπὸ τύχης γένοιτο χρυσὸν καὶ χαλκὸν καὶ ἐλέφαντα καὶ πολλὴν καὶ πλουσίαν ὕλην καταχεαμένης καὶ παραβαλούσης· ἄνδρα δὲ μέγαν, μᾶλλον δὲ τῶν γεγονότων ἁπάντων μέγιστον, ἐνδέχεται χωρὶς ἀρετῆς ἀποτελεσθῆναι διὰ τύχην, ὅπλα καὶ 336 χρήματα καὶ πόλεις καὶ ἵππους παρασκευάσασαν; ἃ

5 ἀέναον *: ἀένναον 8 ἐκμαγεῖα R: καὶ ἐκμαγεῖα 11 μένειν] del. Abreschius

τῷ μὴ μαθόντι χρῆσθαι κίνδυνός ἐστιν, οὐ δύναμις οὐδὲ κόσμος, ἀλλ᾽ ἔλεγχος τῆς ἀσθενείας καὶ μικρότητος. ὀρθῶς γὰρ Ἀντισθένης ἔλεγεν ὅτι ‘πάντα δεῖ τοῖς πολεμίοις εὔχεσθαι τἀγαθὰ πλὴν ἀνδρείας· γίγνεται γὰρ οὕτως οὐ τῶν ἐχόντων, ἀλλὰ τῶν κρατούντων.’ διὰ τοῦτό φασι καὶ τὴν φύσιν ἀγεννεστάτῳ ζῴῳ τῷ ἐλάφῳ κέρατα θαυμαστὰ τῷ μεγέθει καὶ τραχύτητι πρὸς ἄμυναν ἐμφῦσαι, διδάσκουσαν ἡμᾶς ὡς οὐδὲν ὠφελεῖ τὸ ἰσχύειν καὶ ὡπλίσθαι τοὺς B μένειν καὶ θαρρεῖν μὴ δυναμένους. οὕτω καὶ ἡ τύχη πολλάκις ἀτόλμοις καὶ ἀνοήτοις προσάπτουσα δυνάμεις καὶ ἀρχάς, αἷς ἐνασχημονοῦσι, κοσμεῖ καὶ συνίστησι τὴν ἀρετὴν ὡς μόνην μέγεθος ἀνδρὸς καὶ κάλλος οὖσαν. ‘εἰ μὲν γάρ’ ὥς φησιν Ἐπίχαρμος ‘νοῦς ὁρῇ καὶ νοῦς ἀκούει, τἄλλα δὲ τυφλὰ καὶ κωφὰ τυγχάνει λόγου δεόμενα.’ αἱ γὰρ αἰσθήσεις ἰδίας ἔχειν ἀφορμὰς δοκοῦσιν· ὅτι δὲ νοῦς ὠφελεῖ καὶ νοῦς κοσμεῖ καὶ νοῦς τὸ νικῶν καὶ κρατοῦν καὶ βασιλεῦον, τὰ δ᾽ ἄλλα τυφλὰ καὶ κωφὰ καὶ ἄψυχα παρέλκει καὶ βαρύνει καὶ καταισχύνει χωρὶς ἀρετῆς τοὺς C ἔχοντας, ἀπὸ τῶν πραγμάτων λαβεῖν ἔστι. τῆς γὰρ αὐτῆς δυνάμεως ὑποκειμένης καὶ ἡγεμονίας, Σεμίραμις μὲν οὖσα γυνὴ στόλους ἐπλήρου καὶ φάλαγγας ὥπλιζε καὶ Βαβυλῶνας ἔκτιζε, καὶ περιέπλει τὴν Ἐρυθρὰν θάλασσαν Αἰθίοπας καταστρεφομένη καὶ Ἄραβας· Σαρδανάπαλος δ᾽ ἀνὴρ πεφυκὼς ἔξαινεν οἴκοι πορφύραν, ἀναβάδην ἐν ταῖς παλλακαῖς καθή-

4 τἀγαθὰ *: τὰ ἀγαθὰ   14 εἰ μὲν] εὖ μὲν W. ἡμῖν? γάρ᾽ ὥς] γάρ πώς W   Ἐπίχαρμος] Mullach. 1 p. 144

μενος· ἀποθανόντος δ' αὐτοῦ, λιθίνην εἰκόνα κατασκευάσαντες ἐποχουμένην ἑαυτῇ βαρβαριστὶ καὶ τοῖς δακτύλοις ὑπὲρ κεφαλῆς οἷον ὑποψοφοῦσαν, ἐπέγραψαν 'ἔσθιε, πῖνε, ἀφροδισίαζε· τἄλλα δ' οὐδέν.' ὁ μὲν οὖν Κράτης ἰδὼν χρυσῆν εἰκόνα Φρύνης τῆς D ἑταίρας ἑστῶσαν ἐν Δελφοῖς ἀνέκραγεν, ὅτι τοῦτο τῆς τῶν Ἑλλήνων ἀκρασίας τρόπαιον ἕστηκε· τὸν δὲ Σαρδαναπάλου βίον ἄν τις ἢ τάφον (οὐδὲν γάρ, οἶμαι, διαφέρει) θεασάμενος εἴποι τοῦτο τῶν τῆς Τύχης ἀγαθῶν τρόπαιον εἶναι. τί οὖν; ἐάσωμεν τὴν Τύχην Ἀλεξάνδρου μετὰ Σαρδανάπαλον ἅψασθαι καὶ τοῦ μεγέθους ἐκείνου καὶ τῆς δυνάμεως ἀντιποιεῖσθαι; τί γὰρ αὐτῷ πλέον ἔδωκεν ὧν οἱ λοιποὶ βασιλεῖς ἔλαβον παρ' αὐτῆς; ὅπλων, ἵππων, βελῶν, χρημάτων, δορυφόρων; ποιησάτω τούτοις ἡ Τύχη μέγαν Ἀριδαῖον, εἰ δύναται· ποιησάτω τούτοις μέγαν Ἄμασιν E ἢ Ὦχον ἢ Ὀάρσην ἢ Τιγράνην τὸν Ἀρμένιον ἢ τὸν Βιθυνὸν Νικομήδην· ὧν ὁ μὲν τὸ διάδημα τοῖς Πομπηίου ποσὶν ὑπορρίψας αἰσχρῶς τὴν βασιλείαν ἀπέβαλε, λάφυρον γενομένην· Νικομήδης δὲ τὴν κεφαλὴν ξυράμενος καὶ πιλίον ἐπιθέμενος ἀπελεύθερον ἑαυτὸν Ῥωμαίων ἀνηγόρευσεν.

4. Εἴπωμεν οὖν, ὅτι μικροὺς ἡ Τύχη καὶ περιδεεῖς ποιεῖ καὶ ταπεινόφρονας· ἀλλ' οὐ δίκαιον οὔτε κακίαν εἰς ἀτυχίαν οὔτ' ἀνδρείαν καὶ φρόνησιν εἰς εὐτυχίαν τινὰ τίθεσθαι. μέγα δὲ τῷ ἄρχειν Ἀλέξανδρον ἡ Τύχη· καὶ γὰρ ἔνδοξος ἐν ἐκείνῳ καὶ ἀήττητος καὶ μεγαλόφρων καὶ ἀνύβριστος καὶ φιλάν- F

2 ἐποχουμένην Coraes: ἐπορχουμένην 3 ἀποψοφοῦσαν R

θρωπος. εἶτ' ἐκλιπόντος εὐθύς, ὁ Λεωσθένης ἔλεγε τὴν δύναμιν ἐμπλανωμένην ἑαυτῇ καὶ περιπίπτουσαν ἐοικέναι τῷ Κύκλωπι μετὰ τὴν τύφλωσιν ἐκτείνοντι πανταχοῖ τὰς χεῖρας ἐπ' οὐδένα σκοπὸν φερομένας· οὕτως ἐρρέμβετο κενεμβατοῦν καὶ σφαλλόμενον ὑπ' ἀναρχίας τὸ μέγεθος αὐτῆς. μᾶλλον δ' ὥσπερ τὰ νεκρὰ σώματα, τῆς ψυχῆς ἐκλιπούσης, οὐκέτι συνέστηκεν οὐδὲ συμπέφυκεν, ἀλλ' ἐξίσταται καὶ διαλύεται ἀπ' ἀλλήλων καὶ ἄπεισι καὶ φεύγει· οὕτως ἀφεῖσα τὸν Ἀλέξανδρον ἡ δύναμις ἤσπαιρεν, ἐπάλλετο,
337 *ἐφλέγμαινε, Περδίκκαις καὶ Μελεάγροις καὶ Σελεύκοις καὶ Ἀντιγόνοις, ὥσπερ πνεύμασι θερμοῖς ἔτι καὶ σφυγμοῖς διάττουσι καὶ διαφερομένοις· τέλος δ' ἀπομαραινομένη καὶ φθίνουσα περὶ αὑτὴν οἷον εὐλάς τινας ἀνέζεσεν ἀγεννῶν βασιλέων καὶ ἡγεμόνων ψυχορραγούντων. αὐτὸς μὲν οὖν ταῦθ' ὡς ἔοικεν Ἡφαιστίωνι διενεχθέντι πρὸς Κρατερὸν ἐπιτιμῶν 'τίς δ'' εἶπεν 'ἡ σὴ δύναμις ἢ πρᾶξις, ἄν σού τις ἀφέλῃ τὸν Ἀλέξανδρον;' ἐγὼ δὲ τοῦτ' εἰπεῖν πρὸς τὴν τότε Τύχην οὐκ ὀκνήσω 'τί σου τὸ μέγεθος, τίς δ' ἡ δόξα, ποῦ δ' ἡ δύναμις, ποῦ δὲ τὸ ἀνίκητον,*
B *ἄν σού τις ἀφέλῃ τὸν Ἀλέξανδρον;' τουτέστιν 'ἄν σού τις ἀφέλῃ τῶν ὅπλων τὴν ἐμπειρίαν, τοῦ πλούτου τὴν φιλοτιμίαν, τῆς πολυτελείας τὴν ἐγκράτειαν, ὧν ἀγωνίζῃ τὸ θάρσος, ἐν οἷς κρατεῖς τὴν πρᾳότητα; ποίησον ἄλλον εἰ δύνασαι μέγαν, τοῖς χρήμασι μὴ*

1 *ἐκλιπόντος* *: *ἐκλείποντος* 4 *πανταχοῖ* Abreschius: *πανταχοῦ* 8 *ἀλλ' ἐξίσταται*] *ἀλλὰ διίσταται* idem 9 *ἀπ' ἀλλήλων — φεύγει*] del. idem 14 *αὑτὴν* Duebnerus: *αὐτὴν*

χαριζόμενον, τοῖς στρατεύμασι μὴ προκινδυνεύοντα, τοὺς φίλους μὴ τιμῶντα, τοὺς αἰχμαλώτους μὴ ἐλεοῦντα, ταῖς ἡδοναῖς μὴ σωφρονοῦντα, τοῖς καιροῖς μὴ ἀγρυπνοῦντα, ταῖς νίκαις μὴ εὐδιάλλακτον, τοῖς κατορθώμασι μὴ φιλάνθρωπον. τίς μέγας ἐν ἐξουσίαις μετ᾽ ἀβελτερίας καὶ μοχθηρίας; ἄφελε τὴν ἀρετὴν τοῦ εὐτυχοῦντος, καὶ πανταχοῦ μικρός ἐστιν, C ἐν χάρισι διὰ σμικρολογίαν, ἐν πόνοις διὰ μαλακίαν, παρὰ θεοῖς διὰ δεισιδαιμονίαν, πρὸς ἀγαθοὺς διὰ φθόνον, ἐν ἀνδράσι διὰ φόβον, ἐν γυναιξὶ διὰ φιληδονίαν.᾽ ὥσπερ γὰρ οἱ φαῦλοι τεχνῖται βάσεις μεγάλας μικροῖς ὑφιστάντες ἀναθήμασιν ἐλέγχουσιν αὐτῶν καὶ τὰς μικρότητας· οὕτως ἡ Τύχη ὅταν μικρὸν ἦθος ἐξάρῃ πράγμασιν ἔχουσιν ὄγκον τινὰ καὶ περιφάνειαν, ἐπιδείκνυσι μᾶλλον καὶ καταισχύνει σφαλλόμενον καὶ σαλευόμενον ὑπὸ κουφότητος.

5. Ὅθεν οὐκ ἐν τῇ κτήσει τῶν ἀγαθῶν ἀλλ᾽ ἐν D τῇ χρήσει τὸ μέγ᾽ ἐστίν, ἐπεὶ καὶ νήπια βρέφη κληρονομεῖ βασιλείας πατρῴας καὶ ἀρχάς, ὡς Χάριλλος, ὃν Λυκοῦργος ἅμα τῷ σπαργάνῳ κομίσας εἰς τὸ φιδίτιον ἀνθ᾽ ἑαυτοῦ βασιλέα τῆς Σπάρτης ἀνηγόρευσε· καὶ οὐκ ἦν μέγας ὁ νήπιος, ἀλλ᾽ ὁ τῷ νηπίῳ τὸ πατρῷον ἀποδοὺς γέρας καὶ μὴ σφετερισάμενος μηδ᾽ ἀποστερήσας. Ἀριδαῖον δὲ τίς ἂν ἐποίησε μέγαν, ὃν οὐδὲν νηπίου διαφέροντα μονονοὺ σπαργανώσας τῇ πορφύρᾳ Μελέαγρος εἰς τὸν Ἀλεξάνδρου θρόνον ἔθηκεν, εὖ γε ποιῶν, ἵν᾽ ὀφθῇ παρ᾽ ἡμέρας ὀλίγας, E

6 ἀβελτερίας *: ἀβελτηρίας 11 βάσεις W: καὶ βάσεις 13 αὑτῶν R 25 μόνον οὐ Duebnerus: μόνον δὲ

πῶς ἀρετῇ βασιλεύουσιν ἄνθρωποι καὶ πῶς τύχῃ. ἀγωνιστῇ γὰρ ἡγεμονίας ὑποκριτὴν ἐπεισήγαγε, μᾶλλον δ' ὡς ἐπὶ σκηνῆς τὸ διάδημα κωφὸν διεξῆλθε τῆς οἰκουμένης.

'καί κε γυνὴ φέροι ἄχθος, ἐπεί κεν ἀνὴρ ἀναθείη.'

τοὐναντίον μὲν οὖν εἴποι τις ἄν, ὅτι λαβεῖν καὶ ἀναθέσθαι δύναμιν καὶ πλοῦτον καὶ ἀρχὴν καὶ γυναικός ἐστι καὶ παιδός· Ὀάρσῃ καὶ Δαρείῳ Βαγώας ὁ εὐνοῦχος ἀράμενος ἐπέθηκε τὴν Περσῶν βασιλείαν· τὸ δὲ λαβόντα μεγάλην ἐξουσίαν ἐνεγκεῖν καὶ μεταχειρίσασθαι καὶ μὴ συντριβῆναι μηδὲ διαστραφῆναι
F τῷ βάρει καὶ μεγέθει τῶν πραγμάτων, ἀνδρός ἐστιν ἀρετὴν καὶ νοῦν καὶ φρόνημ' ἔχοντος· ἣν Ἀλέξανδρος ἔσχεν, ᾧ μέθην τινὲς ἐγκαλοῦσι καὶ οἴνωσιν. ὁ δ' ἦν μέγας, ἐν τοῖς πράγμασι νήφων καὶ μὴ μεθυσθεὶς μηδὲ βακχευθεὶς ὑπ' ἐξουσίας καὶ δυνάμεως, ἧς μικρὸν ἕτεροι μεταλαβόντες καὶ ἀπογευσάμενοι κρατεῖν ἑαυτῶν οὐ δύνανται·

'κακοὶ γὰρ ἐμπλησθέντες ἢ νομίσματος,
ἢ πόλεος ἐμπεσόντες εἰς τιμάς τινας,
σκιρτῶσιν, ἀδόκητ' εὐτυχησάντων δόμων.'

338 Κλεῖτος ἐν Ἀμοργῷ τρεῖς ἢ τέτταρας Ἑλληνικὰς ἀνατρέψας τριήρεις Ποσειδῶν ἀνηγορεύθη καὶ τρίαιναν ἐφόρει. Δημήτριος δέ, ᾧ τῆς Ἀλεξάνδρου δυνάμεως ἡ Τύχη σμικρὸν ἀποσπάσασα προσέθηκε, Καταιβάτης καλούμενος ὑπήκουε, καὶ πρέσβεις πρὸς αὐτὸν οὐκ ἔπεμπον ἀλλὰ θεωροὺς αἱ πόλεις, καὶ τὰς ἀπο-

5 Aristoph. Equ. 1056   19 Nauck. p. 374   25 σμικρὸν] fort. add. μόριον cum R

κρίσεις χρησμοὺς προσηγόρευον. Λυσίμαχος τὰ περὶ Θράκην ὥσπερ ἐσχατιάς τινας τῆς βασιλείας κατασχὼν εἰς τοσοῦτον ὑπεροψίας ἔφθασε καὶ θρασύτητος, ὥστ' εἰπεῖν 'νῦν Βυζάντιοι πρὸς ἐμὲ ἥκουσιν, ὅτε B τῇ λόγχῃ τοῦ οὐρανοῦ ἅπτομαι.' παρὼν δὲ Πασιάδης ὁ Βυζάντιος 'ὑπάγωμεν' ἔφη 'μὴ τῇ ἐπιδορατίδι τὸν οὐρανὸν τρυπήσῃ.' καίτοι τί ἂν περὶ τούτων λέγοι τις, οἷς ἐξῆν δι' Ἀλέξανδρον μέγα φρονεῖν, ὅπου καὶ Κλέαρχος Ἡρακλείας τύραννος γενόμενος σκηπτὸν ἐφόρει, καὶ τῶν υἱῶν ἕνα Κεραυνὸν ὠνόμασε; Διονύσιος δ' Ἀπόλλωνος υἱὸν ἑαυτὸν ὠνόμασεν, ἐπιγράψας

'Δωρίδος ἐκ μητρὸς Φοίβου κοινώμασι βλαστών.'

ὁ δὲ πατὴρ αὐτοῦ τῶν μὲν πολιτῶν μυρίους ἢ καὶ πλείους ἀνελών, προδοὺς δὲ τὸν ἀδελφὸν ὑπὸ φθόνου τοῖς πολεμίοις, οὐκ ἀναμείνας δὲ τὴν μητέρα γραῦν οὖσαν ὀλίγαις ἡμέραις ἀποθανεῖν ὕστερον ἀλλ' ἀπο- C πνίξας, ἐν δὲ τραγῳδίᾳ γράψας αὐτός

'ἡ γὰρ τυραννὶς ἀδικίας μήτηρ ἔφυ·'

ὅμως τῶν θυγατέρων τὴν μὲν Ἀρετὴν τὴν δὲ Σωφροσύνην ὠνόμασε τὴν δὲ Δικαιοσύνην. οἱ δ' Εὐεργέτας οἱ δὲ Καλλινίκους οἱ δὲ Σωτῆρας οἱ δὲ Μεγάλους ἀνηγόρευσαν ἑαυτούς. γάμους δ' αὐτῶν ἐπαλλήλους ὥσπερ ἵππων ἐν ἀγέλαις γυναικῶν ἀνέδην διημερευόντων, καὶ φθορὰς παίδων καὶ τυμπανισμοὺς ἐν ἀνδρογύνοις καὶ κυβείας μεθημερινὰς καὶ αὐλήσεις ἐν θεάτροις, καὶ νύκτα μὲν ἐν δείπνοις ἡμέραν δ' ἐν ἀρίστοις ἐπιλείπουσαν, οὐδεὶς ἂν ἐφίκοιτο τῷ λόγῳ διελθεῖν.

7 καίτοι R: καὶ   12 Bergk. 2 p. 324   18 Nauck. p. 677

6. Ἀλλ' Ἀλέξανδρος ἠρίστα μὲν ὄρθρου καθε- D ζόμενος, ἐδείπνει δὲ πρὸς ἑσπέραν βαθεῖαν, ἔπινε δὲ θύσας τοῖς θεοῖς, ἐκύβευε δὲ πρὸς Μήδιον πυρέττων, ἔπαιζε δ' ὁδοιπορῶν ἅμα καὶ μανθάνων τοξεύειν καὶ ἀποβαίνειν ἅρματος. ἔγημε δὲ Ῥωξάνην ἑαυτῷ μόνης ἐρασθείς· τὴν δὲ Δαρείου Στάτειραν τῇ βασιλείᾳ καὶ τοῖς πράγμασι (συνέφερε γὰρ ἡ τῶν γενῶν ἀνάμιξις)· τῶν δ' ἄλλων Περσίδων ἐκράτησε τοσοῦτο σωφροσύνῃ, ὅσον ἀνδρείᾳ Περσῶν· ἄκουσαν μὲν γὰρ οὐκ εἶδεν, ἃς δ' εἶδε μᾶλλον ἢ ἃς οὐκ εἶδε παρῆλθε. καὶ πᾶσιν ὢν τοῖς ἄλλοις φιλάνθρωπος, μόνοις ὑπερηφάνως τοῖς καλοῖς ἐχρῆτο. περὶ δὲ τῆς E Δαρείου γυναικός, εὐπρεπεστάτης γενομένης, οὐδὲ φωνὴν ἐπαινοῦσαν τὸ κάλλος ἤκουσεν· ἀποθανοῦσαν δ' οὕτω βασιλικῶς ἐκόσμησε καὶ συμπαθῶς ἐδάκρυσεν, ὥστ' ἄπιστον αὐτοῦ τὸ σῶφρον ἐν τῷ φιλανθρώπῳ γενέσθαι καὶ λαβεῖν ἀδικίας ἔγκλημα τὴν χρηστότητα. Δαρεῖος γὰρ οὕτως ἐκινήθη πρὸς τὴν ἐξουσίαν αὐτοῦ καὶ τὴν ἡλικίαν· εἷς γὰρ ἦν καὶ αὐτὸς ἔτι τῶν νομιζόντων διὰ Τύχην κρατεῖν Ἀλέξανδρον· ἐπεὶ δὲ τἀληθὲς ἔγνω βασανίσας πανταχόθεν, 'οὐ F πάντως' εἶπεν 'ἄρα φαύλως ἔχει τὰ Περσῶν, οὐδέ τις ἐρεῖ παντάπασι κακοὺς ἡμᾶς οὐδ' ἀνάνδρους ὑπὸ τοιούτου κρατηθέντας. ἐγὼ δ' εὐτυχίαν μὲν εὔχομαι καὶ κράτος πολέμου παρὰ θεῶν, ἵν' εὖ ποιῶν Ἀλέξανδρον ὑπερβάλωμαι· καί μέ τις ἔχει φιλοτιμία καὶ ζῆλος ἡμερώτερον αὐτοῦ φανῆναι· εἰ

13 οὐδὲ] οὐδεὶς οὐδὲ? 18 οὕτως] ὑπόπτως R 21 τἀληθὲς *: τὸ ἀληθὲς

δ' οἴχεται τὰ ἐμά, Ζεῦ πατρῷε Περσῶν καὶ βασίλειοι θεοί, μηδεὶς εἰς τὸν Κύρου θρόνον ἄλλος ἢ Ἀλέξανδρος καθίσειε.' τοῦτ' εἰσποίησις ἦν Ἀλεξάνδρου διὰ θεῶν μαρτύρων.

7. Οὕτω νικῶσιν ἀρετῇ. πρόσγραψον, εἰ βούλει, 339 τῇ Τύχῃ τὰ Ἄρβηλα καὶ τὴν Κιλικίαν, καὶ τἆλλα, ἃ γέγονε βίας ἔργα καὶ πολέμου· Τύχη τὴν Τύρον ἔσεισεν αὐτῷ, καὶ Τύχη τὴν Αἴγυπτον ἀνέῳξε· διὰ Τύχην Ἁλικαρνασσὸς ἔπεσε καὶ Μίλητος ἑάλω καὶ Μαζαῖος Εὐφράτην ἔρημον ἀπέλιπε καὶ νεκρῶν τὸ Βαβυλώνιον ἐπλήσθη πεδίον· ἀλλ' οὔτι γε σώφρων ἀπὸ Τύχης οὔτ' ἐγκρατὴς διὰ Τύχην, οὔτ' ἀνάλωτον ὑφ' ἡδονῆς ἡ Τύχη καὶ ἄτρωτον ἐπιθυμίαις κατακλείσασα τὴν ψυχὴν ἐφρούρει. καὶ μὴν ταῦτ' ἦν, οἷς αὐτὸν ἐτρέψατο Δαρεῖον· τἆλλα δ' ὅπλων ἦσαν ἧτται καὶ ἵππων καὶ μάχαι καὶ φόνοι B καὶ φυγαὶ ἀνδρῶν. τὴν δὲ μεγάλην καὶ ἀναντίρρητον ἧτταν ἡττήθη Δαρεῖος καὶ ἐνέκλινεν ἀρετῇ καὶ μεγαλοφροσύνῃ καὶ ἀνδρείᾳ καὶ δικαιοσύνῃ, θαυμάσας τὸ ἐν ἡδονῇ καὶ πόνοις καὶ χάρισιν ἀνίκητον. ἐπεὶ ἔν γε πέλταις καὶ σαρίσσαις καὶ ἀλαλαγμοῖς καὶ συρράξεσιν ὅπλων ἀνίκητος ἦν καὶ Ταρρίας ὁ Δεινομένους καὶ Ἀντιγένης ὁ Πελληναῖος καὶ Φιλώτας ὁ Παρμενίωνος, ἀλλὰ πρὸς ἡδονὰς καὶ γύναια καὶ χρυσίον καὶ ἀργύριον οὐδέν τι βελτίους τῶν αἰχμαλώτων· ἀλλὰ Ταρρίας μὲν ὅτε τῶν χρεῶν C ἠλευθέρου Μακεδόνας Ἀλέξανδρος καὶ διελύετο τοῖς

11 οὔτι] οὔτοι R. Malim οὔτε 19 ἀνδρείᾳ *: ἀνδρίᾳ
21 ἔν γε] γ' ἐν Heinzius

δανείσασιν ὑπὲρ πάντων, ψευσάμενος ὀφείλειν καὶ δανειστήν τινα φάσκοντα εἶναι τῇ τραπέζῃ προσαγαγών, εἶτα φωραθείς, ὀλίγου διέφθειρεν αὑτὸς ἑαυτόν· εἰ μὴ γνοὺς Ἀλέξανδρος ἀφῆκε τῆς αἰτίας αὐτὸν καὶ συνεχώρησεν ἔχειν τἀργύριον, ἀναμνησθεὶς ὅτι Φιλίππου προσμαχομένου Περίνθῳ βέλει πληγεὶς τὸν ὀφθαλμόν, οὐ παρέσχεν οὐδ᾽ ὑπέμεινεν ἐξαιρεθῆναι τὸ βέλος αὐτοῦ πρὶν ἢ τρέψασθαι τοὺς πολεμίους. Ἀντιγένης δὲ τοῖς ἀποπεμφθεῖσιν εἰς Μακεδονίαν διὰ νόσον καὶ πήρωσιν ἀναμίξας ἑαυτὸν καὶ ἀπογραψάμενος, ὡς ἐλήφθη μηδὲν κακὸν ἔχων, ἀλλὰ προσποιούμενος ἀρρωστίαν τινά, ἀνὴρ πολεμικὸς καὶ D τραυμάτων τὸ σῶμα μεστὸς ὀφθεὶς ἠνίασε τὸν Ἀλέξανδρον· πυνθανομένου δὲ τὴν αἰτίαν, ὡμολόγησε Τελεσίππης ἐρᾶν καὶ συνακολουθεῖν ἐπὶ θάλασσαν ἀπιούσῃ μὴ δυνάμενος ἀπολειφθῆναι. ‘καὶ τίνος’ ἔφη ‘τὸ γύναιόν ἐστιν’ ὁ Ἀλέξανδρος ‘καὶ πρὸς τίνα δεῖ διαλέγεσθαι;’ τοῦ δ᾽ Ἀντιγένους εἰπόντος ὡς ἐλευθέρα ἐστίν, ‘οὐκοῦν’ εἶπε ‘πείθωμεν αὐτὴν καταμένειν, ἐπαγγελλόμενοι καὶ διδόντες.’ οὕτω παντὶ μᾶλλον ἐρῶντι συγγνώμην εἶχεν ἢ αὑτῷ. καὶ μὴν καὶ Φιλώτας ὁ Παρμενίωνος τροφόν τινα τῶν E κακῶν ἔσχε τὴν ἀκρασίαν. Ἀντιγόνα γὰρ ἦν Πελλαῖον γύναιον ἐν τοῖς περὶ Δαμασκὸν αἰχμαλώτοις, ἡλώκει δ᾽ ὑπ᾽ Αὐτοφραδάτου πρότερον εἰς Σαμοθρᾴκην διαπλεύσασα, τὴν δ᾽ ὄψιν ἦν ἱκανή, καὶ τὸν

5 τἀργύριον *: τὸ ἀργύριον 7 τὸν Abreschius: εἰς τὸν 8 αὐτοῦ? 15 Τελεσίππης] Τελεσίππας p. 181 a. Vit. Alex. c. 41 22 τροφόν τινα *: τρόπον τινὰ

Φιλώταν ἁψάμενον αὐτῆς εἶχε μάλα. καὶ δὴ ὁ σιδάρεος ἐκεῖνος πεπαινόμενος οὐκ ἐκράτει τῶν λογισμῶν ἐν ταῖς ἡδοναῖς, ἀλλ᾽ ἀνοιγόμενος ἐξέφερε πολλὰ τῶν ἀπορρήτων πρὸς αὐτήν. ‘τί γὰρ ἦν ἐκεῖνος ὁ Φίλιππος, εἰ μὴ Παρμενίων; τί δ᾽ Ἀλέξανδρος οὗτος, F
εἰ μὴ Φιλώτας; ποῦ δ᾽ ὁ Ἄμμων, ποῦ δ᾽ οἱ δράκοντες, ἂν ἡμεῖς μὴ θέλωμεν;’ τούτους τοὺς λόγους ἡ Ἀντιγόνα ἐξήνεγκε πρός τινα τῶν συνήθων γυναικῶν, ἐκείνη δὲ πρὸς Κρατερόν· Κρατερὸς δὲ πρὸς Ἀλέξανδρον αὐτὴν εἰσήγαγε τὴν Ἀντιγόναν κρύφα, καὶ τοῦ μὲν σώματος οὐκ ἔθιγεν ἀλλ᾽ ἀπέσχετο· τὸν δὲ Φιλώταν ὑποικουρῶν δι᾽ αὐτῆς ὅλον ἐφώρασε, καὶ πλέον ἢ ἑπτὰ ἐτῶν διαγενομένων, οὐκ ἐν οἴνῳ ποτὲ τὴν ὑπόνοιαν ταύτην ἐξέφηνεν ὁ μεθύων, οὐ δι᾽ ὀργὴν ὁ θυμοειδής, οὐ πρὸς φίλον ὁ πάντα πιστεύων Ἡφαιστίωνι καὶ πάντων μεταδιδούς. λέγεται 340
γὰρ ὅτι καὶ τῆς μητρὸς ἀπόρρητον ἐπιστολὴν λύσαντος αὐτοῦ καὶ σιωπῇ πρὸς ἑαυτὸν ἀναγιγνώσκοντος, Ἡφαιστίων ἀτρέμα παραβάλλων τὴν κεφαλὴν συνανεγίγνωσκεν· ὁ δὲ κωλῦσαι μὲν οὐχ ὑπέμεινεν, ἐξελὼν δὲ τὸν δακτύλιον προσέθηκε τὴν σφραγῖδα τῷ στόματι τοῦ Ἡφαιστίωνος.

8. Ἀλλὰ ταῦτα μὲν ἄν τις ἀπείποι λέγων, οἷς ἀποδείκνυται κάλλιστα καὶ βασιλικώτατα τὴν ἐξουσίαν διατιθέμενος. καὶ γὰρ εἰ διὰ Τύχην μέγας γέγονε, μείζων ἐστίν, ὅτι τῇ Τύχῃ καλῶς κέχρηται· καὶ ὅσῳ τις ἂν μᾶλλον αὐτοῦ τὴν Τύχην ἐπαινῇ,

1 εἶχε — ἐκεῖνος] εἶχε. Μαλακίᾳ δὲ ὁ σιδάρεος ἐχῖνος Madvigius 19 παραβάλλων] παραβαλὼν?

B τοσούτῳ μᾶλλον αὔξει τὴν ἀρετήν, δι' ἣν ἄξιος τῆς Τύχης ἐγένετο. οὐ μὴν ἀλλ' ἤδη πρὸς τὰ πρῶτα τῆς αὐξήσεως αὐτοῦ καὶ τὰς ἀρχὰς τῆς δυνάμεως βαδίζω, καὶ σκοπῶ τί τὸ τῆς Τύχης ἔργον ἐν ἐκείνοις γέγονε, δι' ὅ φασιν Ἀλέξανδρον ὑπὸ τῆς Τύχης μέγαν γεγονέναι. πῶς γὰρ οὐχὶ τὸν ἄτρωτον, ὦ Ζεῦ, τὸν ἀναίμακτον, τὸν ἀστράτευτον, ὃν χρεμετίσας ἵππος εἰς τὸν Κύρου θρόνον ἐκάθισεν, ὡς Δαρεῖον τὸν Ὑστάσπου πρότερον; ἢ κολακευθεὶς ἀνὴρ ὑπὸ τῆς γυναικός, ὡς Ξέρξην Δαρεῖος ὑπ' Ἀτόσσης; ἐπὶ θύρας αὐτῷ τὸ διάδημα τῆς βασιλείας ἦλθεν, ὥσ-
C περ Ὀάρσῃ διὰ Βαγώαν, καὶ στολὴν ἐκδυσάμενος ἀστάνδου περιέθετο τὴν βασιλικὴν καὶ ὀρθοπαγῆ κίταριν; ἐξαίφνης καὶ ἀπροσδοκήτως κλήρῳ λαχὼν τῆς οἰκουμένης ἐβασίλευσεν, ὡς Ἀθήνησι κλήρῳ θεσμοθετοῦσι καὶ ἄρχουσι; βούλει μαθεῖν, πῶς βασιλεύουσιν ἄνθρωποι διὰ Τύχην; ἐξέλιπέ ποτ' Ἀργείοις τὸ Ἡρακλειδῶν γένος, ἐξ οὗ βασιλεύεσθαι πάτριον ἦν αὐτοῖς· ζητοῦσι δὲ καὶ διαπυνθανομένοις ὁ θεὸς ἔχρησεν ἀετὸν δείξειν· καὶ μεθ' ἡμέρας ὀλίγας ἀετὸς ὑπερφανεὶς καὶ κατάρας ἐπὶ τὴν Αἴγωνος οἰκίαν
D ἐκάθισε, καὶ βασιλεὺς ᾑρέθη Αἴγων. πάλιν ἐν Πάφῳ, τοῦ βασιλεύοντος ἀδίκου καὶ πονηροῦ φανέντος, ἐκβαλὼν τοῦτον Ἀλέξανδρος ἕτερον ἐζήτει, τοῦ Κινυραδῶν γένους ἤδη φθίνειν καὶ ἀπολείπειν δοκοῦντος. ἕνα δ' οὖν ἔφασαν περιεῖναι πένητα καὶ ἄδοξον ἄνθρωπον ἐν κήπῳ τινὶ παρημελημένως διατρεφό-

7 ὃν] del. Madvigius 11 ὥσπερ Ὀάρσῃ (ὥσπερ Ἄρσῃ R coll. Diod. XVII 5) *: ὡς Παρύσατις

μενον. ἐπὶ τοῦτον οἱ πεμφθέντες ἧκον, εὑρέθη δὲ πρασιαῖς ὕδωρ ἐπαντλῶν· καὶ διεταράχθη τῶν στρατιωτῶν ἐπιλαμβανομένων αὐτοῦ καὶ βαδίζειν κελευόντων. ἀχθεὶς δὲ πρὸς Ἀλέξανδρον ἐν εὐτελεῖ σινδόνι βασιλεὺς ἀνηγορεύθη καὶ πορφύραν ἔλαβε, καὶ εἷς ἦν τῶν ἑταίρων προσαγορευομένων· ἐκαλεῖτο δ' E Ἀβδαλώνυμος. οὕτως αἱ τύχαι ποιοῦσι βασιλεῖς, μεταμφιέζουσι, μεταγράφουσι ταχύ, ῥᾳδίως, μὴ προσδεχομένους μηδ' ἐλπίζοντας.

9. Ἀλεξάνδρῳ δὲ τί παρ' ἀξίαν, τί ἀνιδρωτί, τί ἀναιμωτί, τί προῖκα, τί μὴ πονήσαντι τῶν μεγάλων; αἵματι κεκραμένους ποταμοὺς ἔπιε καὶ νεκροῖς γεγεφυρωμένους διέβη, καὶ πόαν ἔφαγε διὰ λιμὸν ἣν πρώτην εἶδε, καὶ βάθεσι χιόνων κατακεχωσμένα ἔθνη καὶ πόλεις ὑπὸ γῆν ἐνδεδυκυίας διώρυξε, καὶ θάλατταν μαχομένην ἔπλευσε, καὶ θῖνας ἀνύδρους τὰς F Γεδρωσίων καὶ Ἀραχωσίων ὁδεύων ἐν θαλάσσῃ πρότερον ἢ ἐν γῇ φυτὸν εἶδεν. εἰ γὰρ ἦν ὡς πρὸς ἄνθρωπον ἀγαγεῖν Παρρησίαν ὑπὲρ Ἀλεξάνδρου πρὸς τὴν Τύχην, οὐκ ἂν εἶπε ‘ποῦ σὺ καὶ πότε ταῖς Ἀλεξάνδρου πράξεσιν ὁδὸν ἔδωκας; ποίαν πέτραν ἀναιμωτὶ διὰ σὲ εἷλε; ποίαν πόλιν ἀφρούρητον αὐτῷ παρέδωκας ἢ ποίαν ἄοπλον φάλαγγα; τίς εὑρέθη βασιλεὺς ῥᾴθυμος ἢ στρατηγὸς ἀμελὴς ἢ κοιμώμενος πυλωρός; ἀλλ' οὐδ' εὔβατος ποταμὸς οὐδὲ χειμὼν μέτριος οὐδὲ θέρος ἄλυπον. ἄπιθι πρὸς Ἀντίοχον 341

7 Ἀβδαλώνυμος Cobetus ex Diod. XVII 46: ἄρα ἀλύνομος 8 ταχὺ καὶ ῥᾳδίως R 14 πρώτην Abreschius: πρῶτον 15 ἐνδεδυκυίας διώρυξε: δεδυκυίας ἐξώρυξε 17 Γεδρωσίων *: γεδροσίων 23 ἄοπλον *: ἄνοπλον

τὸν Σελεύκου, πρὸς Ἀρτοξέρξην τὸν Κύρου ἀδελφόν· ἄπελθε πρὸς Πτολεμαῖον τὸν Φιλάδελφον. ἐκείνους ζῶντες οἱ πατέρες βασιλεῖς ἀνηγόρευσαν, ἐκεῖνοι μάχας ἀδακρύτους ἐνίκων, ἐκεῖνοι πανηγυρίζοντες ἐν πομπαῖς καὶ θεάτροις διετέλεσαν, ἐκείνων ἕκαστος δι' εὐτυχίαν βασιλεύων ἐγήρασεν. Ἀλεξάνδρου δ' εἰ μηδὲν ἄλλο, τὸ σῶμ' ἰδοὺ κατατετρωμένον ἐξ ἄκρας κεφαλῆς ἄχρι ποδῶν διακέκοπται καὶ περιτέθλασται τυπτόμενον ὑπὸ τῶν πολεμίων

'ἔγχεΐ τ' ἄορί τε μεγάλοισί τε χερμαδίοισιν·'

B ἐπὶ Γρανίκου ξίφει διακοπεὶς τὸ κράνος ἄχρι τῶν τριχῶν, ἐν Γάζῃ βέλει πληγεὶς τὸν ὦμον, ἐν Μαρακάνδοις τοξεύματι τὴν κνήμην ὥστε τῆς κερκίδος τὸ ὀστέον ἀποκλασθὲν ὑπὸ τῆς πληγῆς ἐξαλέσθαι· περὶ τὴν Ὑρκανίαν λίθῳ τὸν τράχηλον, ἐξ οὗ καὶ τὰς ὄψεις ἀμαυρωθεὶς ἐφ' ἡμέρας πολλὰς ἐν φόβῳ πηρώσεως ἐγένετο· πρὸς Ἀσσακάνοις Ἰνδικῷ βέλει τὸ σφυρόν, ὅτε καὶ πρὸς τοὺς κόλακας εἶπεν ἐπιμειδιάσας 'τουτὶ μὲν αἷμα, οὐκ

'ἰχώρ, οἷός πέρ τε ῥέει μακάρεσσι θεοῖσιν'·'

C ἐν Ἰσσῷ ξίφει τὸν μηρόν, ὡς Χάρης φησίν, ὑπὸ Δαρείου τοῦ βασιλέως εἰς χεῖρας αὐτῷ συνδραμόντος· αὐτὸς δ' Ἀλέξανδρος ἁπλῶς γράφων καὶ μετὰ πάσης ἀληθείας πρὸς Ἀντίπατρον 'συνέβη δέ μοι' φησί 'καὶ αὐτῷ ἐγχειριδίῳ πληγῆναι τὸν μηρόν· ἀλλ' οὐδὲν ἄτοπον οὔτε παραχρῆμα οὔθ' ὕστερον

1 Ἀρτοξέρξην *: ἀρταξέρξην 10 Hom. Λ 265. 541 12 Μαρακάνδοις *: μαραγάνδοις 20 Hom. E 340 25 τὸν Abreschius: εἰς τὸν

ἐκ τῆς πληγῆς ἀπήντησεν.' ἐν Μαλλοῖς τοξεύματι διπήχει διὰ τοῦ θώρακος εἰς τὸ στῆθος· ὑπελάσας ἔλαβε κατὰ τοῦ αὐχένος, ὡς Ἀριστόβουλος ἱστόρηκε. διαβὰς δὲ τὸν Τάναϊν ἐπὶ τοὺς Σκύθας καὶ τρεψάμενος, ἐδίωξεν ἵππῳ πεντήκοντα καὶ ἑκατὸν σταδίους, ὑπὸ διαρροίας ἐνοχλούμενος. (10) Εὖγ', ὦ Τύχη, τὸν Ἀλέξανδρον αὔξεις καὶ μέγαν D ποιεῖς, διορύττουσα πανταχόθεν, ὑπερείπουσα, πᾶν μέρος ἀνοίγουσα τοῦ σώματος· οὐχ ὥσπερ ἡ Ἀθηνᾶ πρὸ τοῦ Μενελάου τὸ βέλος εἰς τὰ καρτερώτατα τῶν ὅπλων ὑπάγουσα, θώρακι καὶ μίτρᾳ καὶ ζωστῆρι τῆς πληγῆς τὸν τόνον ἀφεῖλε θιγούσης τοῦ σώματος, ὅσον αἵματι πρόφασιν ῥυῆναι, ἀλλὰ γυμνὰ παρέχουσα τοῖς βέλεσι τὰ καίρια, καὶ δι' ὀστέων ἐλαύνουσα τὰς πληγάς, καὶ περιτρέχουσα κύκλῳ τὸ σῶμα, καὶ πολιορκοῦσα τὰς ὄψεις, τὰς βάσεις, ἐμπο- E δίζουσα τὰς διώξεις, περισπῶσα τὰς νίκας, ἀνατρέπουσα τὰς ἐλπίδας.' ἐμοὶ μὲν οὐδεὶς βαρυτέρᾳ δοκεῖ κεχρῆσθαι Τύχῃ τῶν βασιλέων, καίτοι πολλοῖς ἐνέπεσε σκληρὰ καὶ βάσκανος· ἀλλ' ὡς σκηπτὸς ἀπέκοψε τοὺς ἄλλους καὶ διέφθειρε, πρὸς δ' Ἀλέξανδρον αὐτῆς τὸ δυσμενὲς γέγονε φιλόνεικον καὶ δύσερι καὶ δυσεκβίαστον, ὥσπερ πρὸς τὸν Ἡρακλέα. ποίους γὰρ Τυφῶνας ἢ πελωρίους γίγαντας οὐκ ἀνέστησεν ἀνταγωνιστὰς ἐπ' αὐτόν; ἢ τίνας οὐκ ὠχύρωσε τῶν πολεμίων πλήθεσιν ὅπλων ἢ βάθεσι ποταμῶν ἢ

2 ὑπελάσας ἔλαβε] verba lacunosa corrigenda et supplenda videntur ita: ὑ[πέρῳ δέ τις] πελάσας ἔβαλε κατὰ τοῦ αὐχένος 8 ὑπερείπουσα R: ὑπερείδουσα 10 Ἀθηνᾶ] Hom. Δ 129 16 καὶ τὰς βάσεις X 18 μὲν] μὲν οὖν?

F τραχύτησι κρημνῶν ἢ θηρίων ἀλκαῖς ἀλλοφύλων; εἰ δὲ μὴ μέγ' ἦν τὸ Ἀλεξάνδρου φρόνημα μηδ' ἀπ' ἀρετῆς ὁρμώμενον μεγάλης ἐξανέφερε καὶ διηρείδετο πρὸς τὴν Τύχην, οὐκ ἂν ἔκαμε καὶ ἀπηγόρευσε παρατεττόμενος ἐξοπλιζόμενος πολιορκῶν διώκων, ἐν ἀποστάσεσι μυρίαις, ἀποτροπαῖς σκιρτήσεσιν ἐθνῶν, βασιλέων ἀφηνιασμοῖς, Βάκτρα Μαράκανδα Σογδιανούς, ἐν ἔθνεσιν ἀπίστοις καὶ ἐπιβούλοις ὕδραν τέμνων ἀεί τισι πολέμοις ἐπιβλαστάνουσαν;

11. Ἄτοπόν τι δόξω λέγειν, ἐρῶ δ' ἀληθές· παρὰ μικρὸν διὰ τὴν Τύχην Ἀλέξανδρος ἀπώλεσε τὸ δοκεῖν Ἄμμωνος εἶναι. τίς γὰρ ἂν ἐκ θεῶν γεγονὼς ἐπισφαλεῖς οὕτω καὶ πολυπόνους καὶ τλήμονας ἐξεμό-
342 χθησεν ἄθλους πλὴν ὁ Διὸς Ἡρακλῆς; ἀλλ' ἐκείνῳ μὲν εἷς ἀνὴρ ὑβριστὴς ἐπέταττε λέοντας αἱρεῖν καὶ κάπρους διώκειν καὶ σοβεῖν ὄρνιθας· ἵνα μὴ σχολάζῃ τοῖς μείζοσι περιιών, Ἀνταίους κολάζειν καὶ Βουσίριδας παύειν μιαιφονοῦντας· Ἀλεξάνδρῳ δ' ἐπέταττε μὲν ἡ ἀρετὴ τὸν βασιλικὸν καὶ θεῖον ἆθλον, οὗ τέλος ἦν οὐ χρυσὸς ὑπὸ μυρίων καμήλων περικομιζόμενος οὐδὲ τρυφαὶ Μηδικαὶ καὶ τράπεζαι καὶ γυναῖκες οὐδὲ Χαλυβώνιος οἶνος οὐδ' Ὑρκανικοὶ ἰχθύες, ἀλλ' ἑνὶ κόσμῳ κοσμήσαντα πάντας ἀνθρώ-
B πους μιᾶς ὑπηκόους ἡγεμονίας καὶ μιᾶς ἐθάδας διαίτης καταστῆσαι. τοῦτον ἐκ παιδὸς ἔμφυτον ἔχων ἔρωτα συντρεφόμενον καὶ συναυξανόμενον, ὡς ἀφί-

3 ἐξανέφερε] ἐξανέφαινε Abreschius 5 ἐν W 10 παρὰ μικρὸν X: παρομικροῦ 12 ἂν] cf. p. 435, 24 22 Χαλυβώνιος W: χαλυδώνιος

κοντο πρέσβεις παρὰ τοῦ Περσῶν βασιλέως πρὸς Φίλιππον, ὁ δ' οὐκ ἔνδημος ἦν, φιλοφρονούμενος καὶ ξενίζων αὐτοὺς Ἀλέξανδρος οὐδὲν ἠρώτα παιδικόν, οἷον ἄλλοι, περὶ τῆς χρυσῆς ἀναδενδράδος ἢ τῶν κρεμαστῶν κήπων ἢ πῶς ὁ βασιλεὺς κεκόσμηται, ἀλλ' ὅλος ἐν τοῖς κυριωτάτοις ἦν τῆς ἡγεμονίας, διαπυνθανόμενος πόση δύναμις ἡ Περσῶν, ποῦ τεταγμένος βασιλεὺς ἐν ταῖς μάχαις διαγωνίζεται, καθάπερ Ὀδυσσεὺς ἐκεῖνος

'ποῦ δέ οἱ ἔντεα κεῖται ἀρήια, ποῦ δέ οἱ ἵπποι·' C

τίνες ὁδοὶ βραχύταται τοῖς ἄνω πορευομένοις ἀπὸ θαλάττης· ὥστε τοὺς ξένους ἐκπεπλῆχθαι καὶ λέγειν ὡς 'ὁ παῖς οὗτος βασιλεὺς μέγας, ὁ δ' ἡμέτερος πλούσιος.' ἐπεὶ δὲ Φιλίππου τελευτήσαντος ὥρμητο διαβαλεῖν καὶ ταῖς ἐλπίσιν ἤδη καὶ ταῖς παρασκευαῖς ἐμπεφυκὼς ἔσπευδεν ἅψασθαι τῆς Ἀσίας, ἐνίστατο δ' ἡ Τύχη καὶ ἀπέστρεφε καὶ ἀνθεῖλκεν ὀπίσω καὶ μυρίας περιέβαλλεν ἀσχολίας καὶ διατριβὰς ἐπιλαμβανομένη· πρῶτον αὐτῷ τὰ βαρβαρικὰ τῶν προσοίκων διετάραξεν, Ἰλλυρικοὺς καὶ Τριβαλλικοὺς μηχανωμένη πολέμους. οἷς μέχρι Σκυθίας τῆς παρ' Ἴστρον ἀποσπασθεὶς ἀπὸ τῶν ἄνω πράξεων καὶ περιδραμὼν καὶ κατεργασάμενος πάντα κινδύνοις καὶ ἀγῶσι μεγά- D
λοις, αὖθις ὥρμητο καὶ ἔσπευδε πρὸς τὴν διάβασιν πάλιν· ἡ δὲ πάλιν αὐτῷ τὰς Θήβας ἐνέσεισε καὶ πόλεμον Ἑλληνικὸν ἐμποδὼν κατέβαλε, καὶ δεινὴν πρὸς ἄνδρας ὁμοφύλους καὶ συγγενεῖς διὰ φόνου καὶ σιδή-

5 ὁ] deleverim 10 Hom. *K* 407 25 *πάλιν*] prius del. Emperius

ρου καὶ πυρὸς ἀνάγκην ἀμύνης, ἀτερπέστατον τέλος ἔχουσαν. ἐκ τούτου διέβαινεν, ὡς μὲν Φύλαρχός φησιν, ἡμερῶν τριάκοντ' ἔχων ἐφόδιον, ὡς δ' Ἀριστόβουλος, ἑβδομήκοντα τάλαντα· τῶν δ' οἴκοι κτημάτων καὶ προσόδων βασιλικῶν διένειμε τὰς πλείστας τοῖς
E ἑταίροις, μόνος δὲ Περδίκκας οὐδὲν ἔλαβε διδόντος, ἀλλ' ἠρώτησε 'σαυτῷ δὲ τί καταλείπεις, Ἀλέξανδρε;' τοῦ δ' εἰπόντος ὅτι 'τὰς ἐλπίδας', 'οὐκοῦν' ἔφη 'καὶ ἡμεῖς τούτων μεθέξομεν· οὐ γὰρ δίκαιον τὰ σὰ λαμβάνειν ἀλλὰ τὰ Δαρείου περιμένειν.'

12. Τίνες οὖν ἦσαν αἱ ἐλπίδες, ἐφ' αἷς διέβαινεν εἰς Ἀσίαν Ἀλέξανδρος; οὐ τείχεσι πόλεων μυριάνδρων ἐκμετρουμένη δύναμις οὐδὲ στόλοι δι' ὀρῶν πλέοντες, οὐδὲ μάστιγες οὐδὲ πέδαι, μανικὰ καὶ
F βάρβαρα κολαστήρια θαλάσσης, ἀλλὰ τὰ μὲν ἐκτὸς ἐν ὀλίγοις ὅπλοις φιλοτιμία πολλὴ καὶ ζῆλος ἡλικίας παραλλήλου καὶ ἅμιλλα περὶ δόξης καὶ ἀρετῆς ἑταίρων· αὐτὸς δ' εἶχεν ἐν ἑαυτῷ τὰς μεγάλας ἐλπίδας, εὐσέβειαν περὶ θεοὺς πίστιν πρὸς φίλους, εὐτέλειαν ἐγκράτειαν εὐποιίαν, ἀφοβίαν πρὸς θάνατον εὐψυχίαν, φιλανθρωπίαν ὁμιλίαν εὐάρμοστον, ἀψευδὲς ἦθος εὐστάθειαν ἐν βουλαῖς τάχος ἐν πράξεσιν, ἔρωτα δόξης προαίρεσιν ἐν τῷ καλῷ τελεσιουργόν. Ὅμηρος μὲν γὰρ οὐ πρεπόντως οὐδὲ πιθανῶς τὸ Ἀγαμέμνονος κάλλος ἐκ τριῶν συνήρμοσεν εἰκόνων ὁμοιώσας,

343 'ὄμματα καὶ κεφαλὴν ἴκελος Διὶ τερπικεραύνῳ,
Ἄρεϊ δὲ ζώνην, στέρνον δὲ Ποσειδάωνι.'

11 αἱ * 23 ἔρωτα R: πρῶτα 27 Hom. B 478

τὴν δ' Ἀλεξάνδρου φύσιν, εἴπερ ἐκ πολλῶν συνήρμοσε καὶ συνέθηκεν ἀρετῶν ὁ γεννήσας θεός, ἆρ' οὐκ ἂν εἴποιμεν ἔχειν φρόνημα μὲν τὸ Κύρου. σωφροσύνην δὲ τὴν Ἀγησιλάου, σύνεσιν δὲ τὴν Θεμιστοκλέους, ἐμπειρίαν δὲ τὴν Φιλίππου, τόλμαν δὲ τὴν Βρασίδου, δεινότητα δὲ καὶ πολιτείαν τὴν Περικλέους; τῶν δ' ἔτι παλαιοτέρων σωφρονέστερος μὲν Ἀγαμέμνονος· ὁ μὲν γὰρ προέκρινε τῆς γαμετῆς τὴν αἰχμάλωτον, ὁ δὲ καὶ πρὶν ἢ γῆμαι τῶν ἁλισκομένων B ἀπείχετο. μεγαλοψυχότερος δ' Ἀχιλλέως· ὁ μὲν γὰρ χρημάτων ὀλίγων τὸν Ἕκτορος νεκρὸν ἀπελύτρωσεν, ὁ δὲ πολλοῖς χρήμασι Δαρεῖον ἔθαψε· καὶ ὁ μὲν παρὰ τῶν φίλων δῶρα καὶ μισθὸν ἀντὶ τῆς ὀργῆς διαλλαγεὶς ἔλαβεν, ὁ δὲ τοὺς πολεμίους κρατῶν ἐπλούτιζεν. εὐσεβέστερος δὲ Διομήδους· ὁ μὲν γὰρ θεοῖς μάχεσθαι ἦν ἕτοιμος, ὁ δὲ πάντα διὰ τοὺς θεοὺς ἐνόμιζε κατορθοῦν. ποθεινότερος δὲ τοῖς προσήκουσιν Ὀδυσσέως· ἐκείνου μὲν γὰρ ἡ τεκοῦσα διὰ λύπην ἀπέθανε, τούτῳ δ' ἡ τοῦ πολεμίου μήτηρ ὑπ' εὐνοίας συναπέθανε.

13. Τὸ δ' ὅλον, εἰ μὲν καὶ Σόλων διὰ Τύχην C ἐπολιτεύσατο καὶ Μιλτιάδης διὰ Τύχην ἐστρατήγησε καὶ Ἀριστείδης ἀπὸ Τύχης ἦν δίκαιος, οὐδὲν ἄρα τῆς Ἀρετῆς ἔργον ἐστίν. ἀλλ' ὄνομα τοῦτο καὶ λόγος ἔχων δόξαν ἄλλως διέξεισι τοῦ βίου, πλαττόμενος ὑπὸ τῶν σοφιστῶν καὶ τῶν νομοθετῶν. εἰ δὲ τούτων καὶ τῶν ὁμοίων ἀνδρῶν ἕκαστος πένης μὲν ἢ πλούσιος ἢ ἀσθενὴς ἢ ἰσχυρὸς ἢ ἄμορφος ἢ καλὸς

8 προύκρινε? 16 διὰ Cobetus

ἢ εὔγηρως ἢ ὠκύμορος διὰ τύχην γέγονε, μέγαν δὲ στρατηγὸν καὶ μέγαν νομοθέτην καὶ μέγαν ἐν ἀρχαῖς καὶ πολιτείαις ἕκαστος ἑαυτὸν ἀρετῇ καὶ λόγῳ D παρέσχηκε, φέρε θεῷ τὸν Ἀλέξανδρον ἅπασι παραβάλλων. Σόλων χρεῶν ἀποκοπὴν ἐν Ἀθήναις ἐποίησε, σεισάχθειαν προσαγορεύσας· Ἀλέξανδρος δὲ τὰ χρέα τοῖς δανείσασιν ὑπὲρ τῶν ὀφειλόντων αὐτὸς ἐξέτισε. Περικλῆς φορολογήσας τοὺς Ἕλληνας ἐκ τῶν χρημάτων ἐκόσμησεν ἱεροῖς τὴν ἀκρόπολιν· Ἀλέξανδρος δὲ τὰ τῶν βαρβάρων χρήματα λαβὼν ἔπεμψεν εἰς τὴν Ἑλλάδα, ναοὺς τοῖς θεοῖς ἀπὸ μυρίων ταλάντων οἰκοδομῆσαι κελεύσας. Βρασίδαν ἐν τῇ Ἑλλάδι περιβόητον ἐποίησε τὸ πρὸς Μεθώνην διαδραμεῖν τὸ στρατόπεδον τῶν πολεμίων βαλλόμενον παρὰ E τὴν θάλατταν· Ἀλεξάνδρου δ' ἐν Ὀξυδράκαις τὸ δεινὸν ἐκεῖνο πήδημα καὶ ἄπιστον ἀκούουσι καὶ θεωμένοις φοβερόν, ἐκ τειχῶν ἀφέντος ἑαυτὸν εἰς τοὺς πολεμίους δόρασι καὶ βέλεσι καὶ ξίφεσι γυμνοῖς ἐκδεχομένους, τίνι ἄν τις εἰκάσειεν ἢ πυρὶ κεραυνίῳ ῥαγέντι καὶ φερομένῳ μετὰ πνεύματος, οἷον ἐπὶ γῆν κατέσκηψε φάσμα Φοίβου φλογοειδέσιν ὅπλοις περιλαμπόμενον; οἱ δὲ τὸ πρῶτον ἐκπλαγέντες ἅμα φρίκῃ διέτρεσαν καὶ ἀνεχώρησαν· εἶθ' ὡς ἑώρων ἄνθρωπον ἕνα πολλοῖς ἐπιφερόμενον, ἀντέστησαν. ἐνταῦθ' ἄρ' ἡ Τύχη μεγάλα καὶ λαμπρὰ διέφηνεν ἔργα τῆς F πρὸς Ἀλέξανδρον εὐμενείας, ὅτ' αὐτὸν μὲν εἰς χωρίον ἄσημον καὶ βάρβαρον ἐμβαλοῦσα κατέκλεισε καὶ

13 *Μεθώνην*] *Μεθώνῃ?* cf. Thucyd. II 25

περιετείχισε, τοὺς δ' ὑπὸ σπουδῆς ἐπιβοηθοῦντας ἔξωθεν καὶ τῶν τειχῶν ἐφιεμένους, κλάσασα καὶ συντρίψασα τὰς κλίμακας, ὑπεσκέλισε καὶ κατεκρήμνισε. τριῶν δ' οἵπερ ἔφθησαν μόνοι τοῦ τείχους λαβέσθαι καὶ καθέντες ἑαυτοὺς περιστῆναι τῷ βασιλεῖ, τὸν μὲν εὐθὺς ἀνήρπασε καὶ προανεῖλεν, ὁ δὲ τοξεύμασι πολλοῖς διαπεπαρμένος, ὅσον ὁρᾶν καὶ συναισθάνεσθαι μόνον ἀπεῖχε τοῦ τεθνάναι· κεναὶ δ' ἔξωθεν προσδρομαὶ καὶ ἀλαλαγμοὶ Μακεδόνων, 344 *οὐ μηχανῆς τινος οὐκ ὀργάνων παρόντων, ἀλλ' ὑπὸ σπουδῆς ξίφεσι τυπτόντων τὰ τείχη καὶ χερσὶ γυμναῖς περιρρῆξαι καὶ μονονοὺ διαφαγεῖν βιαζομένων. ὁ δ' εὐτυχὴς βασιλεὺς καὶ ὑπὸ τῆς Τύχης φυλαττόμενος ἀεὶ καὶ δορυφορούμενος, ὥσπερ θηρίον ἄρκυσιν ἐνσχεθείς, ἔρημος καὶ ἀβοήθητος, οὐχ ὑπὲρ Σούσων οὐδὲ Βαβυλῶνος οὐδὲ τοῦ Βάκτρα λαβεῖν οὐδὲ τοῦ μεγάλου Πώρου κρατῆσαι· τοῖς γὰρ ἐνδόξοις καὶ μεγάλοις ἀγῶσι, κἂν δυστυχῶνται, τὸ γοῦν αἰσχρὸν οὐ πρόσεστιν. ἀλλ' οὕτω δύσερις ἦν* B *καὶ βάσκανος ἡ Τύχη καὶ φιλοβάρβαρος καὶ μισαλέξανδρος, ὥστε μὴ τὸ σῶμα μόνον αὐτοῦ μηδὲ τὸν βίον, ἀλλὰ καὶ τὴν δόξαν ἀνελεῖν ὅσον ἐφ' ἑαυτῇ καὶ διαφθεῖραι τὴν εὔκλειαν. οὐ γὰρ παρ' Εὐφράτην Ἀλέξανδρον ἢ Ὑδάσπην πεσόντα κεῖσθαι δεινὸν ἦν, οὐδ' ἀγεννὲς ἐν χερσὶ Δαρείῳ γενόμενον καὶ ἵπποις καὶ ξίφεσι καὶ κοπίσι Περσῶν*

4 *τριῶν*] *δυεῖν*? cf. Vit. Alex. c. 63 9 *προσδρομαὶ*] *περιδρομαὶ*? 12 *περιρρῆξαι* Abreschius: *παραρρῆξαι* 15 *καὶ*] *ἦν καὶ*? 16 *τοῦ* R 17 *τοῦ μεγάλου* Huttenus: *τὸ μέγα τοῦ* 25 *Δαρείῳ* Abreschius: *δαρείου*

ἀμυνομένων ὑπὲρ τοῦ βασιλέως ἀποθανεῖν· οὐδὲ τῶν Βαβυλῶνος ἐπιβαίνοντα τειχῶν σφαλῆναι καὶ
C πεσεῖν ἀπ' ἐλπίδος μεγάλης. οὕτω Πελοπίδας καὶ Ἐπαμεινώνδας· ἀρετῆς ὁ τούτων θάνατος ἦν, οὐ δυστυχίας ἐπὶ τηλικούτοις. τῆς δὲ νῦν ἐξεταζομένης Τύχης οἷον τὸ ἔργον; ἐν ἐσχατιᾷ βαρβάρου παραποταμίας καὶ τείχεσιν ἀδόξου πολίχνης περιβαλούσης καὶ ἀποκρυψάσης τὸν τῆς οἰκουμένης βασιλέα καὶ κύριον, ὅπλοις ἀτίμοις καὶ σκεύεσι τοῖς παρατυχοῦσι τυπτόμενον καὶ βαλλόμενον ἀπολέσθαι. καὶ γὰρ κοπίδι τὴν κεφαλὴν διὰ τοῦ κράνους ἐπλήγη, καὶ βέλει τις ἀπὸ τόξου τὸν θώρακα διέκοψεν, οὗ τοῖς περὶ τὸν μαστὸν ἐνερεισθέντος ὀστέοις καὶ καταπαγέντος ὁ μὲν καυλὸς ἐξεῖχε βαρύνων, τῆς δ' ἀκίδος ὁ σίδηρος τεσσάρων δακτύλων εὖρος ἔσχε καὶ πέντε μῆκος. ἔσχατον δὲ τῶν δεινῶν, ὁ μὲν ἠμύνετο τοὺς κατὰ στόμα καὶ τὸν βαλόντα καὶ
D πελάσαι τολμήσαντα μετὰ ξίφους αὐτὸς τῷ ἐγχειριδίῳ φθάσας κατέβαλε καὶ ἀπέκτεινεν. ἐν τούτῳ δέ τις δραμὼν ἐκ μυλῶνος ὑπέρῳ κατὰ τοῦ αὐχένος ὄπισθεν πληγὴν κατήνεγκεν, ἣ συνέχεε τὴν αἴσθησιν αὐτοῦ σκοτωθέντος· ἡ δ' Ἀρετὴ παρῆν, θάρσος μὲν αὐτῷ ῥώμην δὲ καὶ σπουδὴν τοῖς περὶ αὐτὸν ἐμποιοῦσα. Λιμναῖοι γὰρ καὶ Πτολεμαῖοι καὶ Λεοννᾶτοι, καὶ ὅσοι τὸ τεῖχος ὑπερβάντες ἢ ῥήξαντες ἔστησαν πρὸ αὐτοῦ, τεῖχος ἀρετῆς ἦσαν, εὐνοίᾳ καὶ φιλίᾳ τοῦ βασιλέως τὰ σώματα καὶ τὰ πρόσωπα

6 ἐν ἐσχατιᾷ W: ἐσχατιὰ 13 μαστὸν *: μασθὸν
27 καὶ τὰ πρόσωπα] del. Emperius

καὶ τὰς ψυχὰς προβαλλόμενοι. οὐ γὰρ διὰ Τύχην
ἀγαθῶν βασιλέων ἑταῖροι προαποθνήσκουσιν ἑκου- E
σίως καὶ προκινδυνεύουσιν, ἀλλ' ἔρωτι τῆς Ἀρετῆς
ὥσπερ ὑπὸ φίλτρων μέλιτται τῷ ἄρχοντι προσέρ-
χονται καὶ προσπεφύκασι. τίς οὖν οὐκ ἂν εἴποι τότε
παρὼν ἀκίνδυνος θεατής, ὅτι Τύχης μέγαν ἀγῶνα
καὶ Ἀρετῆς θεᾶται, καὶ τὸ μὲν βάρβαρον παρ' ἀξίαν
ἐπικρατεῖ διὰ Τύχην, τὸ δ' Ἑλληνικὸν ἀντέχει παρὰ
δύναμιν δι' Ἀρετήν; κἂν μὲν ἐκεῖνοι περιγένωνται,
Τύχης καὶ δαίμονος φθονεροῦ καὶ νεμέσεως ἔσται
τὸ ἔργον· ἂν δ' οὗτοι κρατήσωσιν, Ἀρετὴ καὶ τόλμα
καὶ φιλία καὶ πίστις ἐξοίσεται τὸ νικητήριον; ταῦτα F
γὰρ μόνα παρῆν Ἀλεξάνδρῳ, τῆς δ' ἄλλης δυνάμεως
καὶ παρασκευῆς καὶ στόλων καὶ ἵππων καὶ στρατο-
πέδων μέσον ἔθηκεν ἡ Τύχη τὸ τεῖχος. ἐτρέψαντο
μὲν οὖν τοὺς βαρβάρους οἱ Μακεδόνες, καὶ πεσοῦσιν
αὐτοῖς ἐπικατέσκαψαν τὴν πόλιν. Ἀλεξάνδρῳ δ' οὐδὲν
ἦν ὄφελος· ἥρπαστο γὰρ μετὰ τοῦ βέλους, καὶ τὸν
κάλαμον ἐν τοῖς σπλάγχνοις εἶχε, καὶ δεσμὸς ἦν αὐτῷ
καὶ ἧλος τὸ τόξευμα τοῦ θώρακος πρὸς τὸ σῶμα.
καὶ σπάσαι μὲν ὥσπερ ἐκ ῥίζης τοῦ τραύματος βια- 345
ζομένοις οὐχ ὑπήκουεν ὁ σίδηρος, ἕδραν ἔχων τὰ
πρὸ τῆς καρδίας στερεὰ τοῦ στήθους· ἐκπρῖσαι δὲ
τοῦ δόνακος οὐκ ἐθάρρουν τὸ προὖχον, ἀλλ' ἐφο-
βοῦντο, μήπως σπαραγμῷ σχιζόμενον τὸ ὀστέον
ὑπερβολὰς ἀλγηδόνων παράσχῃ καὶ ῥῆξις αἵματος ἐκ
βάθους γένηται. πολλὴν δ' ἀπορίαν καὶ διατριβὴν

2 ἑταῖροι Abreschius: ἕτεροι 19 κάλαμον (i. e. κάλαμον βελίτην, δόνακα) *: πόλεμον

ὁρῶν αὐτὸς ἐπεχείρησεν ἐν χρῷ τοῦ θώρακος ἀποτέμνειν τῷ ξιφιδίῳ τὸν οἰστόν· ἠτόνει δ' ἡ χεὶρ καὶ
B βάρος εἶχε ναρκῶδες ὑπὸ φλεγμονῆς τοῦ τραύματος. ἐκέλευεν οὖν ἅπτεσθαι καὶ μὴ δεδιέναι τοὺς ἀτρώτους θαρρύνων· καὶ τοῖς μὲν ἐλοιδορεῖτο κλαίουσι καὶ περιπαθοῦσι, τοὺς δὲ λιποτάκτας ἀπεκάλει, μὴ τολμῶντας αὐτῷ βοηθεῖν· ἐβόα δὲ πρὸς τοὺς ἑταίρους 'μηδεὶς ἔστω μηδ' ὑπὲρ ἐμοῦ δειλός· ἀπιστοῦμαι μὴ φοβεῖσθαι θάνατον, εἰ τὸν ἐμὸν φοβεῖσθ' ὑμεῖς.'

6 λιποτάκτας Duebnerus: λειποτάκτας

ΠΟΤΕΡΟΝ ΑΘΗΝΑΙΟΙ ΚΑΤΑ ΠΟΛΕΜΟΝ Η ΚΑΤΑ ΣΟΦΙΑΝ ΕΝΔΟΞΟΤΕΡΟΙ. C

** Ταῦτ᾽ ὀρθῶς μὲν ἐκεῖνος εἶπε πρὸς τοὺς μεθ᾽ ἑαυτὸν στρατηγούς, οἷς πάροδον ἐπὶ τὰς ὕστερον πράξεις ἔδωκεν ἐξελάσας τὸν βάρβαρον καὶ τὴν Ἑλλάδ᾽ ἐλευθερώσας· ὀρθῶς δ᾽ εἰρήσεται καὶ πρὸς τοὺς ἐπὶ τοῖς λόγοις μέγα φρονοῦντας· ἂν γὰρ ἀνέλῃς τοὺς πράττοντας, οὐχ ἕξεις τοὺς γράφοντας. ἄνελε D τὴν Περικλέους πολιτείαν καὶ τὰ ναύμαχα πρὸς Ῥίῳ Φορμίωνος τρόπαια καὶ τὰς περὶ Κύθηρα καὶ Μέγαρα καὶ Κόρινθον ἀνδραγαθίας Νικίου καὶ τὴν Δημοσθένους Πύλον καὶ τοὺς Κλέωνος τετρακοσίους αἰχμαλώτους καὶ Τολμίδαν Πελοπόννησον περιπλέοντα καὶ Μυρωνίδην νικῶντα Βοιωτοὺς ἐν Οἰνοφύτοις, καὶ Θουκυδίδης σοι διαγέγραπται. ἄνελε τὰ περὶ Ἑλλήσποντον Ἀλκιβιάδου νεανιεύματα καὶ τὰ πρὸς Λέσβον Θρασύλλου καὶ τὴν ὑπὸ Θηραμένους τῆς ὀλιγαρχίας κατάλυσιν καὶ Θρασύβουλον καὶ E Ἀρχῖνον καὶ τοὺς ἀπὸ Φυλῆς ἑβδομήκοντα κατὰ τῆς

1 lac. addidit Duebnerus, Xylandro monente 15 malim *πρὸ Λέσβον* 17 *Ἀρχῖνον* R: *ἄρχιππον*

Σπαρτιατῶν ἡγεμονίας ἀνισταμένους καὶ Κόνωνα πάλιν ἐμβιβάζοντα τὰς Ἀθήνας εἰς τὴν θάλατταν, καὶ Κράτιππος ἀνῄρηται. Ξενοφῶν μὲν γὰρ αὐτὸς ἑαυτοῦ γέγονεν ἱστορία, γράψας ἃ ἐστρατήγησε καὶ κατώρθωσε καὶ Θεμιστογένει περὶ τούτων συντετάχθαι τῷ Συρακοσίῳ, ἵνα πιστότερος ᾖ διηγούμενος ἑαυτὸν ὡς ἄλλον, ἑτέρῳ τὴν τῶν λόγων δόξαν χαριζόμενος. οἱ δ' ἄλλοι πάντες ἱστορικοί, Κλειτόδημοι Δίυλοι Φιλόχορος Φύλαρχος, ἀλλοτρίων γεγόνασιν ἔργων ὥσπερ δρα-
F μάτων ὑποκριταί, τὰς τῶν στρατηγῶν καὶ βασιλέων πράξεις διατιθέμενοι καὶ ταῖς ἐκείνων ὑποδυόμενοι μνήμαις ἵν' ὡς αὐγῆς τινος καὶ φωτὸς μετάσχωσιν. ἀνακλᾶται γὰρ ἀπὸ τῶν πραττόντων ἐπὶ τοὺς γράφοντας καὶ ἀναλάμπει δόξης εἴδωλον ἀλλοτρίας, ἐμφαινομένης διὰ τῶν λόγων τῆς πράξεως ὡς ἐν ἐσόπτρῳ.

2. Πολλῶν μὲν δὴ καὶ ἄλλων ἡ πόλις ἥδε μήτηρ καὶ τροφὸς εὐμενὴς τεχνῶν γέγονε, τὰς μὲν εὑραμένη καὶ ἀναφήνασα πρώτη, ταῖς δὲ δύναμιν προσθεῖσα καὶ τιμὴν καὶ αὔξησιν· οὐχ ἥκιστα δ' ὑπ'
346 αὐτῆς ζωγραφία προῆκται καὶ κεκόσμηται. καὶ γὰρ Ἀπολλόδωρος ὁ ζωγράφος, ἀνθρώπων πρῶτος ἐξευρὼν φθορὰν καὶ ἀπόχρωσιν σκιᾶς, Ἀθηναῖος ἦν· οὗ τοῖς ἔργοις ἐπιγέγραπται 'μωμήσεταί τις μᾶλλον ἢ μιμήσεται.' καὶ Εὐφράνωρ καὶ Νικίας καὶ Ἀσκληπιόδωρος καὶ Πλεισταίνετος ὁ Φειδίου ἀδελφός, οἱ μὲν

2 *Κράτιππος*] Mueller. 2 p. 75 5 *Θεμιστογένει — τῷ Συρακουσίῳ* Turnebus: *θεμιστογένη — τὸν συρακούσιον* 8 *Κλειτόδημοι* W: *κλεινόδημοι*. cf. Mueller. 2 p. 360 9 *Φύλαρχος* R: *φίλαρχος* *ἔργων* Polus: *ἐρώτων* 25 *Πλεισταίνετος*] *Πάναινος* O. Muellerus

στρατηγοὺς ἔγραψαν νικῶντας, οἱ δὲ μάχας, οἱ δ' ἥρωας· ὥσπερ Εὐφράνωρ τὸν Θησέα τὸν ἑαυτοῦ τῷ Παρρασίου παρέβαλε, λέγων τὸν μὲν ἐκείνου ῥόδα βεβρωκέναι, τὸν δ' ἑαυτοῦ κρέα βόεια. τῷ γὰρ ὄντι γλαφυρῶς ὁ Παρρασίου γέγραπται καὶ πεποίηται καί τι προσέοικε· τὸν δ' Εὐφράνορος ἰδών τις εἶπεν B οὐκ ἀφυῶς

'δῆμον Ἐρεχθῆος μεγαλήτορος, ὅν ποτ' Ἀθήνη
θρέψε Διὸς θυγάτηρ.'

γέγραφε δὲ καὶ τὴν ἐν Μαντινείᾳ πρὸς Ἐπαμεινώνδαν ἱππομαχίαν οὐκ ἀνενθουσιάστως Εὐφράνωρ. τὸ δ' ἔργον ἔσχεν οὕτως· Ἐπαμεινώνδας Θηβαῖος ἀπὸ τῆς ἐν Λεύκτροις μάχης ἀρθεὶς μέγας, ἐπεμβῆναι τῇ Σπάρτῃ πεσούσῃ καὶ πατῆσαι τὸ φρόνημα καὶ τὸ ἀξίωμα τῆς πόλεως ἠθέλησε. καὶ πρῶτα μὲν ἐμβαλὼν ἑπτὰ μυριάσι στρατοῦ διεπόρθησε τὴν χώραν καὶ τοὺς περιοίκους ἀπέστησεν αὐτῶν· ἔπειτα περὶ Μαντίνειαν ἀντιτεταγμένους εἰς μάχην προυκαλεῖτο. C μὴ βουλομένων δὲ μηδὲ τολμώντων, ἀλλὰ τὴν Ἀθήνηθεν ἐπικουρίαν ἐκδεχομένων, νυκτὸς ἄρας καὶ λαθὼν ἅπαντας εἰς τὴν Λακωνικὴν κατέβη, καὶ μικρὸν ἔφθη τὴν πόλιν ἔρημον ἐξ ἐφόδου λαβεῖν καὶ κατασχεῖν. αἰσθομένων δὲ τῶν συμμάχων καὶ βοηθείας κατὰ τάχος πρὸς τὴν πόλιν γενομένης, ὑπέδειξε μὲν ὡς αὖθις ἐπὶ λεηλασίαν καὶ φθορὰν τῆς χώρας τρεψόμενος· ἐξαπατήσας δὲ καὶ κατα-

5 πεποίηται καί τι] πεποηφαγηκότι? 7 ἀφυῶς R: ἀφυῶς τις 8 Hom. B 547 13 ἀπὸ] ὑπὸ Abreschius 22 μικρὸν Benselerus: μικροῦ 24 κατὰ *

κοιμίσας οὕτω τοὺς πολεμίους ἀνέζευξε νυκτὸς ἐκ τῆς Λακωνικῆς· καὶ διαδραμὼν τὴν μεταξὺ χώραν D ἐπεφαίνετο τοῖς Μαντινεῦσιν ἀπροσδόκητος, καὶ διαβουλευομένοις αὐτοῖς ἀκμὴν τοῦ πέμπειν τὴν εἰς Λακεδαίμονα βοήθειαν, εὐθέως ὁπλίζεσθαι προσέταξε τοῖς Θηβαίοις. οἱ μὲν οὖν Θηβαῖοι μέγα φρονοῦντες ἐν τοῖς ὅπλοις ἐπεφέροντο καὶ περιελάμβανον κύκλῳ τὰ τείχη. τῶν δὲ Μαντινέων ἔκπληξις ἦν καὶ ἀλαλαγμὸς καὶ διαδρομή, ὡς ῥεῦμα τὴν δύναμιν ἀθρόαν ἐμπίπτουσαν ὤσασθαι μὴ δυναμένων μηδ' ἐπινοούντων βοήθειαν. ἐν τούτῳ δὲ καιροῦ καὶ τύχης Ἀθηναῖοι κατέβαινον ἀπὸ τῶν ἄκρων εἰς τὴν E Μαντινικήν, οὐκ εἰδότες τὴν ῥοπὴν οὐδὲ τὴν ὀξύτητα τοῦ ἀγῶνος, ἀλλ' ὁδῷ πορευόμενοι καθ' ἡσυχίαν· ὡς δέ τις αὐτῶν ἐκδραμὼν ἀπήγγειλε τὸν κίνδυνον, ὀλίγοι μὲν ὄντες ὡς πρὸς τὸ πλῆθος τῶν πολεμίων, ἐξ ὁδοῦ δὲ κεκμηκότες, οὐδενὸς δὲ τῶν ἄλλων συμμάχων παρόντος, ὅμως εὐθὺς εἰς τάξιν καθίσταντο τοῖς πλείστοις. οἱ δ' ἱππεῖς διασκευσάμενοι καὶ προεξελάσαντες, ὑπὸ τὰς πύλας αὐτὰς καὶ τὸ τεῖχος ἔθεντο καρτερὰν ἱππομαχίαν· καὶ κρατήσαντες ἐκ τῶν χειρῶν τοῦ Ἐπαμεινώνδα ἀφείλοντο τὴν Μαντίνειαν. τοῦτο τὸ ἔργον Εὐφράνωρ ἔγραψε, καὶ πάρεστιν ὁρᾶν ἐν εἰκόνι τῆς μάχης τὸ F σύρρηγμα καὶ τὴν ἀντέρεισιν ἀλκῆς καὶ θυμοῦ καὶ πνεύματος γέμουσαν. ἀλλ' οὐκ ἂν οἶμαι τῷ ζωγράφῳ

2 τὴν R: εἰς τὴν 4 τοῦ] περὶ τοῦ? 19 πλείστοις] ὁπλίταις W 22 ἀφείλοντο τὴν Μ. τοῦ Ἐπαμεινώνδου an τοῦ Ἐ. τὴν Μαντίνειαν ἀφείλοντο? 25 σύρρηγμα M: σύγγραμμα 26 τῷ ζωγράφῳ W: τὴν ζωγράφου

κρίσιν προθείητε πρὸς τὸν στρατηγὸν οὐδ' ἀνάσχοισθε τῶν προτιμώντων τὸν πίνακα τοῦ τροπαίου καὶ τὸ μίμημα τῆς ἀληθείας.

3. Πλὴν ὁ Σιμωνίδης τὴν μὲν ζωγραφίαν ποίησιν
σιωπῶσαν προσαγορεύει, τὴν δὲ ποίησιν ζωγραφίαν
λαλοῦσαν. ἃς γὰρ οἱ ζωγράφοι πράξεις ὡς γιγνο-
μένας δεικνύουσι, ταύτας οἱ λόγοι γεγενημένας
διηγοῦνται καὶ συγγράφουσιν. εἰ δ' οἱ μὲν χρώ- 347
μασι καὶ σχήμασιν οἱ δ' ὀνόμασι καὶ λέξεσι ταὐτὰ
δηλοῦσιν, ὕλῃ καὶ τρόποις μιμήσεως διαφέρουσι,
τέλος δ' ἀμφοτέροις ἓν ὑπόκειται, καὶ τῶν ἱστορικῶν
κράτιστος ὁ τὴν διήγησιν ὥσπερ γραφὴν πάθεσι καὶ
προσώποις εἰδωλοποιήσας. ὁ γοῦν Θουκυδίδης ἀεὶ
τῷ λόγῳ πρὸς ταύτην ἁμιλλᾶται τὴν ἐνάργειαν, οἷον
θεατὴν ποιῆσαι τὸν ἀκροατὴν καὶ τὰ γιγνόμενα περὶ
τοὺς ὁρῶντας ἐκπληκτικὰ καὶ ταρακτικὰ πάθη τοῖς
ἀναγιγνώσκουσιν ἐνεργάσασθαι λιχνευόμενος. ὁ γὰρ
παρὰ τὴν Ῥαχίαν αὐτὴν τῆς Πύλου παρατάττων τοὺς
Ἀθηναίους Δημοσθένης, καὶ ὁ τὸν κυβερνήτην ἐπι- B
σπέρχων Βρασίδας ἐξοκέλλειν καὶ χωρῶν ἐπὶ τὴν βάθραν καὶ τραυματιζόμενος καὶ λιποψυχῶν καὶ ἀποκλίνων εἰς τὴν παρεξειρεσίαν, καὶ οἱ πεζομαχοῦντες μὲν ἐκ θαλάττης Λακεδαιμόνιοι ναυμαχοῦντες δ' ἀπὸ γῆς Ἀθηναῖοι· καὶ πάλιν ʽὁ' ἐν τοῖς Σικελικοῖς ʽἐκ τῆς γῆς πεζὸς ἀμφοτέρων, ἰσοῤῥόπου τῆς ναυμαχίας καθεστηκυίας, ἄλαστον ἀγῶνα καὶ σύντασιν

1 προθείητε W: προσθείητε 9 ταὐτὰ W: ταῦτα 13 Θουκυδίδης] cf. VII 71 18 αὐτὴν R: αὐτῆς 21 ἀποβάθραν? λιποψυχῶν Duebnerus: λειποψυχῶν 26 ἄλαστον] πολὺν τὸν Thucydides. πλεῖστον? σύντασιν R: σύνταξιν

*τῆς γνώμης ἔχων' διὰ τὰς συντάξεις, ὡς ‛** συνεχὲς τῆς ἁμίλλης καὶ τοῖς σώμασιν αὐτοῖς ἴσα τῇ δόξῃ*
C *περιδεῶς συναπονεύειν' τῇ διαθέσει καὶ τῇ διατυπώσει τῶν γιγνομένων γραφικῆς ἐναργείας **. ὥστ' εἰ τοὺς ζωγραφοῦντας οὐκ ἄξιον παραβάλλειν τοῖς στρατηγοῖς, μηδὲ τοὺς ἱστοροῦντας παραβάλλωμεν. τὴν τοίνυν ἐν Μαραθῶνι μάχην ἀπήγγειλεν, ὡς μὲν Ἡρακλείδης ὁ Ποντικὸς ἱστορεῖ, Θέρσιππος ὁ Ἐρωεύς· οἱ δὲ πλεῖστοι λέγουσιν Εὐκλέα, δραμόντα σὺν τοῖς ὅπλοις θερμὸν ἀπὸ τῆς μάχης καὶ ταῖς θύραις ἐμπεσόντα τῶν πρώτων, τοσοῦτο μόνον εἰπεῖν ‛χαίρετε*
D *καὶ χαίρομεν,' εἶτ' εὐθὺς ἐκπνεῦσαι. πλὴν οὗτος μὲν αὐτάγγελος ἧκε τῆς μάχης ἀγωνιστὴς γενόμενος. φέρε δ' εἴ τις ὑπὲρ λόφου τινὸς ἢ σκοπῆς αἰπόλων ἢ βοτήρων τοῦ ἀγῶνος ἄπωθεν γενόμενος θεατής, καὶ κατιδὼν τὸ μέγα καὶ παντὸς λόγου μεῖζον ἐκεῖνο ἔργον ἧκεν εἰς τὴν πόλιν ἄτρωτος ἄγγελος καὶ ἀναίμακτος, εἶτ' ἠξίου τιμὰς ἔχειν ἃς Κυνέγειρος ἔσχεν, ἃς Καλλίμαχος, ἃς Πολύζηλος, ὅτι τὰς τούτων ἀριστείας καὶ τραύματα καὶ θανάτους ἀπήγγειλεν· ἆρ' οὐκ ἂν ἐδόκει πᾶσαν ὑπερβάλλειν ἀναίδειαν, ὅπου γε Λακεδαιμονίους φασὶ τῷ τὴν ἐν Μαντινείᾳ φράσαντι νίκην, ἣν Θουκυδίδης ἱστόρηκεν, εὐαγγέλιον*

1 lacunam signavi quam suppleo: *ὥστε διὰ τὸ ἀκρίτως συνεχὲς κέ* 3 *συναπονεύειν* *: *συμπνέων τῇ τε διαθέσει?* 4 lacunam indicavi fortasse supplendam verbis *οὐδὲν ἀπολείπουσι* vel similibus 6 *παραβάλλωμεν* *: *παραβάλωμεν* 8 *Ἐρωεύς*] *Ἐροιεύς* X 11 *πρώτων*] *πρυτάνεων* Cobetus 12 *καὶ χαίρομεν*] *νικῶμεν* idem 18 *Κυνέγειρος* *: *κυναίγειρος* 23 *Θουκυδίδης*] V 65 sqq.

ἐκ φιδιτίου κρέας ἀποστεῖλαι; καὶ μὴν οἱ συγγράφοντες ἐξάγγελοί τινές εἰσι τῶν πράξεων εὔφωνοι E καὶ τῷ λόγῳ διὰ τὸ κάλλος καὶ τὴν δύναμιν ἐξικνούμενοι, οἷς εὐαγγέλιον ὀφείλουσιν οἱ πρώτως ἐντυγχάνοντες καὶ ἱστοροῦντες. ἀμέλει δὲ καὶ ἐγκωμιάζονται μνημονευόμενοι καὶ ἀναγιγνωσκόμενοι διὰ τοὺς κατορθώσαντας· οὐ γὰρ οἱ λόγοι ποιοῦσι τὰς πράξεις ἀλλὰ διὰ τὰς πράξεις καὶ ἀκοῆς ἀξιοῦνται.

4. Καὶ γὰρ ἡ ποιητικὴ χάριν ἔσχε καὶ τιμὴν τῷ τοῖς πεπραγμένοις ἐοικότα λέγειν, ὡς Ὅμηρος ἔφη

'ἴσκε ψεύδεα πολλὰ λέγων ἐτύμοισιν ὁμοῖα.'

λέγεται δὲ καὶ Μενάνδρῳ τῶν συνήθων τις εἰπεῖν 'ἐγγὺς οὖν Μένανδρε τὰ Διονύσια, καὶ σὺ τὴν F κωμῳδίαν οὐ πεποίηκας;' τὸν δ' ἀποκρίνασθαι 'νὴ τοὺς θεοὺς ἔγωγε πεποίηκα τὴν κωμῳδίαν· ᾠκονόμηται γὰρ ἡ διάθεσις· δεῖ δ' αὐτῇ τὰ στιχίδια ἐπᾷσαι', ὅτι καὶ αὐτοὶ τὰ πράγματα τῶν λόγων ἀναγκαιότερα καὶ κυριώτερα νομίζουσιν. ἡ δὲ Κόριννα τὸν Πίνδαρον, ὄντα νέον ἔτι καὶ τῇ λογιότητι σοβαρῶς χρώμενον, ἐνουθέτησεν ὡς ἄμουσον ὄντα μὴ ποιοῦντα μύθους, ὃ τῆς ποιητικῆς ἔργον εἶναι συμβέβηκε· γλώσσας δὲ καὶ καταχρήσεις καὶ μεταφράσεις καὶ μέλη καὶ ῥυθμοὺς ἡδύσματα τοῖς πράγμασιν ὑποτίθεται. σφόδρ' οὖν ὁ Πίνδαρος ἐπιστήσας 348 τοῖς λεγομένοις ἐποίησεν ἐκεῖνο τὸ μέλος

1 ἀποστεῖλαι X: ἀποστέλλειν vel ἀπέστειλαν 8 ἀλλὰ διὰ τὰς πράξεις Madvigius 9 τῷ W 11 ἴσκε Homerus τ 203: ἴσχε 17 ante ὅτι lacunam significavit R 21 μὴ *: καὶ μὴ 22 γλώσσας M: γλῶσσαι vel γλῶσσα

'Ἰσμηνὸν ἢ χρυσαλάκατον Μελίαν,
ἢ Κάδμον ἢ Σπαρτῶν ἱερὸν γένος ἀνδρῶν,
ἢ τὸ πάνυ σθένος Ἡρακλέους
ἢ τὰν Διωνύσου πολυγαθέα τιμάν.'

δειξαμένου δὲ τῇ Κορίννῃ, γελάσασα ἐκείνη 'τῇ χειρὶ δεῖν' ἔφη 'σπείρειν, ἀλλὰ μὴ ὅλῳ τῷ θυλάκῳ.' τῷ γὰρ ὄντι συγκεράσας καὶ συμφορήσας πανσπερμίαν τινὰ μύθων ὁ Πίνδαρος εἰς τὸ μέλος ἐξέχεεν. ἀλλ' ὅτι μὲν ἡ ποιητικὴ περὶ μυθοποιίαν ἐστί, καὶ Πλάτων εἴρηκεν. ὁ δὲ μῦθος εἶναι βούλεται λόγος
B ψευδὴς ἐοικὼς ἀληθινῷ· διὸ καὶ πολὺ τῶν ἔργων ἀφέστηκεν, εἰ λόγος μὲν ἔργου, καὶ λόγου δὲ μῦθος εἰκὼν καὶ εἴδωλόν ἐστι. καὶ τοσοῦτον τῶν ἱστορούντων οἱ πλάττοντες τὰς πράξεις ὑστεροῦσιν, ὅσον ἀπολείπονται τῶν πραττόντων οἱ λέγοντες.

5. Ἐπικῆς μὲν οὖν ποιήσεως ἡ πόλις οὐκ ἔσχηκεν ἔνδοξον δημιουργὸν οὐδὲ μελικῆς· ὁ γὰρ Κινησίας ἀργαλέος ἔοικε ποιητὴς γεγονέναι διθυράμβων· καὶ αὐτὸς μὲν ἄγονος καὶ ἀκλεὴς γέγονε, σκωπτόμενος δὲ καὶ χλευαζόμενος ὑπὸ τῶν κωμῳδιοποιῶν οὐκ εὐτυχοῦς δόξης μετέσχηκε. τῶν δὲ δραματοποιῶν τὴν μὲν κωμῳδιοποιίαν οὕτως ἄσεμνον
C ἡγοῦντο καὶ φορτικόν, ὥστε νόμος ἦν μηδένα ποιεῖν κωμῳδίας Ἀρεοπαγίτην. ἤνθησε δ' ἡ τραγῳδία καὶ διεβοήθη, θαυμαστὸν ἀκρόαμα καὶ θέαμα τῶν τότ'

1 Bergk. 1 p. 379 3 πάνυ] πάντολμον Lucianus (Demosth. Encom. c. 19) 4 ἢ τὰν Διωνύσου πολυγαθέα τιμάν idem: ἡττᾶν 10 Πλάτων] Phaedon. p. 61 b 16 ἐπικῆς*: τῆς 20 κωμῳδιοποιῶν*: κωμῳδοποιῶν 22 κωμῳδιοποιίαν: κωμῳδοποιίαν

ἀνθρώπων γενομένη καὶ παρασχοῦσα τοῖς μύθοις καὶ τοῖς πάθεσιν ἀπάτην, ὡς Γοργίας φησίν, ἣν ὅ τ' ἀπατήσας δικαιότερος τοῦ μὴ ἀπατήσαντος, καὶ ὁ ἀπατηθεὶς σοφώτερος τοῦ μὴ ἀπατηθέντος. ὁ μὲν γὰρ ἀπατήσας δικαιότερος, ὅτι τοῦθ' ὑποσχόμενος πεποίηκεν· ὁ δ' ἀπατηθεὶς σοφώτερος· εὐάλωτον γὰρ ὑφ' D ἡδονῆς λόγων τὸ μὴ ἀναίσθητον. τίν' οὖν αἱ καλαὶ τραγῳδίαι ταῖς Ἀθήναις ὄνησιν ἤνεγκαν ὡς ἡ Θεμιστοκλέους δεινότης ἐτείχισε τὴν πόλιν, ὡς ἡ Περικλέους ἐπιμέλεια τὴν ἄκραν ἐκόσμησεν, ὡς Μιλτιάδης ἠλευθέρωσεν, ὡς Κίμων προῆγεν εἰς τὴν ἡγεμονίαν; εἰ οὕτως ἡ Εὐριπίδου σοφία καὶ ἡ Σοφοκλέους λογιότης καὶ τὸ Αἰσχύλου στόμα τι τῶν δυσχερῶν ἀπήλλαξεν ἤ τι τῶν λαμπρῶν περιεποίησεν, ἄξιόν γε τὰ δράματα τοῖς τροπαίοις ἀντιπαραθεῖναι καὶ τῷ στρατηγίῳ τὸ θέατρον ἀνταναστῆσαι καὶ ταῖς ἀριστείαις τὰς διδασκαλίας ἀντιπαραβαλεῖν.

6. Βούλεσθε τοὺς ἄνδρας εἰσάγωμεν αὐτοὺς τὰ σύμβολα καὶ τὰ παράσημα τῶν ἔργων κομίζοντας, ἰδίαν E ἑκατέρῳ πάροδον ἀποδόντες; ἔνθεν μὲν δὴ προσίτωσαν ὑπ' αὐλοῖς καὶ λύραις ποιηταὶ λέγοντες καὶ ᾄδοντες

'εὐφημεῖν χρὴ κἀξίστασθαι τοῖς ἡμετέροισι χοροῖσιν
ὅστις ἄπειρος τοιῶνδε λόγων ἢ γνώμῃ μὴ καθαρεύει,
ἢ γενναίων ὄργια Μουσῶν μήτ' ᾖσεν μήτ' ἐχόρευσε,
μηδὲ Κρατίνου τοῦ ταυροφάγου γλώσσης βακχεῖ' ἐτελέσθη·'

2 ἣν nescio quis: ἦν 10 ἄκραν] ἀκρόπολιν Cobetus 22 Arist. Ran. 356 χοροῖσιν Iunius ex Aristophane 23 γνώμῃ M ex p. 349 b: γλώσσῃ

καὶ σκευὰς καὶ προσωπεῖα καὶ βωμοὺς καὶ μηχανὰς ἀπὸ σκηνῆς περιάκτους καὶ τρίποδας ἐπινικίους κομί-
F ζοντες· τραγικοὶ δ' αὐτοῖς ὑποκριταὶ καὶ Νικόστρατοι καὶ Καλλιππίδαι καὶ Μηνίσκοι καὶ Θεόδωροι καὶ Πῶλοι συνίτωσαν, ὥσπερ γυναικὸς πολυτελοῦς τῆς τραγῳδίας κομμωταὶ καὶ διφροφόροι, μᾶλλον δ' ὡς ἀγαλμάτων ἐγκαυσταὶ καὶ χρυσωταὶ καὶ βαφεῖς παρακολουθοῦντες· σκευῶν δὲ καὶ προσώπων καὶ ξυστίδων ἁλουργῶν καὶ μηχανῶν ἀπὸ σκηνῆς καὶ χοροποιῶν καὶ δορυφόρων δυσπραγμάτευτος λαὸς καὶ χορηγία πολυτελὴς παρασκευαζέσθω. πρὸς ἃ Λάκων ἀνὴρ ἀποβλέψας οὐ κακῶς εἶπεν, ὡς ἁμαρτάνουσιν Ἀθηναῖοι μεγάλα τὴν σπουδὴν εἰς τὴν παιδιὰν καταναλίσκοντες, τουτέστι μεγάλων ἀποστόλων δαπάνας καὶ στρατευμάτων ἐφόδια καταχορηγοῦντες εἰς τὸ
349 θέατρον. ἂν γὰρ ἐκλογισθῇ τῶν δραμάτων ἕκαστον ὅσου κατέστη, πλέον ἀνηλωκὼς φανεῖται ὁ δῆμος εἰς Βάκχας καὶ Φοινίσσας καὶ Οἰδίποδας καὶ Ἀντιγόνην καὶ τὰ Μηδείας κακὰ καὶ Ἠλέκτρας, ὧν ὑπὲρ τῆς ἡγεμονίας καὶ τῆς ἐλευθερίας πολεμῶν τοὺς βαρβάρους ἀνάλωσεν. οἱ μὲν γὰρ στρατηγοὶ πολλάκις παραγγείλαντες ἄπυρα σιτία κομίζειν ἐξῆγον ἐπὶ τὰς μάχας τοὺς ἄνδρας· καὶ νὴ Δί' οἱ τριήραρχοι τοῖς ἐλαύνουσιν ἄλφιτα παρασκευάσαντες, ὄψον δὲ κρόμμυα καὶ τυρόν, ἐνεβίβαζον εἰς τὰς τριήρεις· οἱ δὲ χορηγοὶ τοῖς χορευταῖς ἐγχέλεια καὶ θριδάκια καὶ

2 *κομίζοντες* R: *κομίζοντας* 3 *τραγικοὶ* M: *τράγοι* 5 *Πῶλοι* nescio quis: *πολλοὶ* 24 *κρόμμυα* *: *κρόμυα* 25 *καὶ* Turnebus 26 *ἐγχέλεια* *: *ἐγχέλια*

σκελίδας καὶ μυελὸν παρατιθέντες, εὐώχουν ἐπὶ πολὺν B χρόνον φωνασκουμένους καὶ τρυφῶντας. καὶ τούτων τοῖς μὲν ἡττηθεῖσι περιῆν προσυβρίσθαι καὶ γεγονέναι καταγελάστους· τοῖς δὲ νικήσασιν ὁ τρίπους ὑπῆρχεν, οὐκ ἀνάθημα τῆς νίκης, ὥς Δημήτριός φησιν, ἀλλ' ἐπίσπεισμα τῶν ἐκκεχυμένων βίων καὶ τῶν ἐκλελοιπότων κενοτάφιον οἴκων. τοιαῦτα γὰρ τὰ ποιητικῆς τέλη καὶ λαμπρότερον οὐδὲν ἐξ αὐτῶν.

7. Τοὺς δὲ στρατηγοὺς αὖ πάλιν ἐνθένδε παριόντας σκοπῶμεν, ὧν παρερχομένων ὡς ἀληθῶς 'εὐφημεῖν χρὴ κἀξίστασθαι' τοὺς ἀπράκτους καὶ ἀπολιτεύτους καὶ ἀστρατεύτους, 'ὅστις ἄτολμος πρὸς ἔργα τοιαῦτα καὶ γνώμῃ μὴ καθαρεύει, μηδὲ Μιλτιάδου C τοῦ μηδοφόνου μηδὲ τοῦ περσοκτόνου Θεμιστοκλέους χειρὸς βακχεῖ' ἐτελέσθη.' Ἀρήιος ὁ κῶμος οὗτος ἐκ γῆς ἅμα φάλαγξι καὶ στόλοις ἐκ θαλάττης καὶ μεμιγμένοις σκύλοις καὶ τροπαίοις βεβριθώς. 'κλῦθ' Ἀλαλά, Πολέμου θύγατερ, ἐγχέων προοίμιον, ᾇ θύεται ἄνδρες τὸν ἱρόθυτον θάνατον,' ὡς ὁ Θηβαῖος Ἐπαμεινώνδας εἶπεν, ὑπὲρ πατρίδος καὶ τάφων καὶ ἱερῶν ἐπιδιδόντες ἑαυτοὺς τοῖς καλλίστοις καὶ λαμπροτάτοις ἀγῶσιν. ὧν τὰς νίκας ὁρᾶν μοι δοκῶ προσερχομένας,

1 σκελίδας R: σκελλίδας   4 ὁ Emperius: οὐ   6 ἐπίσπεισμα τῶν ἐκκεχυμένων βίων R: ἐπὶ πεισμάτων ἐκκεχυμένον βίον   7 οἴκων idem: οἶκον   12 ἄτολμος Turnebus: εὐτόλμως   16 μεμιγμένοις] ἡμαγμένοις R   17 κλῦθ' p. 483d: κλῦθι. cf. Bergk. 1 p. 397   18 Ἀλαλὰ Πολέμου X ex p. l.: ἄννα ** γὼ lac. 5—6 litt. (in E) interposita   18 ᾇ θύεται Hauptius ex Schol. ad Aesch. Pers. 49: ἀμφύετε   19 ἱρόθυτον idem: ἱερόθυτον   20 εἶπεν] delendum mihi vid. ut audiatur ἐθύσατο τὸν ἱρόθυτον θάνατον

οὐ βοῦν ἔπαθλον ἑλκούσας ἢ τράγον, οὐδ᾽ D *ἀνεστεμμένας κιττῷ καὶ Διονυσιακῆς τρυγὸς ὀδωδυίας· ἀλλ᾽ ὅλαι μὲν πόλεις αὐτῶν εἰσι καὶ νῆσοι καὶ ἤπειροι, καὶ ναοὶ χιλιοτάλαντοι καὶ δήμων ἀποικισμοὶ μυρίανδροι, τροπαίοις δὲ παντοδαποῖς ἀναστέφονται καὶ λαφύροις· ὧν ἀγάλματα καὶ σύμβολα παρθενῶνες ἑκατόμπεδοι, νότια τείχη, νεῶν οἶκοι, προπύλαια, Χερρόνησος, Ἀμφίπολις. Μαραθὼν τὴν Μιλτιάδου νίκην προπέμπει, καὶ Σαλαμὶς τὴν Θεμιστοκλέους, χιλίων σκαφῶν ναυαγίοις ἐπιβεβηκυῖαν. φέρει δ᾽ ἡ μὲν Κίμωνος τριήρεις ἑκατὸν Φοινίσσας ἀπ᾽ Εὐρυμέδοντος, ἡ δὲ Δημοσθένους καὶ Κλέωνος ἀπὸ Σφακτηρίας τὴν Βρασίδου ἀσπίδ᾽ αἰχμάλωτον καὶ δεδεμένους* E *Σπαρτιάτας. τειχίζει δὲ τὴν πόλιν ἡ Κόνωνος, ἡ δὲ Θρασυβούλου κατάγει τὸν δῆμον ἀπὸ Φυλῆς ἐλεύθερον, αἱ δ᾽ Ἀλκιβιάδου περὶ Σικελίαν ὀλισθοῦσαν τὴν πόλιν ἐγείρουσιν· ἐκ δὲ τῶν Νειλέου καὶ Ἀνδρόκλου περὶ Λυδίαν καὶ Καρίαν ἀγώνων Ἰωνίαν ἀνισταμένην ἐπεῖδεν ἡ Ἑλλάς. τῶν δ᾽ ἄλλων ἑκάστης ἂν πύθῃ τί τῇ πόλει γέγονεν ἐξ αὐτῆς ἀγαθόν, ἡ μὲν ἐρεῖ Λέσβον, ἡ δὲ Σάμον, ἡ δὲ Κύπρον, ἡ δὲ Πόντον Εὔξεινον, ἡ δὲ πεντακοσίας τριήρεις, ἡ δὲ μυρία τάλαντα, προῖκα τῆς δόξης καὶ τῶν τροπαίων. ταῦθ᾽ ἡ πόλις ἑορτάζει καὶ ὑπὲρ τούτων* F *θύει τοῖς θεοῖς, οὐκ ἐπὶ ταῖς Αἰσχύλου νίκαις ἢ*

4 *ναοὶ χιλιοτάλαντοι* Bryanus: *νηχοτάλαντοι.* cf. Vit. Pericl. c. 12   5 *ἀναστέφονται* Leonicus: *ἀναστρέφονται*   7 *νεῶν οἶκοι*] *νεώσοικοι* M   14 *Σπαρτιάτας* W: *στρατιώτας*   16 *αἵ* M: *ἡ*   19 *ἀνισταμένην*] *συνισταμένην* Madvigius

Σοφοκλέους· οὐδ᾽ ὅτε Καρκίνος Ἀερόπῃ συνῆν ἢ Ἕκτορι Ἀστυδάμας, ἀλλ᾽ ἕκτῃ μὲν ἱσταμένου Βοηδρομιῶνος ἐσέτι νῦν τὴν ἐν Μαραθῶνι νίκην ἡ πόλις ἑορτάζει· ἕκτῃ δ᾽ ἐπὶ δέκα μηνὸς οἰνοχοεῖται τῆς Χαβρίου περὶ Νάξον ἐπινίκια ναυμαχίας· τῇ δὲ δωδεκάτῃ χαριστήρια ἔθυον ἐλευθερίας· ἐν ἐκείνῃ γὰρ οἱ ἀπὸ Φυλῆς κατῆλθον. τρίτῃ δ᾽ ἱσταμένου τὴν ἐν Πλαταιαῖς μάχην ἐνίκων. τὴν δ᾽ ἕκτην ἐπὶ δέκα τοῦ Μουνιχιῶνος Ἀρτέμιδι καθιέρωσαν, ἐν ᾗ τοῖς Ἕλλησι περὶ Σαλαμῖνα νικῶσιν ἐπέλαμψεν ἡ θεὸς πανσέληνος. τὴν δὲ δωδεκάτην τοῦ Σκιρρο- 350
φοριῶνος ἱερωτέραν ἐποίησεν ὁ Μαντινειακὸς ἀγών, ἐν ᾧ τῶν ἄλλων συμμάχων ἐκβιασθέντων καὶ τραπέντων, μόνοι τὸ καθ᾽ ἑαυτοὺς νικήσαντες ἔστησαν τρόπαιον ἀπὸ τῶν νικώντων πολεμίων. ταῦτα τὴν πόλιν ἤγειρεν εἰς δόξαν, ταῦτ᾽ εἰς μέγεθος· ἐπὶ τούτοις Πίνδαρος ‘ἔρεισμα τῆς Ἑλλάδος’ προσεῖπε τὰς Ἀθήνας, οὐχ ὅτι ταῖς Φρυνίχου τραγῳδίαις καὶ Θέσπιδος ὤρθουν τοὺς Ἕλληνας, ἀλλ᾽ ὅτι πρῶτον, ὥς φησιν αὐτός, ἐπ᾽ Ἀρτεμισίῳ ‘παῖδες Ἀθαναίων ἐβάλοντο φαεννὰν B
κρηπῖδ᾽ ἐλευθερίας·’ ἐπί τε Σαλαμῖνι καὶ Μυκάλῃ καὶ Πλαταιαῖς ὥσπερ ἀδαμάντινοι στηρίξαντες τὴν ἐλευθερίαν τῆς Ἑλλάδος παρέδοσαν τοῖς ἄλλοις ἀνθρώποις.

1 Καρκίνος] Nauck. p.619 συνῆν] περιῆν Emperius. Aliud latet 2 Ἀστυδάμας] Nauck. p. 603 ἱσταμένου Wesselingius: ἱσταμένη 4 ἐπὶ δέκα μηνὸς *: μηνός. cf. Vit. Phoc. c. 6 9 Μουνιχιῶνος *: μουνυχιῶνος 16 ἐπὶ Emperius: ἐν 17 Πίνδαρος] Bergk. 1 p. 396 18 ὤρθουν R: ὤρθον 20 παῖδες κτἑ] Bergk. ib. Ἀθαναίων Boeckhius: ἀθηναίων φαεννὰν Vit. Them. c. 8: φαεινὴν 22 ἀδαμάντινοι] fort. ἀδαμαντίνοις ut ad dativos referatur

8. Ἀλλὰ νὴ Δία παιδιὰ τὰ τῶν ποιητῶν· οἱ δὲ ῥήτορες ἔχουσί τι παραβαλλόμενοι πρὸς τοὺς στρατηγούς, ἐξ ὧν εἰκότως Αἰσχίνης σκώπτων τὸν Δημοσθένην λέγειν φησίν, ὅτι γράφεται τῷ βήματι διαδικασίαν πρὸς τὸ στρατήγιον. ἆρ' οὖν ἄξιον προκρῖναι τὸν Ὑπερείδου Πλαταϊκὸν τῆς Ἀριστείδου Πλαταιᾶσι νίκης; ἢ τὸν Λυσίου κατὰ τῶν τριάκοντα
C τῆς Θρασυβούλου καὶ Ἀρχίνου τυραννοκτονίας; ἢ τὸν Αἰσχίνου κατὰ Τιμάρχου ἑταιρήσεως τῆς Φωκίωνος εἰς Βυζάντιον βοηθείας, δι' ἧς ἐκώλυσε τοὺς τῶν συμμάχων υἱοὺς ἐνύβρισμά τε καὶ παροίνημα γενέσθαι Μακεδόνων; ἢ τοῖς κοινοῖς στεφάνοις, οὓς τὴν Ἑλλάδα ἐλευθερώσας ἔλαβε, τὸν Δημοσθένους περὶ τοῦ στεφάνου παραβάλωμεν, ἐν ᾧ τοῦτο λαμπρότατον καὶ λογιώτατον ὁ ῥήτωρ πεποίηκεν, ὀμόσας τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας τῶν προγόνων, οὐ τοὺς ἐν ταῖς σχολαῖς τὰ μειράκια προδιδάσκοντας· ἐφ' οἷς οὐ τοὺς Ἰσοκράτεις καὶ Ἀντιφῶντας καὶ Ἰσαίους, ἀλλὰ τούτους ἡ πόλις δημοσίαις ταφαῖς ἔθαψεν, ὑποδεξαμένη τὰ λείψανα τῶν σωμάτων, καὶ
D τούτους ἀπεθέωσε τοῖς ὅρκοις ὁ ῥήτωρ ὀμνύων οὓς οὐκ ἐμιμεῖτο. Ἰσοκράτης δὲ τοὺς ἐν Μαραθῶνι προκινδυνεύσαντας ὥσπερ ἀλλοτρίαις ψυχαῖς φήσας ἐναγωνίσασθαι καὶ καθυμνήσας τὴν τόλμαν αὐτῶν

3 εἰκότως Madvigius: εἰκὸς ὡς (ὡς εἰκὸς ἐξ ὧν Emperius) Αἰσχίνης] adv. Ctesiph 146 5 τὸ στρατήγιον R: τὴν στρατηγίαν 7 Πλαταιᾶσι Cobetus: παραγγελίας 8 Ἀρχίνου R: ἀρχίου 12 κοινοῖς] Κόνωνος Madvigius. Malim Κονωνείοις 17 οὐ Leonicus: ἢ 18 οὐ S 21 τοῖς ὅρκοις M: τοὺς ὅρκους

καὶ τὴν ὑπεροψίαν τοῦ ζῆν, αὐτός, ὥς φασιν, ἤδη γέρων γεγονὼς πρὸς τὸν πυθόμενον πῶς διάγει, ‘οὕτως’ εἶπεν ‘ὡς ἄνθρωπος ὑπὲρ ἐνενήκοντα ἔτη γεγονὼς καὶ μέγιστον ἡγούμενος τῶν κακῶν τὸν θάνατον.’ οὐ γὰρ ἀκονῶν ξίφος οὐδὲ λόγχην χαράττων οὐδὲ λαμπρύνων κράνος οὐδε στρατευόμενος οὐδ’ ἐρέσσων, ἀλλ’ ἀντίθετα καὶ πάρισα καὶ ὁμοιόπτωτα κολλῶν καὶ συντιθείς, μονονοὺ κολαπτῆρσι καὶ ξυστῆρσι τὰς περιόδους ἀπολεαίνων καὶ ῥυθμίζων E ἐγήρασε. πῶς οὖν οὐκ ἔμελλεν ἄνθρωπος ψόφον ὅπλων φοβεῖσθαι καὶ σύρρηγμα φάλαγγος ὁ φοβούμενος φωνῆεν φωνήεντι συγκροῦσαι καὶ συλλαβῇ τὸ ἰσόκωλον ἐνδεὲς ἐξενεγκεῖν; Μιλτιάδης μὲν γὰρ ἄρας ἐς Μαραθῶνα τῇ ὑστεραίᾳ τὴν μάχην συνάψας ἧκεν εἰς ἄστυ μετὰ τῆς στρατιᾶς νενικηκώς, καὶ Περικλῆς ἐννέα μησὶ Σαμίους καταστρεψάμενος ἐφρόνει τοῦ Ἀγαμέμνονος μεῖζον ἔτει δεκάτῳ τὴν Τροίαν ἑλόντος· F Ἰσοκράτης δὲ μικροῦ τρεῖς ὀλυμπιάδας ἀνήλωσεν, ἵνα γράψῃ τὸν πανηγυρικὸν λόγον, οὐ στρατευσάμενος ἐν τούτοις τοῖς χρόνοις οὐδὲ πρεσβεύσας οὐδὲ πόλιν κτίσας οὐδὲ ναύαρχος ἐκπεμφθείς, καίτοι μυρίους τοῦ τότε χρόνου πολέμους ἐνέγκαντος· ἀλλ’ ἐν ᾧ Τιμόθεος Εὔβοιαν ἠλευθέρου καὶ Χαβρίας περὶ Νάξον ἐναυμάχει καὶ περὶ Λέχαιον Ἰφικράτης κατέκοπτε τὴν Λακεδαιμονίων μόραν, καὶ πᾶσαν ἐλευθερώσας πόλιν ὁ δῆμος ἰσόψηφον αὐτοῖς τὴν Ἑλλάδα 351 κατέστησεν, οἴκοι καθῆστο βιβλίον ἀναπλάττων τοῖς

11 φάλαγγος] φαλάγγων Abreschius 13 ἄρας Emperius: αὐτὸς 25 μόραν M: μοῖραν

ὀνόμασιν, ὅσῳ χρόνῳ τὰ προπύλαια Περικλῆς ἀνέστησε καὶ τοὺς ἑκατομπέδους. καίτοι καὶ τοῦτον ὡς βραδέως ἀνύοντα τοῖς ἔργοις ἐπισκώπτων Κρατῖνος οὕτω πως λέγει περὶ τοῦ διὰ μέσου τείχους, 'λόγοισι γὰρ αὐτὸ προάγει Περικλέης, ἔργοισι δ' οὐδὲ κινεῖ.' σκόπει δὲ σοφιστικὴν μικροφροσύνην, τὸ ἔνατον μέρος τοῦ βίου εἰς ἕνα λόγον καταναλίσκουσαν. ἀλλὰ νὴ Δία τοὺς Δημοσθένους τοῦ ῥήτορος λόγους ἄξιόν ἐστι τοῖς τοῦ στρατηγοῦ ἔργοις παραβάλλειν; τὸν
B κατὰ Κόνωνος αἰκίας τοῖς περὶ Πύλον τροπαίοις ἐκείνου; τὸν πρὸς Ἀρεθούσιον περὶ ἀνδραπόδων τοῖς ἐξανδραποδισθεῖσιν ὑπ' ἐκείνου Σπαρτιάταις; ἢ ὅτι τοὺς ἐποίκους ἔγραψε, ταύτην Ἀλκιβιάδης ἔχων Μαντινεῖς καὶ Ἠλείους ἐπὶ τὴν Λακεδαίμονα συνέστησε. καὶ μὴν οἵ γε δημόσιοι λόγοι τοῦτ' ἔχουσι θαυμαστόν, ὅτι τοῖς Φιλιππικοῖς ἐπὶ πράξεις προτρέπεται καὶ τὴν Λεπτίνου πρᾶξιν ἐπαινεῖ.

4 μέσου W: μέσον λόγοισι γὰρ αὐτὸ] πάλαι γὰρ αὐτὸ λόγοισι Vit. Per. c. 18. cf. Meinek. II. p. 218 5 αὐτὸ R: αὐτὸν 8 νὴ Δία Madvigius: δὴ μετὰ 9 τοῖς τοῦ στρατηγοῦ ἔργοις W: τοῖς στρατηγοῖς 11 ἐκείνου Leonicus: ἔχειν τὸν Papabasiliu Ἀρεθούσιον Cobetus: ἀμαθούσιον 12 ἢ ὅτι — ταύτην] fort. ἢ ὅτι ὅτε τοὺς ἐπιτροπικοὺς ἔγραψε, τὴν ἡλικίαν ταύτην 15 γε Herwerdenus: τε 17 ἐπαινεῖ] 'λείπει τὸ τέλος' adnotavit M

ΠΕΡΙ ΙΣΙΔΟΣ ΚΑΙ ΟΣΙΡΙΔΟΣ.

Πάντα μέν, ὦ Κλέα, δεῖ τἀγαθὰ τοὺς νοῦν ἔχοντας αἰτεῖσθαι παρὰ τῶν θεῶν, μάλιστα δὲ τῆς περὶ αὐτῶν ἐπιστήμης ὅσον ἐφικτόν ἐστιν ἀνθρώποις μετιόντες εὐχώμεθα τυγχάνειν παρ' αὐτῶν ἐκείνων· ὡς οὐδὲν ἀνθρώπῳ λαβεῖν μεῖζον οὐδὲ χαρίσασθαι θεῷ σεμνότερον ἀληθείας. τἄλλα μὲν γὰρ ἀνθρώ- D *ποις ὁ θεὸς ὧν δέονται δίδωσιν, νοῦ δὲ καὶ φρονήσεως μεταδίδωσιν, οἰκεῖα κεκτημένος ταῦτα καὶ χρώμενος. οὐ γὰρ ἀργύρῳ καὶ χρυσῷ μακάριον τὸ θεῖον, οὐδὲ βρονταῖς καὶ κεραυνοῖς ἰσχυρόν, ἀλλ' ἐπιστήμῃ καὶ φρονήσει. καὶ τοῦτο κάλλιστα πάντων Ὅμηρος ὧν εἴρηκε περὶ θεῶν ἀναφθεγξάμενος*

'ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος ἠδ' ἴα πάτρη,
ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδει,

σεμνοτέραν ἀπέφηνε τὴν τοῦ Διὸς ἡγεμονίαν, ἐπιστήμῃ καὶ σοφίᾳ πρεσβυτέραν οὖσαν. οἶμαι δὲ καὶ τῆς αἰωνίου ζωῆς, ἣν ὁ θεὸς εἴληχεν, εὔδαιμον εἶναι E *τὸ τῇ γνώσει μὴ προαπολείπειν τὰ γιγνόμενα· τοῦ*

4 *εὐχώμεθα* Halmius: *εὐχόμεθα* 5 *οὐδὲ* *: *οὐ* 6 *τἄλλα* *: *τὰ ἄλλα* 7 *νοῦ — μεταδίδωσιν* W ex Eustr. Comment. ad Aristot. Ethic. 6 p. 98b 13 Hom. *N* 354 15 *ἐπιστήμῃ καὶ σοφίᾳ* Marklandus: *ἐπιστήμης καὶ σοφίας* 17 *εὔδαιμον*] *ἓν εὔδαιμον* Emperius 18 *προαπολείπειν* *: *προαπολιπεῖν*

δὲ γιγνώσκειν τὰ ὄντα καὶ φρονεῖν ἀφαιρεθέντος, οὐ βίον ἀλλὰ χρόνον εἶναι τὴν ἀθανασίαν.

2. Διὸ θειότητος ὄρεξίς ἐστιν ἡ τῆς ἀληθείας μάλιστα δὲ τῆς περὶ θεῶν ἔφεσις, ὥσπερ ἀνάληψιν ἱερῶν τὴν μάθησιν ἔχουσα καὶ τὴν ζήτησιν, ἁγνείας τε πάσης καὶ νεωκορίας ἔργον ὁσιώτερον, οὐχ ἥκιστα δὲ τῇ θεῷ ταύτῃ κεχαρισμένον, ἣν σὺ θεραπεύεις
F ἐξαιρέτως σοφὴν καὶ φιλόσοφον οὖσαν, ὡς τοὔνομά γε φράζειν ἔοικε, παντὸς μᾶλλον αὐτῇ τὸ εἰδέναι καὶ τὴν ἐπιστήμην προσήκουσαν. Ἑλληνικὸν γὰρ ἡ Ἶσίς ἐστι καὶ ὁ Τυφών, ὢν πολέμιος τῇ θεῷ καὶ δι' ἄγνοιαν καὶ ἀπάτην τετυφωμένος καὶ διασπῶν καὶ ἀφανίζων τὸν ἱερὸν λόγον, ὃν ἡ θεὸς συνάγει καὶ συντίθησι καὶ παραδίδωσι τοῖς τελουμένοις θειώσεως, σώφρονι
352 μὲν ἐνδελεχῶς διαίτῃ καὶ βρωμάτων πολλῶν καὶ ἀφροδισίων ἀποχαῖς κολουούσης τὸ ἀκόλαστον καὶ φιλήδονον, ἀθρύπτους δὲ καὶ στερρὰς ἐν ἱεροῖς λατρείας ἐθιζούσης ὑπομένειν, ὧν τέλος ἐστὶν ἡ τοῦ πρώτου καὶ κυρίου καὶ νοητοῦ γνῶσις, ὃν ἡ θεὸς παρακαλεῖ ζητεῖν παρ' αὐτῇ καὶ μετ' αὐτῆς ὄντα καὶ συνόντα. τοῦ δ' ἱεροῦ τοὔνομα καὶ σαφῶς ἐπαγγέλλεται καὶ γνῶσιν καὶ εἴδησιν τοῦ ὄντος. ὀνομάζεται γὰρ Ἰσεῖον ὡς εἰσομένων τὸ ὄν, ἂν μετὰ λόγου καὶ ὁσίως εἰς τὰ ἱερὰ παρέλθωμεν τῆς θεοῦ.

9 γε R: τε 11 ὢν * 14 θειώσεως] θεῖ ὁσίοις (cf. p. 473, 7) an ὁσιώσεως (cf. Heliod. Aethiop. I 17 μειράκιον — τῶν Ἀφροδίτης μυούμενον et Thesaur. s. v.)? 16 κολουούσης Emperius: κολουούσαις 18 ἐθιζούσαις W 22 καὶ γνῶσιν] γνῶσιν? 23 Ἰσεῖον Partheius: ἴσειον εἰσομένων Baxterus: εἰσόμενον

3. Ἔτι πολλοὶ μὲν Ἑρμοῦ, πολλοὶ δὲ Προμηθέως ἱστορήκασιν αὐτὴν θυγατέρα· ὧν τὸν μὲν ἕτερον σοφίας καὶ προνοίας, Ἑρμῆν δὲ γραμματικῆς καὶ μουσικῆς εὑρετὴν νομίζοντες. διὸ καὶ τῶν ἐν Ἑρμοῦ B πόλει Μουσῶν τὴν προτέραν Ἶσιν ἅμα καὶ Δικαιοσύνην καλοῦσι, σοφὴν οὖσαν, ὥσπερ εἴρηται, καὶ δεικνύουσαν τὰ θεῖα τοῖς ἀληθῶς καὶ δικαίως ἱεραφόροις καὶ ἱεροστόλοις προσαγορευομένοις. οὗτοι δ' εἰσὶν οἱ τὸν ἱερὸν λόγον περὶ θεῶν πάσης καθαρεύοντα δεισιδαιμονίας καὶ περιεργίας ἐν τῇ ψυχῇ φέροντες ὥσπερ ἐν κίστῃ καὶ περιστέλλοντες, τὰ μὲν μέλανα καὶ σκιώδη τὰ δὲ φανερὰ καὶ λαμπρὰ τῆς περὶ θεῶν ὑποδηλοῦντα οἰήσεως, οἷα καὶ περὶ τὴν ἐσθῆτα τὴν ἱερὰν ἀποφαίνεται. διὸ καὶ τὸ κοσμεῖσθαι τούτοις τοὺς ἀποθανόντας Ἰσιακοὺς σύμβολόν ἐστι τοῦτον τὸν λόγον εἶναι μετ' αὐτῶν, καὶ τοῦτον ἔχοντας C ἄλλο δὲ μηδὲν ἐκεῖ βαδίζειν. οὔτε γὰρ φιλοσόφους πωγωνοτροφίαι, ὦ Κλέα, καὶ τριβωνοφορίαι ποιοῦσιν, οὔτ' Ἰσιακοὺς αἱ λινοστολίαι καὶ ξυρήσεις· ἀλλ' Ἰσιακός ἐστιν ὡς ἀληθῶς ὁ τὰ δεικνύμενα καὶ δρώμενα περὶ τοὺς θεοὺς τούτους, ὅταν νόμῳ παραλάβῃ, λόγῳ ζητῶν καὶ φιλοσοφῶν περὶ τῆς ἐν αὐτοῖς ἀληθείας.

4. Ἐπεὶ τούς γε πολλοὺς καὶ τὸ κοινότατον τοῦτο καὶ σμικρότατον λέληθεν, ἐφ' ὅτῳ τὰς τρίχας οἱ ἱερεῖς ἀποτίθενται καὶ λινᾶς ἐσθῆτας φοροῦσιν· οἱ

2 ὧν] del. M. ὡς R. τὸν Basileensis: τὸ 4 νομίζοντες] νομίζομεν R. νομίζοντες διατελοῦσι? ἐν Baxterus 6 σοφὴν οὖσαν*: σοφίαν. cf. p. 472,9 9 λόγον] λόγον τὸν? 13 ὑποδηλοῦντα] ὑποδηλοῦντες M οἰήσεως] νοήσεως W 19 αἱ] αὖ Marklandus ξυρήσεις R: ξύρησις 21 ὅταν] ἄττ' ἂν Bentl.

μὲν γὰρ οὐδ' ὅλως φροντίζουσιν εἰδέναι περὶ τούτων, D οἱ δὲ τῶν μὲν ἐρίων ὥσπερ τῶν κρεῶν, σεβομένους τὸ πρόβατον, ἀπέχεσθαι λέγουσι, ξυρεῖσθαι δὲ τὰς κεφαλὰς διὰ τὸ πένθος, φορεῖν δὲ τὰ λινᾶ διὰ τὴν χρόαν, ἣν τὸ λίνον ἀνθοῦν ἀνίησι τῇ περιεχούσῃ τὸν κόσμον αἰθερίῳ χαροπότητι προσεοικυῖαν. ἡ δ' ἀληθὴς αἰτία μία πάντων ἐστί· 'καθαροῦ γάρ' ᾗ φησιν ὁ Πλάτων 'οὐ θεμιτὸν ἅπτεσθαι μὴ καθαρῷ·' περίσσωμα δὲ τροφῆς καὶ σκύβαλον οὐδὲν ἁγνὸν οὐδὲ καθαρόν ἐστιν· ἐκ δὲ περιττωμάτων ἔρια καὶ λάχναι καὶ τρίχες καὶ ὄνυχες ἀναφύονται καὶ βλαστάνουσι. γελοῖον οὖν ἦν τὰς μὲν αὑτῶν τρίχας ἐν E ταῖς ἁγνείαις ἀποτίθεσθαι ξυρουμένους καὶ λειαινομένους πᾶν ὁμαλῶς τὸ σῶμα, τὰς δὲ τῶν θρεμμάτων ἀμπέχεσθαι καὶ φορεῖν· καὶ γὰρ τὸν Ἡσίοδον οἴεσθαι δεῖ λέγοντα

'μηδ' ἀπὸ πεντόζοιο θεῶν ἐν δαιτὶ θαλείῃ
αὖον ἀπὸ χλωροῦ τάμνειν αἴθωνι σιδήρῳ,'

διδάσκειν ὅτι δεῖ καθαροὺς τῶν τοιούτων γενομένους ἑορτάζειν, οὐκ ἐν αὐταῖς ταῖς ἱερουργίαις χρῆσθαι καθάρσει καὶ ἀφαιρέσει τῶν περιττωμάτων. τὸ δὲ λίνον φύεται μὲν ἐξ ἀθανάτου τῆς γῆς καὶ F καρπὸν ἐδώδιμον ἀναδίδωσι, λιτὴν δὲ παρέχει καὶ καθαρὰν ἐσθῆτα καὶ τῷ σκέποντι μὴ βαρύνουσαν, εὐάρμοστον δὲ πρὸς πᾶσαν ὥραν, ἥκιστα δὲ φθειροποιόν, ὥς λέγουσι· περὶ ὧν ἕτερος λόγος.

1 γὰρ M περὶ] τι περὶ Squirius 3 ξυρεῖσθαι *: ξύρεσθαι 8 Πλάτων] Phaedon. p. 67 b 12 αὑτῶν *: αὐτῶν 13 ξυρουμένους *: ξυρωμένους 15 Ἡσίοδον] OD 741

5. *Οἱ δ' ἱερεῖς οὕτω δυσχεραίνουσι τὴν τῶν περιττωμάτων φύσιν, ὥστε μὴ μόνον παραιτεῖσθαι τῶν ὀσπρίων τὰ πολλὰ καὶ τῶν κρεῶν τὰ μήλεια καὶ ὕεια, πολλὴν ποιοῦντα περίττωσιν, ἀλλὰ καὶ τοὺς ἅλας τῶν σιτίων ἐν ταῖς ἁγνείαις ἀφαιρεῖν, ἄλλας τε πλείονας αἰτίας ἔχοντας καὶ τὸ ποτικωτέρους καὶ βρωτικωτέρους ποιεῖν ἐπιθήγοντας τὴν ὄρεξιν. τὸ γάρ, ὡς Ἀρισταγόρας ἔλεγε, διὰ τὸ πηγνυμένοις πολλὰ τῶν μικρῶν ζῴων ἐναποθνήσκειν ἁλισκόμενα μὴ καθαροὺς λογίζεσθαι τοὺς ἅλας εὔηθές ἐστι. λέγονται δὲ καὶ τὸν Ἆπιν ἐκ φρέατος ἰδίου ποτίζειν,* 353
τοῦ δὲ Νείλου παντάπασιν ἀπείργειν, οὐ μιαρὸν ἡγούμενοι τὸ ὕδωρ διὰ τὸν κροκόδειλον, ὡς ἔνιοι νομίζουσιν· οὐδὲν γὰρ οὕτω τίμιον Αἰγυπτίοις, ὡς ὁ Νεῖλος· ἀλλὰ πιαίνειν δοκεῖ καὶ μάλιστα πολυσαρκίαν ποιεῖν τὸ Νειλῷον ὕδωρ πινόμενον. οὐ βούλονται δὲ τὸν Ἆπιν οὕτως ἔχειν οὐδ' ἑαυτούς, ἀλλ' εὐσταλῆ καὶ κοῦφα ταῖς ψυχαῖς περικεῖσθαι τὰ σώματα καὶ μὴ πιέζειν μηδὲ καταθλίβειν ἰσχύοντι τῷ θνητῷ καὶ βαρύνοντι τὸ θεῖον.

6. *Οἶνον δ' οἱ μὲν ἐν Ἡλίου πόλει θεραπεύοντες τὸν θεὸν οὐκ εἰσφέρουσι τὸ παράπαν εἰς τὸ ἱερόν, ὡς οὐ προσῆκον ἡμέρας πίνειν, τοῦ κυρίου* B
καὶ βασιλέως ἐφορῶντος· οἱ δ' ἄλλοι χρῶνται μὲν ὀλίγῳ δέ. πολλὰς δ' ἀοίνους ἁγνείας ἔχουσιν, ἐν αἷς φιλοσοφοῦντες καὶ μανθάνοντες καὶ διδάσκοντες τὰ

6 *τὸ* W 8 *Ἀρισταγόρας*] Mueller. 2 p. 99 13 *ἡγούμενοι* Marklandus: *ἡγουμένους* 14 *τίμιον* R: *τιμὴ* 23 *ἡμέρας*] *ἱερέας* Moserus

θεῖα διατελοῦσιν. οἱ δὲ βασιλεῖς καὶ μετρητὸν ἔπινον ἐκ τῶν ἱερῶν γραμμάτων, ὡς Ἑκαταῖος ἱστόρηκεν, ἱερεῖς ὄντες· ἤρξαντο δὲ πίνειν ἀπὸ Ψαμμητίχου, πρότερον δ' οὐκ ἔπινον οἶνον οὐδ' ἔσπενδον ὡς φίλιον θεοῖς, ἀλλ' ὡς αἷμα τῶν πολεμησάντων ποτὲ τοῖς θεοῖς, ἐξ ὧν οἴονται πεσόντων καὶ τῇ γῇ συμμιγέντων ἀμπέλους γενέσθαι· διὸ καὶ τὸ μεθύειν C ἔκφρονας ποιεῖν καὶ παραπλῆγας, ἅτε δὴ τῶν προγόνων τοῦ αἵματος ἐμπιπλαμένους. ταῦτα μὲν οὖν Εὔδοξος ἐν τῇ δευτέρᾳ τῆς περιόδου λέγεσθαί φησιν οὕτως ὑπὸ τῶν ἱερέων.

7. Ἰχθύων δὲ θαλαττίων πάντες μὲν οὐ πάντων ἀλλ' ἐνίων ἀπέχονται, καθάπερ Ὀξυρυγχῖται τῶν ἀπ' ἀγκίστρου· σεβόμενοι γὰρ τὸν ὀξύρυγχον ἰχθὺν δεδίασι μή ποτε τὸ ἄγκιστρον οὐ καθαρόν ἐστιν ὀξυρύγχου περιπεσόντος αὐτῷ. Συηνῖται δὲ φάγρου· δοκεῖ γὰρ ἐπιόντι τῷ Νείλῳ συνεπιφαίνεσθαι, καὶ D τὴν αὔξησιν ἀσμένοις φράζειν αὐτάγγελος ὁρώμενος. οἱ δ' ἱερεῖς ἀπέχονται πάντων· πρώτου δὲ μηνὸς ἐνάτῃ τῶν ἄλλων Αἰγυπτίων ἑκάστου πρὸ τῆς αὐλείου θύρας ὀπτὸν ἰχθὺν κατεσθίοντος, οἱ ἱερεῖς οὐ γεύονται μὲν κατακάουσι δὲ πρὸ τῶν θυρῶν τοὺς ἰχθῦς, δύο λόγους ἔχοντες, ὧν τὸν μὲν ἱερὸν καὶ περιττὸν αὖθις ἀναλήψομαι, συνᾴδοντα τοῖς περὶ Ὀσίριδος καὶ Τυφῶνος ὁσίως φιλοσοφουμένοις· ὁ δ' ἐμφανὴς καὶ πρόχειρος οὐκ ἀναγκαῖον οὐδ' ἀπερίεργον ὄψον ἀπο-

2 Ἑκαταῖος] Mueller. 2 p. 389 8 ποιεῖν Marklandus: ποιεῖ 26 οὐδ' ἀπερίεργον Bentleius: οὐδὲ περίεργον ἀποφαίνων Baxterus: ἀποφαίνειν

φαίνων τὸν ἰχθύν, Ὁμήρῳ μαρτυρεῖ μήτε Φαίακας τοὺς ἁβροβίους μήτε τοὺς Ἰθακησίους ἀνθρώπους νησιώτας ἰχθύσι χρωμένους ποιοῦντι μήτε τοὺς E Ὀδυσσέως ἑταίρους ἐν πλῷ τοσούτῳ καὶ ἐν θαλάττῃ πρὶν εἰς ἐσχάτην ἐλθεῖν ἀπορίαν. ὅλως δὲ καὶ τὴν θάλατταν ἐκ πυρὸς ἡγοῦνται καὶ παρωρισμένην, οὐδὲ μέρος οὐδὲ στοιχεῖον ἀλλ' ἀλλοῖον περίττωμα διεφθορὸς καὶ νοσῶδες.

8. Οὐδὲν γὰρ ἄλογον οὐδὲ μυθῶδες οὐδ' ὑπὸ δεισιδαιμονίας, ὥσπερ ἔνιοι νομίζουσιν, ἐγκατεστοιχειοῦτο ταῖς ἱερουργίαις, ἀλλὰ τὰ μὲν ἠθικὰς ἔχοντα καὶ χρειώδεις αἰτίας, τὰ δ' οὐκ ἄμοιρα κομψότητος ἱστορικῆς ἢ φυσικῆς ἐστιν, οἷον τὸ περὶ κρομμύου. τὸ γὰρ ἐμπεσεῖν εἰς τὸν ποταμὸν καὶ ἀπολέσθαι F τὸν τῆς Ἴσιδος τρόφιμον Δίκτυν τῶν κρομμύων ἐπιδρασσόμενον ἐσχάτως ἀπίθανον· οἱ δ' ἱερεῖς ἀφοσιοῦνται καὶ δυσχεραίνουσι τὸ κρόμμυον παραφυλάττοντες, ὅτι τῆς σελήνης φθινούσης μόνον εὐτροφεῖν τοῦτο καὶ τεθηλέναι πέφυκεν. ἔστι δὲ πρόσφορον οὔθ' ἁγνεύουσιν οὔθ' ἑορτάζουσι, τοῖς μὲν ὅτι διψῆν, τοῖς δ' ὅτι δακρύειν ποιεῖ τοὺς προσφερομένους. ὁμοίως δὲ καὶ τὴν ὗν ἀνίερον ζῷον ἡγοῦνται· ὡς μάλιστα γὰρ ὀχεύεσθαι δοκεῖ τῆς σελήνης φθινούσης· καὶ τῶν τὸ γάλα πινόντων ἐξανθεῖ τὰ σώματα λέπραν καὶ ψωρικὰς τραχύτητας. τὸν δὲ λόγον, ὃν θύοντες 354 ἅπαξ ὗν ἐν πανσελήνῳ καὶ ἐσθίοντες ἐπιλέγουσιν, ὡς

6 καὶ] καὶ ὕδατος R. Del. Squirius 11 ταῖς W 15 τῶν Leonicus: οὐ 17 τὸ Squirius: καὶ τὸ 26 ἅπαξ] ἅπαξ τοῦ ἔτους Squirius ex Ael. H. A. 10, 16 καὶ ἐσθίοντες Bentleius: κατεσθίοντες

ὁ Τυφὼν ὗν διώκων πρὸς τὴν πανσέληνον εὗρε τὴν ξυλίνην σορόν, ἐν ᾗ τὸ σῶμα τοῦ Ὀσίριδος ἔκειτο, καὶ διέρριψεν, οὐ πάντες ἀποδέχονται, παρακουσμάτιον ὥσπερ ἄλλα πολλὰ νομίζοντες· ἀλλὰ τρυφήν τε καὶ πολυτέλειαν καὶ ἡδυπάθειαν οὕτω προβάλλεσθαι τοὺς παλαιοὺς λέγουσιν, ὥστε καὶ στήλην ἔφασαν ἐν Θήβαις ἐν τῷ ἱερῷ κεῖσθαι κατάρας ἐγγεγραμμένας ἔχουσαν κατὰ Μείνιος τοῦ βασιλέως, ὃς πρῶτος
B Αἰγυπτίους τῆς ἀπλούτου καὶ ἀχρημάτου καὶ λιτῆς ἀπήλλαξε διαίτης. λέγεται δὲ καὶ Τέχνακτις ὁ Βοκχόρεως πατὴρ στρατεύων ἐπ' Ἄραβας, τῆς ἀποσκευῆς βραδυνούσης, ἡδέως τῷ προστυχόντι σιτίῳ χρησάμενος, εἶτα κοιμηθεὶς βαθὺν ὕπνον ἐπὶ στιβάδος, ἀσπάσασθαι τὴν εὐτέλειαν· ἐκ δὲ τούτου καταράσασθαι τῷ Μεινίῳ, καὶ τῶν ἱερέων ἐπαινεσάντων στηλιτεῦσαι τὴν κατάραν.

9. Οἱ δὲ βασιλεῖς ἀπεδείκνυντο μὲν ἐκ τῶν ἱερέων ἢ τῶν μαχίμων, τοῦ μὲν δι' ἀνδρείαν τοῦ δὲ διὰ σοφίαν γένους ἀξίωμα καὶ τιμὴν ἔχοντος. ὁ δ' ἐκ μαχίμων ἀποδεδειγμένος εὐθὺς ἐγίγνετο τῶν ἱερέων
C καὶ μετεῖχε τῆς φιλοσοφίας, ἐπικεκρυμμένης τὰ πολλὰ μύθοις καὶ λόγοις ἀμυδρὰς ἐμφάσεις τῆς ἀληθείας καὶ διαφάσεις ἔχουσιν, ὥσπερ ἀμέλει καὶ παραδηλοῦσιν αὐτοὶ πρὸ τῶν ἱερῶν τὰς σφίγγας ἐπιεικῶς ἱστάντες, ὡς αἰνιγματώδη σοφίαν τῆς θεολογίας αὐτῶν ἐχούσης. τὸ δ' ἐν Σάι τῆς Ἀθηνᾶς, ἣν καὶ

3 παρακουσμάτιον X: παρακουσμάτων 15 Μεινίῳ] Μείνι Baxterus ἐπαινεσάντων] ἐπινευσάντων R 26 Σάι p. 363f. Stob. 44, 42: σάει

Ἶσιν νομίζουσιν, ἕδος ἐπιγραφὴν εἶχε τοιαύτην ‘ἐγώ εἰμι πᾶν τὸ γεγονὸς καὶ ὂν καὶ ἐσόμενον καὶ τὸν ἐμὸν πέπλον οὐδείς πω θνητὸς ἀπεκάλυψεν.’ ἔτι δὲ τῶν πολλῶν νομιζόντων ἴδιον παρ’ Αἰγυπτίοις ὄνομα τοῦ Διὸς εἶναι τὸν Ἀμοῦν (ὃ παράγοντες ἡμεῖς Ἄμμωνα λέγομεν), Μανεθὼς μὲν ὁ Σεβεννύτης τὸ D κεκρυμμένον οἴεται καὶ τὴν κρύψιν ὑπὸ ταύτης δηλοῦσθαι τῆς φωνῆς· Ἑκαταῖος δ’ ὁ Ἀβδηρίτης φησὶ τούτῳ καὶ πρὸς ἀλλήλους τῷ ῥήματι χρῆσθαι τοὺς Αἰγυπτίους, ὅταν τινὰ προσκαλῶνται· προσκλητικὴν γὰρ εἶναι τὴν φωνήν. διὸ τὸν πρῶτον θεόν, ὃν τῷ παντὶ τὸν αὐτὸν νομίζουσιν, ὡς ἀφανῆ καὶ κεκρυμμένον ὄντα προσκαλούμενοι καὶ παρακαλοῦντες ἐμφανῆ γενέσθαι καὶ δῆλον αὐτοῖς, Ἀμοῦν λέγουσιν. ἡ μὲν οὖν εὐλάβεια τῆς περὶ τὰ θεῖα σοφίας Αἰγυπτίων τοσαύτη ἦν.

10. Μαρτυροῦσι δὲ καὶ τῶν Ἑλλήνων οἱ σοφώτατοι, Σόλων Θαλῆς Πλάτων Εὔδοξος Πυθαγόρας, E ὡς δ’ ἔνιοί φασι, καὶ Λυκοῦργος, εἰς Αἴγυπτον ἀφικόμενοι καὶ συγγενόμενοι τοῖς ἱερεῦσιν. Εὔδοξον μὲν οὖν Χονούφεώς φασι Μεμφίτου διακοῦσαι, Σόλωνα δὲ Σόγχιτος Σαΐτου, Πυθαγόραν δ’ Οἰνούφεως Ἡλιοπολίτου. μάλιστα δ’ οὗτος, ὡς ἔοικε, θαυμασθεὶς καὶ θαυμάσας τοὺς ἄνδρας ἀπεμιμήσατο F τὸ συμβολικὸν αὐτῶν καὶ μυστηριῶδες, ἀναμίξας αἰνίγμασι τὰ δόγματα· τῶν γὰρ καλουμένων ἱερο-

6 Σεβεννύτης Steph. Byzantius hic et infra: σεβεννίτης 8 Ἑκαταῖος] vid. p. 353 b 12 ὃν Bentleius 16 ἦν] del. Benselerus 23 Ἡλιοπολίτου *: ἡλιουπολίτου

γλυφικῶν γραμμάτων οὐδὲν ἀπολείπει τὰ πολλὰ τῶν Πυθαγορικῶν παραγγελμάτων, οἷόν ἐστι τό ‘μὴ ἐσθίειν ἐπὶ δίφρου’ ‘μηδ’ ἐπὶ χοίνικος καθῆσθαι’ ‘μηδὲ φοίνικα φυτεύειν’ ‘μηδὲ πῦρ μαχαίρᾳ σκαλεύειν ἐν οἰκίᾳ.’ δοκῶ δ’ ἔγωγε καὶ τὸ τὴν μονάδα τοὺς ἄνδρας ὀνομάζειν Ἀπόλλωνα καὶ τὴν δυάδα Ἄρτεμιν, Ἀθηνᾶν δὲ τὴν ἑβδομάδα, Ποσειδῶνα δὲ τὸν πρῶτον κύβον, ἐοικέναι τοῖς ἐπὶ τῶν ἱερῶν ἱδρυμένοις καὶ δρωμένοις νὴ Δία καὶ γραφομένοις. τὸν γὰρ βασιλέα καὶ κύριον Ὄσιριν ὀφθαλμῷ καὶ σκήπτρῳ γράφουσιν·
355 ἔνιοι δὲ καὶ τοὔνομα διερμηνεύουσι πολυόφθαλμον, ὡς τοῦ μὲν ο͞ς, τὸ πολύ, τοῦ δ’ ι͞ρι τὸν ὀφθαλμὸν Αἰγυπτίᾳ γλώττῃ φράζοντος· τὸν δ’ οὐρανὸν ὡς ἀγήρων δι’ ἀιδιότητα καρδίᾳ θυμὸν ἐσχάρας ὑποκειμένης. ἐν δὲ Θήβαις εἰκόνες ἦσαν ἀνακείμεναι δικαστῶν ἄχειρες, ἡ δὲ τοῦ ἀρχιδικαστοῦ καταμύουσα τοῖς ὄμμασιν, ὡς ἄδωρον ἅμα τὴν δικαιοσύνην καὶ ἀνέντευκτον οὖσαν. τοῖς δὲ μαχίμοις κάνθαρος ἦν γλυφὴ σφραγῖδος· οὐ γάρ ἐστι κάνθαρος θῆλυς, ἀλλὰ πάντες ἄρσενες. τίκτουσι δὲ τὸν γόνον εἰς ὕλην, ἣν σφαιροποιοῦσιν, οὐ τροφῆς μᾶλλον ἢ γενέσεως χώραν παρασκευάζοντες.

B 11. Ὅταν οὖν ἃ μυθολογοῦσιν Αἰγύπτιοι περὶ τῶν θεῶν ἀκούσῃς, πλάνας καὶ διαμελισμοὺς καὶ πολλὰ τοιαῦτα παθήματα, δεῖ τῶν προειρημένων μνημονεύειν καὶ μηδὲν οἴεσθαι τούτων λέγεσθαι

4 φυτεύειν] φονεύειν? μαχαίρᾳ *: μαχαίρῃ 6 τὴν δυάδα Squirius: δυάδα τὴν 13 φράζοντος Baxterus: φράζοντες ἀγήρων *: ἀγήρω 14 θυμὸν ἐσχάρας ὑποκειμένης] βωμίου ἐσχάρας ὑποκαομένης? cf. Eur. Phoen. 281. Soph. Antig. 1016. alii 20 εἰς ὕλην, ἣν W: ὡς

γεγονὸς οὕτω καὶ πεπραγμένον. οὐ γὰρ τὸν κύνα
κυρίως Ἑρμῆν λέγουσιν, ἀλλὰ τοῦ ζῴου τὸ φυλα-
κτικὸν καὶ τὸ ἄγρυπνον καὶ τὸ φιλόσοφον, γνώσει
καὶ ἀγνοίᾳ τὸ φίλον καὶ τὸ ἐχθρὸν ὁρίζοντος, ᾗ
φησιν ὁ Πλάτων, τῷ λογιωτάτῳ τῶν θεῶν συνοι-
κειοῦσιν. οὐδὲ τὸν ἥλιον ἐκ λωτοῦ νομίζουσι βρέφος
ἀνίσχειν νεογνόν, ἀλλ' οὕτως ἀνατολὴν ἡλίου γρά- C
φουσι, τὴν ἐξ ὑγρῶν ἡλίου γιγνομένην ἄναψιν αἰνιτ-
τόμενοι. καὶ γὰρ τὸν ὠμότατον Περσῶν βασιλέα
καὶ φοβερώτατον Ὦχον ἀποκτείναντα πολλούς, τέλος
δὲ καὶ τὸν Ἆπιν ἀποσφάξαντα καὶ καταδειπνήσαντα
μετὰ τῶν φίλων, ἐκάλεσαν 'μάχαιραν', καὶ καλοῦσι
μέχρι νῦν οὕτως ἐν τῷ καταλόγῳ τῶν βασιλέων, οὐ
κυρίως δήπου τὴν οὐσίαν αὐτοῦ σημαίνοντες, ἀλλὰ
τοῦ τρόπου τὴν σκληρότητα καὶ κακίαν ὀργάνῳ
φονικῷ παρεικάζοντες. οὕτω δὴ τὰ περὶ θεῶν ἀκού-
σασα καὶ δεχομένη παρὰ τῶν ἐξηγουμένων τὸν μῦθον
ὁσίως καὶ φιλοσόφως, καὶ δρῶσα μὲν ἀεὶ καὶ δια-
φυλάττουσα τῶν ἱερῶν τὰ νενομισμένα, τοῦ δ' D
ἀληθῆ δόξαν ἔχειν περὶ θεῶν μηδὲν οἰομένη μᾶλλον
αὐτοῖς μήτε θύσειν μήτε ποιήσειν κεχαρισμένον,
οὐδὲν ἔλαττον ἀποφεύξῃ κακὸν ἀθεότητος δεισιδαι-
μονίαν.

12. *Λέγεται δ' ὁ μῦθος οὗτος ἐν βραχυτάτοις ὡς ἔνεστι μάλιστα, τῶν ἀχρήστων σφόδρα καὶ περιττῶν ἀφαιρεθέντων. τῆς Ῥέας φασὶ κρύφα τῷ Κρόνῳ*

5 *Πλάτων*] Rep. p. 375e   *συνοικειοῦσιν* Baxterus: *κυνικειοῦσιν*   7 *νεογνόν* Herwerdenus: *νεογιλόν*   16 *ἀκούσασα*] *ἀκούουσα*?   21 *ποιήσειν* Duebnerus: *ποιήσειν αὐτοῖς*   22 *ἀποφεύξῃ* *: *ἀποφεύξοιο*   24 *οὕτως* Baxterus

συγγενομένης, αἰσθόμενον ἐπαράσασθαι τὸν Ἥλιον αὐτῇ μήτε μηνὶ μήτ᾽ ἐνιαυτῷ τεκεῖν· ἐρῶντα δὲ τὸν Ἑρμῆν τῆς θεοῦ συνελθεῖν, εἶτα παίξαντα πέττια πρὸς τὴν σελήνην καὶ ἀφελόντα τῶν φώτων ἑκάστου τὸ ἑβδομηκοστόν, ἐκ πάντων ἡμέρας πέντε συνελεῖν E *καὶ ταῖς ἑξήκοντα καὶ τριακοσίαις ἐπαγαγεῖν, ἃς νῦν ἐπαγομένας Αἰγύπτιοι καλοῦσι καὶ τῶν θεῶν γενεθλίους ἄγουσι. τῇ μὲν πρώτῃ τὸν Ὄσιριν γενέσθαι, καὶ φωνὴν αὐτῷ τεχθέντι συνεκπεσεῖν, ὡς ὁ πάντων κύριος εἰς φῶς πρόεισιν. ἔνιοι δὲ Παμύλην τινὰ λέγουσιν ἐν Θήβαις ὑδρευόμενον ἐκ τοῦ ἱεροῦ τοῦ Διὸς φωνὴν ἀκοῦσαι διακελευομένην ἀνειπεῖν μετὰ βοῆς, ὅτι μέγας βασιλεὺς εὐεργέτης Ὄσιρις γέγονε· καὶ διὰ τοῦτο θρέψαι τὸν Ὄσιριν, ἐγχειρίσαντος αὐτῷ τοῦ Κρόνου, καὶ τὴν τῶν Παμυλίων ἑορτὴν αὐτῷ τελεῖσθαι, Φαλληφορίοις ἐοικυῖαν. τῇ δὲ δευ-* F *τέρᾳ τὸν Ἀρούηριν, ὃν Ἀπόλλωνα, ὃν καὶ πρεσβύτερον Ὧρον ἔνιοι καλοῦσι· τῇ τρίτῃ δὲ Τυφῶνα μὴ καιρῷ μηδὲ κατὰ χώραν, ἀλλ᾽ ἀναρρήξαντα πληγῇ διὰ τῆς πλευρᾶς ἐξαλέσθαι· τετάρτῃ δὲ τὴν Ἶσιν ἐν πανύγροις γενέσθαι· τῇ δὲ πέμπτῃ Νέφθυν, ἣν καὶ Τελευτὴν καὶ Ἀφροδίτην, ἔνιοι δὲ καὶ Νίκην ὀνομάζουσιν. εἶναι δὲ τὸν μὲν Ὄσιριν ἐξ Ἡλίου καὶ*

5 *ἑβδομηκοστόν*] add. *δεύτερον* Scaligerus *συνελεῖν* X: *συνελθεῖν* 6 *ἐπαγαγεῖν* R: *ἐπάγειν* 9 *ὁ πάντων* R: *ἁπάντων* 10 *Παμύλην — Παμυλίων*] *Παμμύλην — Παμμυλίων* L. Dindorfius 11 *ὑδρευόμενον* Baxterus: *ὑδρευομένην* 14 *ἐγχειρίσαντος* Salmasius: *ἐγχειρήσαντος* 17 *ὃν καὶ*] *ὄντα καὶ*? cf. p. 483, 9 20 *ἐξαλέσθαι* R: *ἐξάλλεσθαι* 21 *πανύγροις*] *πανηγύρεσι* Bunsenius

τὸν Ἀρούηριν, ἐκ δ' Ἑρμοῦ τὴν Ἶσιν, ἐκ δὲ τοῦ Κρόνου τὸν Τυφῶνα καὶ τὴν Νέφθυν, διὸ καὶ τὴν τρίτην τῶν ἐπαγομένων ἀποφράδα νομίζοντες οἱ 356 βασιλεῖς οὐκ ἐχρημάτιζον οὐδ' ἐθεράπευον αὑτοὺς μέχρι νυκτός. γήμασθαι δὲ τῷ Τυφῶνι τὴν Νέφθυν. Ἶσιν δὲ καὶ Ὄσιριν ἐρῶντας ἀλλήλων καὶ πρὶν ἢ γενέσθαι κατὰ γαστρὸς ὑπὸ σκότῳ συνεῖναι. ἔνιοι δέ φασι καὶ τὸν Ἀρούηριν οὕτω γεγονέναι καὶ καλεῖσθαι πρεσβύτερον Ὧρον ὑπ' Αἰγυπτίων, Ἀπόλλωνα δ' ὑφ' Ἑλλήνων.

13. Βασιλεύοντα δ' Ὄσιριν Αἰγυπτίους μὲν εὐθὺς ἀπόρου βίου καὶ θηριώδους ἀπαλλάξαι, καρπούς τε δείξαντα καὶ νόμους θέμενον αὐτοῖς καὶ θεοὺς διδά- B ξαντα τιμᾶν· ὕστερον δὲ γῆν πᾶσαν ἡμερούμενον ἐπελθεῖν, ἐλάχιστα μὲν ὅπλων δεηθέντα, πειθοῖ δὲ τοὺς πλείστους καὶ λόγῳ μετ' ᾠδῆς καὶ πάσης μουσικῆς θελγομένους προσαγόμενον· ὅθεν Ἕλλησι δόξαι Διονύσῳ τὸν αὐτὸν εἶναι. Τυφῶνα δ' ἀπόντος μὲν οὐδὲν νεωτερίζειν, διὰ τὸ τὴν Ἶσιν εὖ μάλα φυλάττεσθαι καὶ προσέχειν ἐγκρατῶς ἔχουσαν, ἐπανελθόντι δὲ δόλον μηχανᾶσθαι, συνωμότας ἄνδρας ἑβδομήκοντα καὶ δύο πεποιημένον καὶ συνεργὸν ἔχοντα βασίλισσαν ἐξ Αἰθιοπίας παροῦσαν, ἣν ὀνομάζουσιν Ἀσώ· τοῦ δ' Ὀσίριδος ἐκμετρησάμενον λάθρα τὸ C σῶμα καὶ κατασκευάσαντα πρὸς τὸ μέγεθος λάρνακα

3 τρίτην] add. καὶ τὴν πέμπτην R 5 γήμασθαι X: τιμᾶσθαι 7 ἔνιοι δέ φασι — Ἑλλήνων] glossam esse putat W 13 διδάξαντα Marklandus: δείξαντα 20 ἔχουσαν] ἄρχουσαν idem. cf. Diod. I 17

καλὴν καὶ κεκοσμημένην περιττῶς εἰσενεγκεῖν εἰς τὸ συμπόσιον. ἡσθέντων δὲ τῇ ὄψει καὶ θαυμασάντων, ὑποσχέσθαι τὸν Τυφῶνα μετὰ παιδιᾶς, ὃς ἂν ἐγκατακλιθεὶς ἐξισωθῇ, διδόναι δῶρον αὐτῷ τὴν λάρνακα. πειρωμένων δὲ πάντων καθ' ἕκαστον, ὡς οὐδεὶς ἐνήρμοττεν, ἐμβάντα τὸν Ὄσιριν κατακλιθῆναι. τοὺς δὲ συνόντας ἐπιδραμόντας ἐπιρράξαι τὸ πῶμα καί, τῶν μὲν γόμφοις καταλαβόντων ἔξωθεν, τῶν δὲ θερμοῦ μολίβδου καταχεαμένων, ἐπὶ τὸν ποταμὸν ἐξενεγκεῖν καὶ μεθεῖναι διὰ τοῦ Τανιτικοῦ στόματος εἰς τὴν θάλασσαν, ὃ διὰ τοῦτο μισητὸν ἔτι νῦν καὶ κατάπτυστον ὀνομάζειν Αἰγυπτίους. ταῦτα δὲ πραχθῆναι λέγουσιν ἑβδόμῃ ἐπὶ δέκα μηνὸς Ἀθύρ, ἐν ᾧ τὸν σκορπίον ὁ ἥλιος διέξεισιν, ὄγδοον ἔτος καὶ D εἰκοστὸν ἐκεῖνο βασιλεύοντος Ὀσίριδος. ἔνιοι δὲ βεβιωκέναι φασὶν αὐτόν, οὐ βεβασιλευκέναι χρόνον τοσοῦτον.

14. Πρώτων δὲ τῶν τὸν περὶ Χέμμιν οἰκούντων τόπον Πανῶν καὶ Σατύρων τὸ πάθος αἰσθομένων καὶ λόγον ἐμβαλόντων περὶ τοῦ γεγονότος, τὰς μὲν αἰφνιδίους τῶν ὄχλων ταραχὰς καὶ πτοήσεις ἔτι νῦν διὰ τοῦτο πανικὰς προσαγορεύεσθαι· τὴν δ' Ἶσιν αἰσθομένην κείρασθαι μὲν ἐνταῦθα τῶν πλοκάμων ἕνα καὶ πένθιμον στολὴν ἀναλαβεῖν, ὅπου τῇ πόλει

3 ἐγκατακλιθεὶς Marklandus: ἐγκατακλεισθεὶς 4 ἐξισωθῇ *: ἐξισωθείη 7 συνόντας] συνωμότας M ἐπιρράξαι W: ἐπιρρῆξαι 8 τῶν μὲν — καταλαβόντων Salmasius: τὰ μὲν — καταλαβόντας 10 Τανιτικοῦ X: ταναΐτικοῦ 15 ἐκεῖνο X: ἐκείνου 18 Χέμμιν X: χέννιν 23 κείρασθαι Herwerdenus: κείρεσθαι 24 τῇ πόλει] πόλις ῇ R

μέχρι νῦν ὄνομα Κοπτώ. ἕτεροι δὲ τοὔνομα σημαί-
νειν οἴονται στέρησιν· τὸ γὰρ ἀποστερεῖν ‘κόπτειν’ E
λέγουσι. πλανωμένην δὲ πάντῃ καὶ ἀποροῦσαν οὐδένα
προσελθεῖν ἀπροσαύδητον, ἀλλὰ καὶ παιδαρίοις συν-
τυχοῦσαν ἐρωτᾶν περὶ τῆς λάρνακος· τὰ δὲ τυχεῖν
ἑωρακότα καὶ φράσαι τὸ στόμα, δι’ οὗ τὸ ἀγγεῖον
οἱ φίλοι τοῦ Τυφῶνος εἰς τὴν θάλασσαν ἔωσαν. ἐκ
τούτου τὰ παιδάρια μαντικὴν δύναμιν ἔχειν οἴεσθαι
τοὺς Αἰγυπτίους, καὶ μάλιστα ταῖς τούτων ὀττεύεσθαι
κληδόσι παιζόντων ἐν ἱεροῖς καὶ φθεγγομένων ὅ τι
ἂν τύχωσι. αἰσθομένην δὲ τῇ ἀδελφῇ ἐρῶντα συγ-
γεγονέναι δι’ ἄγνοιαν ὡς ἑαυτῇ τὸν Ὄσιριν, καὶ F
τεκμήριον ἰδοῦσαν τὸν μελιλώτινον στέφανον, ὃν
ἐκεῖνος παρὰ τῇ Νέφθυι κατέλιπε, τὸ παιδίον ζητεῖν
(ἐκθεῖναι γὰρ εὐθὺς τεκοῦσαν διὰ φόβον τοῦ Τυ-
φῶνος)· εὑρεθὲν δὲ χαλεπῶς καὶ μόγις, κυνῶν ἐπα-
γόντων τὴν Ἶσιν, ἐκτραφῆναι καὶ γενέσθαι φύλακα
καὶ ὀπαδὸν αὐτῆς, Ἄνουβιν προσαγορευθέντα, καὶ
λεγόμενον τοὺς θεοὺς φρουρεῖν, ὥσπερ οἱ κύνες
τοὺς ἀνθρώπους.

15. Ἐκ δὲ τούτου πυθέσθαι περὶ τῆς λάρνακος, 357
ὡς πρὸς τὴν Βύβλον χώραν ὑπὸ τῆς θαλάττης ἐκ-
κυμανθεῖσαν αὐτὴν ἐρείκῃ τινὶ μαλθακῶς ὁ κλύδων
προσέμιξεν· ἡ δ’ ἐρείκη κάλλιστον ἔρνος ὀλίγῳ χρόνῳ
καὶ μέγιστον ἀναδραμοῦσα περιέπτυξε καὶ περιέφυ

1 ἕτεροι — λέγουσι] ex margine irrepsisse videntur
4 προσελθεῖν] παρελθεῖν M 5 δὲ τυχεῖν Baxterus: δ’ ἔτυχεν 13 ἰδοῦσαν τὸν μελιλώτινον X: ἰδοῦσα τὸν μὲν λάτινον 14 τῇ Νέφθυι R: τὴν νέφθυν 15 ἐκθεῖναι X: ἐκεῖνο 16 δὲ Squirius 22 Βύβλον] Βύβλου Bentleius

καὶ ἀπέκρυψεν ἐντὸς ἑαυτῆς· θαυμάσας δ᾽ ὁ βασιλεὺς τοῦ φυτοῦ τὸ μέγεθος καὶ περιτεμὼν τὸν περιέχοντα τὴν σορὸν οὐχ ὁρωμένην κορμὸν ἔρεισμα τῆς στέγης ὑπέστησε. ταῦτά τε πνεύματί φασι δαιμονίῳ φήμης πυθομένην τὴν Ἶσιν εἰς Βύβλον ἀφικέσθαι, καὶ καθίσασαν ἐπὶ κρήνης ταπεινὴν καὶ δεδακρυμένην ἄλλῳ μὲν μηδενὶ προσδιαλέγεσθαι, τῆς δὲ βασιλίδος τὰς θεραπαινίδας ἀσπάζεσθαι καὶ φιλοφρονεῖσθαι τήν τε κόμην παραπλέκουσαν αὐτῶν καὶ τῷ χρωτὶ B *θαυμαστὴν εὐωδίαν ἐπιπνέουσαν ἀφ᾽ ἑαυτῆς. ἰδούσης δὲ τῆς βασιλίδος τὰς θεραπαινίδας, ἵμερον ἐμπεσεῖν τῆς ξένης τῶν τε τριχῶν τοῦ τε χρωτὸς ἀμβροσίαν πνέοντος· οὕτω δὲ μεταπεμφθεῖσαν καὶ γενομένην συνήθη ποιήσασθαι τοῦ παιδίου τίτθην. ὄνομα δὲ τῷ μὲν βασιλεῖ Μάλκανδρον εἶναί φασιν· αὐτῇ δ᾽ οἱ μὲν Ἀστάρτην οἱ δὲ Σάωσιν οἱ δὲ Νεμανοῦν, ὅπερ ἂν Ἕλληνες Ἀθηναΐδα προσείποιεν.*

16. *Τρέφειν δὲ τὴν Ἶσιν ἀντὶ μαστοῦ τὸν δάκτυλον* C *εἰς τὸ στόμα τοῦ παιδίου διδοῦσαν, νύκτωρ δὲ περικάειν τὰ θνητὰ τοῦ σώματος· αὐτὴν δὲ γενομένην χελιδόνα τῇ κίονι περιπέτεσθαι καὶ θρηνεῖν, ἄχρι οὗ τὴν βασίλισσαν παραφυλάξασαν καὶ ἐκκραγοῦσαν, ὡς εἶδε περικαόμενον τὸ βρέφος, ἀφελέσθαι τὴν ἀθανασίαν αὐτοῦ. τὴν δὲ θεὰν φανερὰν γενομένην αἰτήσασθαι τὴν κίονα τῆς στέγης· ὑφελοῦσαν δὲ ῥᾷστα περικόψαι τὴν ἐρείκην, εἶτα ταύτην μὲν*

3 *κορμόν* Salmasius: *κόλπον* 16 *αὐτῇ* Marklandus: *αὐτὴν* *Ἀστάρτην* Basileensis: *ἀσπάρτην* 17 *προσείποιεν* Marklandus: *προσειπεῖν* 19 'vel *τῷ παιδίῳ* vel *τιθεῖσαν*' W 22 *ἐκκραγοῦσαν* Bentleius: *κεκραγοῦσαν*

ὀθόνῃ περικαλύψασαν καὶ μύρον καταχεαμένην ἐγχει-
ρίσαι τοῖς βασιλεῦσι, καὶ νῦν ἔτι σέβεσθαι Βυβλίους
τὸ ξύλον ἐν ἱερῷ κείμενον Ἴσιδος. τῇ δὲ σορῷ
περιπεσεῖν καὶ κωκῦσαι τηλικοῦτον, ὥστε τῶν παίδων D
τοῦ βασιλέως τὸν νεώτερον ἐκθανεῖν, τὸν δὲ πρε-
σβύτερον μεθ' ἑαυτῆς ἔχουσαν καὶ τὴν σορὸν εἰς
πλοῖον ἐνθεμένην ἀναχθῆναι. τοῦ δὲ Φαίδρου πο-
ταμοῦ πνεῦμα τραχύτερον ἐκθρέψαντος ὑπὸ τὴν ἕω,
θυμωθεῖσαν ἀναξηρᾶναι τὸ ῥεῖθρον.

17. Ὅπου δὲ πρῶτον ἐρημίας ἔτυχεν, αὐτὴν καθ'
ἑαυτὴν γενομένην ἀνοῖξαι τὴν λάρνακα, καὶ τῷ
προσώπῳ τὸ πρόσωπον ἐπιθεῖσαν ἀσπάσασθαι καὶ
δακρύειν· τοῦ δὲ παιδίου σιωπῇ προσελθόντος ἐκ
τῶν ὄπισθεν καὶ καταμανθάνοντος, αἰσθομένην μετα-
στραφῆναι καὶ δεινὸν ὑπ' ὀργῆς ἐμβλέψαι. τὸ δὲ E
παιδίον οὐκ ἀνασχέσθαι τὸ τάρβος, ἀλλ' ἀποθανεῖν.
οἱ δέ φασιν οὐχ οὕτως, ἀλλ' ὡς εἴρηται πρότερον
ἐκπεσεῖν εἰς τὴν θάλασσαν. ἔχει δὲ τιμὰς διὰ τὴν
θεόν· ὃν γὰρ ᾄδουσιν Αἰγύπτιοι παρὰ τὰ συμπόσια
Μανέρωτα, τοῦτον εἶναι. τινὲς δὲ τὸν μὲν παῖδα
καλεῖσθαι Παλαιστινὸν ἢ Πηλούσιον, καὶ τὴν πόλιν
ἐπώνυμον ἀπ' αὐτοῦ γενέσθαι κτισθεῖσαν ὑπὸ τῆς
θεοῦ· τὸν δ' ᾀδόμενον Μανέρωτα πρῶτον εὑρεῖν
μουσικὴν ἱστοροῦσιν. ἔνιοι δέ φασιν ὄνομα μὲν
οὐδενὸς εἶναι, διάλεκτον δὲ πίνουσιν ἀνθρώποις καὶ
θαλειάζουσι πρέπουσαν 'αἴσιμα τὰ τοιαῦτα παρείη·'
τοῦτο γὰρ τῷ Μανέρωτι φραζόμενον ἀναφωνεῖν F

5 ἐκθανεῖν R: ἐνθανεῖν 17 πρότερον X: τρόπον
26 τὰ τοιαῦτα] ταῦτα W

ἑκάστοτε τοὺς Αἰγυπτίους· ὥσπερ ἀμέλει καὶ τὸ δεικνύμενον αὐτοῖς εἴδωλον ἀνθρώπου τεθνηκότος ἐν κιβωτίῳ περιφερόμενον οὐκ ἔστιν ὑπόμνημα τοῦ περὶ Ὀσίριδος πάθους, ᾗ τινες ὑπολαμβάνουσιν, ἀλλ' οἰνωμένους παρακαλεῖν αὐτοὺς χρῆσθαι τοῖς παροῦσι καὶ ἀπολαύειν, ὡς πάντας αὐτίκα μάλα τοιούτους ἐσομένους, ἄχαριν ἐπίκωμον ἐπεισάγουσι.

18. Τῆς δ' Ἴσιδος πρὸς τὸν υἱὸν Ὧρον ἐν Βούτῳ τρεφόμενον πορευθείσης, τὸ δ' ἀγγεῖον ἐκποδὼν
358 ἀποθεμένης, Τυφῶνα κυνηγετοῦντα νύκτωρ πρὸς τὴν σελήνην ἐντυχεῖν αὐτῷ, καὶ τὸ σῶμα γνωρίσαντα διελεῖν εἰς τεσσαρεσκαίδεκα μέρη καὶ διαρρῖψαι· τὴν δ' Ἶσιν πυθομένην ἀναζητεῖν ἐν βάριδι παπυρίνῃ τὰ ἕλη διεκπλέουσαν· ὅθεν οὐκ ἀδικεῖσθαι τοὺς ἐν παπυρίνοις σκάφεσι πλέοντας ὑπὸ τῶν κροκοδείλων, ἢ φοβουμένων ἢ σεβομένων νὴ Δία τὴν θεόν. ἐκ τούτου δὲ καὶ πολλοὺς τάφους Ὀσίριδος ἐν Αἰγύπτῳ λέγεσθαι διὰ τὸ προστυγχάνουσαν ἑκάστῳ μέρει ταφὰς ποιεῖν. οἱ δ' οὔ φασιν, ἀλλ' εἴδωλα ποιουμένην διδόναι καθ' ἑκάστην πόλιν ὡς τὸ σῶμα
B διδοῦσαν ὅπως παρὰ πλείοσιν ἔχῃ τιμάς, κἂν ὁ Τυφὼν ἐπικρατήσῃ τοῦ Ὥρου, τὸν ἀληθινὸν τάφον ζητῶν, πολλῶν λεγομένων καὶ δεικνυμένων ἀπαγορεύσῃ. μόνον δὲ τῶν μερῶν τοῦ Ὀσίριδος τὴν Ἶσιν οὐχ εὑρεῖν τὸ αἰδοῖον· εὐθὺς γὰρ εἰς τὸν ποταμὸν ῥιφῆναι καὶ γεύσασθαι τόν τε λεπιδωτὸν αὐτοῦ καὶ

5 οἰνωμένους Marklandus: οἰομένους 7 ἄχαριν ἐπίκωμον Emperius: οὐ χάριν ἐπὶ κῶμον 12 τεσσαρεσκαίδεκα] τεσσαρακαίδεκα? 14 τὰ Basileensis: τὰ δὲ 16 νὴ Δία Faehsius: διὰ 20 διδόναι] διαδοῦναι Marklandus

τὸν φάγρον καὶ τὸν ὀξύρυγχον, οὓς μάλιστα τῶν ἰχθύων ἀφοσιοῦσθαι· τὴν δ' Ἶσιν ἀντ' ἐκείνου μίμημα ποιησαμένην καθιερῶσαι τὸν φαλλόν, ᾧ καὶ νῦν ἑορτάζειν τοὺς Αἰγυπτίους.

19. Ἔπειτα τῷ Ὥρῳ τὸν Ὄσιριν ἐξ Ἅιδου παραγενόμενον διαπονεῖν ἐπὶ τὴν μάχην καὶ ἀσκεῖν. εἶτα διερωτῆσαι 'τί κάλλιστον ἡγεῖται'· τοῦ δὲ φήσαντος 'τῷ πατρὶ καὶ μητρὶ τιμωρεῖν κακῶς παθοῦσιν', δεύτερον ἐρέσθαι 'τί χρησιμώτατον οἴεται ζῷον εἰς C μάχην ἐξιοῦσι·' τοῦ δ' Ὥρου 'ἵππον' εἰπόντος, ἐπιθαυμάσαι καὶ διαπορῆσαι, 'πῶς οὐ λέοντα μᾶλλον ἀλλ' ἵππον' εἶπεν. εἰπεῖν οὖν τὸν Ὧρον ὡς 'λέων μὲν ὠφέλιμον ἐπιδεομένῳ βοηθείας, ἵππος δὲ φεύγοντα διασπάσαι καὶ καταναλῶσαι τὸν πολέμιον.' ἀκούσαντ' οὖν ἡσθῆναι τὸν Ὄσιριν, ὡς ἱκανῶς παρασκευασαμένου τοῦ Ὥρου. λέγεται δ' ὅτι, πολλῶν μετατιθεμένων ἀεὶ πρὸς τὸν Ὧρον, καὶ ἡ παλλακὴ τοῦ Τυφῶνος ἀφίκετο Θούηρις. ὄφις δέ τις ἐπιδιώκων αὐτὴν ὑπὸ τῶν περὶ τὸν Ὧρον κατεκόπη, καὶ D νῦν διὰ τοῦτο σχοινίον τι προβάλλοντες εἰς μέσον κατακόπτουσι. τὴν μὲν οὖν μάχην ἐπὶ πολλὰς ἡμέρας γενέσθαι καὶ κρατῆσαι τὸν Ὧρον· τὸν Τυφῶνα δὲ τὴν Ἶσιν δεδεμένον παραλαβοῦσαν οὐκ ἀνελεῖν, ἀλλὰ καὶ λῦσαι καὶ μεθεῖναι· τὸν δ' Ὧρον οὐ μετρίως ἐνεγκεῖν, ἀλλ' ἐπιβαλόντα τῇ μητρὶ τὰς χεῖρας ἀποσπάσαι τῆς κεφαλῆς τὸ βασίλειον· Ἑρμῆν δὲ περι-

1 οὓς Basileensis: ὡς οὓς 2 ἀφοσιοῦσθαι] ἀφοσιοῦνται R 9 χρησιμώτατον Emperius: χρησιμώτερον 10 ἵππον] λύκον Benselerus 12 εἶπεν W

θεῖναι βούκρανον αὐτῇ κράνος. τοῦ δὲ Τυφῶνος
δίκην τῷ Ὥρῳ νοθείας λαχόντος, βοηθήσαντος δὲ
τοῦ Ἑρμοῦ, καὶ τὸν Ὧρον ὑπὸ τῶν θεῶν γνήσιον
κριθῆναι, τὸν δὲ Τυφῶνα δυσὶν ἄλλαις μάχαις κατα-
E πολεμηθῆναι. τὴν δ᾽ Ἶσιν ἐξ Ὀσιριδος μετὰ τὴν
τελευτὴν συγγενομένου τεκεῖν ἠλιτόμηνον καὶ ἀσθενῆ
τοῖς κάτωθεν γυίοις τὸν Ἁρποκράτην.

20. Ταῦτα σχεδόν ἐστι τοῦ μύθου τὰ κεφάλαια
τῶν δυσφημοτάτων ἐξαιρεθέντων, οἷόν ἐστι τὸ περὶ
τὸν Ὥρου διαμελισμὸν καὶ τὸν Ἴσιδος ἀποκεφαλι-
σμόν. ὅτι μὲν οὖν, εἰ ταῦτα περὶ τῆς μακαρίας καὶ
ἀφθάρτου φύσεως, καθ᾽ ἣν μάλιστα νοεῖται τὸ θεῖον,
ὡς ἀληθῶς πραχθέντα καὶ συμπεσόντα δοξάζουσι
καὶ λέγουσιν, ‘ἀποπτύσαι δεῖ καὶ καθήρασθαι στόμα’
κατ᾽ Αἰσχύλον, οὐδὲν δεῖ λέγειν πρὸς σέ. καὶ γὰρ
F αὐτὴ δυσκολαίνεις τοῖς οὕτω παρανόμους καὶ βαρ-
βάρους δόξας περὶ θεῶν ἔχουσιν. ὅτι δ᾽ οὐκ ἔοικε
ταῦτα κομιδῇ μυθεύμασιν ἀραιοῖς καὶ διακένοις
πλάσμασιν, οἷα ποιηταὶ καὶ λογογράφοι καθάπερ οἱ
ἀράχναι γεννῶντες ἀφ᾽ ἑαυτῶν ἀπ᾽ ἀρχῆς ἀνυπο-
θέτου ὑφαίνουσι καὶ ἀποτείνουσιν, ἀλλ᾽ ἔχει τινὰς
ἱστορίας καὶ παθῶν διηγήσεις, οἶσθ᾽ αὐτή. καὶ
καθάπερ οἱ μαθηματικοὶ τὴν ἶριν ἔμφασιν εἶναι τοῦ
ἡλίου λέγουσι ποικιλλομένην τῇ πρὸς τὸ νέφος ἀνα-
359 χωρήσει τῆς ὄψεως, οὕτως ὁ μῦθος ἐνταῦθα λόγου

2. 3 δὲ et καὶ] del. R 10 τὸν τοῦ Ὥρου? 14 στόμα R: τὸ στόμα 15 Αἰσχύλον] Nauck. p. 84 20 ἀπ᾽ ἀρχῆς ἀνυποθέτου Marklandus: ἀπαρχὰς ἀνυποθέτους 21 ὑφαίνουσι] συνυφαίνουσι? 22 οἶσθ᾽ * 24 ἀναχωρήσει] ἀνακλάσει R. ἀναχρώσει W

τινὸς ἔμφασίς ἐστιν ἀνακλῶντος ἐπ' ἄλλα τὴν διάνοιαν, ὡς ὑποδηλοῦσιν αἵ τε θυσίαι τὸ πένθιμον ἔχουσαι καὶ σκυθρωπὸν ἐμφαινόμενον, αἵ τε τῶν ναῶν διαθέσεις πῇ μὲν ἀνειμένων εἰς πτερὰ καὶ δρόμους ὑπαιθρίους καὶ καθαρούς, πῇ δὲ κρυπτὰ καὶ σκότια κατὰ γῆς ἐχόντων στολιστήρια Θηβαίοις ἐοικότα καὶ σηκοῖς· οὐχ ἥκιστα δ' ἡ τῶν Ὀσιρείων δόξα, πολλαχοῦ κεῖσθαι λεγομένου τοῦ σώματος· τήν τε γὰρ Διοχίτην ὀνομάζεσθαι πολίχνην λέγουσιν, ὡς B μόνην τὸν ἀληθινὸν ἔχουσαν, ἔν τ' Ἀβύδῳ τοὺς εὐδαίμονας τῶν Αἰγυπτίων καὶ δυνατοὺς μάλιστα θάπτεσθαι, φιλοτιμουμένους ὁμοτάφους εἶναι τοῦ σώματος Ὀσίριδος. ἐν δὲ Μέμφει τρέφεσθαι τὸν Ἆπιν, εἴδωλον ὄντα τῆς ἐκείνου ψυχῆς, ὅπου καὶ τὸ σῶμα κεῖσθαι· καὶ τὴν μὲν πόλιν οἱ μὲν ὅρμον ἀγαθῶν ἑρμηνεύουσιν, οἱ δ' ἰδίως τάφον Ὀσίριδος. τὴν δὲ πρὸς Φίλαις νιστιτάνην ἄλλως μὲν ἄβατον ἅπασι καὶ ἀπροσπέλαστον εἶναι καὶ μηδ' ὄρνιθας ἐπ' αὐτὴν καταίρειν μηδ' ἰχθῦς προσπελάζειν, ἑνὶ δὲ καιρῷ τοὺς ἱερεῖς διαβαίνοντας ἐναγίζειν καὶ καταστέφειν τὸ σῆμα μηθίδης φυτῷ περισκιαζόμενον, ὑπεραίροντι πάσης ἐλαίας μέγεθος.

21. Εὔδοξος δέ, πολλῶν τάφων ἐν Αἰγύπτῳ C λεγομένων, ἐν Βουσίριδι τὸ σῶμα κεῖσθαι· καὶ γὰρ

6 Θηβαίοις] θηκαίοις Bouhierus 7 καὶ σηκοῖς] fort. σηκοῖς, ut sit θηκαίοις ἐοικότα σηκοῖς 9 Διοχίτην Holwerda: ἐχειτῖνον. cf. St. Byzantius 16 ἰδίως W: ὡς 17 Φίλαις Squirius: πύλας νιστιτάνην] νησίδα τὴν Aldina. νησίδα Duebnerus. Scribendum vid. νησῖδα **, ut nomen insulae suppleatur 19 καταίρειν X: καρτερεῖν 21 μηθίδης] μίνθης?

πατρίδα ταύτην γεγονέναι τοῦ Ὀσίριδος· οὐκέτι μέντοι λόγου δεῖσθαι τὴν Ταφόσιριν· αὐτὸ γὰρ φράζειν τοὔνομα ταφὴν Ὀσίριδος. αἰνῶ δὲ τομὴν ξύλου καὶ σχίσιν λίνου καὶ χοὰς χεομένας διὰ τὸ πολλὰ τῶν μυστικῶν ἀναμεμῖχθαι τούτοις. οὐ μόνον δὲ τούτων οἱ ἱερεῖς λέγουσιν, ἀλλὰ καὶ τῶν ἄλλων θεῶν, ὅσοι μὴ ἀγέννητοι μηδ' ἄφθαρτοι, τὰ μὲν σώματα παρ' αὐτοῖς κεῖσθαι καμόντα καὶ θεραπεύεσθαι, τὰς δὲ D *ψυχὰς ἐν οὐρανῷ λάμπειν ἄστρα, καὶ καλεῖσθαι κύνα μὲν τὴν Ἴσιδος ὑφ' Ἑλλήνων, ὑπ' Αἰγυπτίων δὲ Σῶθιν, Ὠρίωνα δὲ τὴν Ὥρου, τὴν δὲ Τυφῶνος ἄρκτον. εἰς δὲ τὰς ταφὰς τῶν τιμωμένων ζῴων τοὺς μὲν ἄλλους συντεταγμένα τελεῖν, μόνους δὲ μὴ διδόναι τοὺς Θηβαΐδα κατοικοῦντας, ὡς θνητὸν θεὸν οὐδένα νομίζοντας, ἀλλ' ὃν καλοῦσιν αὐτοὶ Κνήφ, ἀγέννητον ὄντα καὶ ἀθάνατον.*

22. *Πολλῶν δὲ τοιούτων λεγομένων καὶ δεικνυμένων, οἱ μὲν οἰόμενοι βασιλέων ταῦτα καὶ τυράννων, δι' ἀρετὴν ὑπερφέρουσαν ἢ δύναμιν ἀξίωμα τῇ δόξῃ θεότητος ἐπιγραψαμένων εἶτα χρησαμένων* E *τύχαις, ἔργα καὶ πάθη δεινὰ καὶ μεγάλα διαμνημονεύεσθαι, ῥᾴστῃ μὲν ἀποδράσει τοῦ λόγου χρῶνται καὶ τὸ δύσφημον οὐ φαύλως ἀπὸ τῶν θεῶν ἐπ' ἀνθρώπους μεταφέρουσι, καὶ ταύτας ἔχουσιν ἀπὸ τῶν ἱστορουμένων βοηθείας. ἱστοροῦσι γὰρ Αἰγύπτιοι τὸν μὲν Ἑρμῆν τῷ σώματι γενέσθαι γαλιάγκωνα,*

3 *αἰνῶ*] *ἐῶ* W   5 *τούτων*] *τούτου* Baxterus   7. 15 *ἀγένητοι* (-*ον*)?   11 *τὴν Ὥρου* X: *τὸν ὦρον*   12 *ταφὰς* Salmasius: *γραφὰς*   15 *ἀλλ' ἢ ὃν*?   19 *τῇ δόξῃ*] *ἢ δόξαν* Duebnerus

τὸν δὲ Τυφῶνα τῇ χρόᾳ πυρρόν, λευκὸν δὲ τὸν Ὧρον καὶ μελάγχρουν τὸν Ὄσιριν, ὡς τῇ φύσει γεγονότας ἀνθρώπους. ἔτι δὲ καὶ στρατηγὸν ὀνομάζουσιν Ὄσιριν, καὶ κυβερνήτην Κάνωβον, οὗ φασιν ἐπώνυμον γεγονέναι τὸν ἀστέρα· καὶ τὸ πλοῖον, ὃ καλοῦσιν Ἕλληνες Ἀργώ, τῆς Ὀσίριδος νεὼς εἴδωλον F ἐπὶ τιμῇ κατηστερισμένον, οὐ μακρὰν φέρεσθαι τοῦ Ὠρίωνος καὶ τοῦ Κυνός, ὧν τὸ μὲν Ὥρου τὸ δ' Ἴσιδος ἱερὸν Αἰγύπτιοι νομίζουσιν.

23. Ὀκνῶ δέ, μὴ τοῦτ' ᾖ τὰ ἀκίνητα κινεῖν καὶ 'πολεμεῖν οὐ τῷ πολλῷ χρόνῳ' (κατὰ Σιμωνίδην) μόνον, 'πολλοῖς δ' ἀνθρώπων ἔθνεσι' καὶ γένεσι κατόχοις ὑπὸ τῆς πρὸς τοὺς θεοὺς τούτους ὁσιότητος, οὐδὲν ἀπολιπόντας ἐξ οὐρανοῦ μεταφέρειν ἐπὶ γῆν ὀνόματα τηλικαῦτα, καὶ τιμὴν καὶ πίστιν ὀλίγου δεῖν ἅπασιν ἐκ πρώτης γενέσεως ἐνδεδυκυῖαν ἐξι- 369 στάναι καὶ ἀναλύειν, μεγάλας μὲν τῷ ἀθέῳ λεῷ κλισιάδας ἀνοίγοντας καὶ ἐξανθρωπίζοντας τὰ θεῖα, λαμπρὰν δὲ τοῖς Εὐημέρου τοῦ Μεσσηνίου φενακισμοῖς παρρησίαν διδόντας, ὃς αὐτὸς ἀντίγραφα συνθεὶς ἀπίστου καὶ ἀνυπάρκτου μυθολογίας πᾶσαν ἀθεότητα κατασκεδάννυσι τῆς οἰκουμένης, τοὺς νομιζομένους θεοὺς πάντας ὁμαλῶς διαγράφων εἰς ὀνόματα στρατηγῶν καὶ ναυάρχων καὶ βασιλέων ὡς δὴ πάλαι γεγονότων, ἐν δὲ Πάγχοντι γράμμασι χρυσοῖς ἀναγεγραμμένων, οἷς οὔτε βάρβαρος οὐδεὶς οὔθ' B

8 τὸ — τὸ] τὸν — τὸν R 11 Σιμωνίδην] Bergk. 3 p. 522 14 ἐξ] τοῦ ἐξ Baxterus 18 ἐξανθρωπίζοντας Marklandus: ἐξανθρωπίζοντι 23 ὀνόματα Baxterus: ὄνομα 26 ἀναγεγραμμένων Salmasius: ἀναγεγραμμένοις

Ἕλλην, ἀλλὰ μόνος Εὐήμερος, ὡς ἔοικε, πλεύσας εἰς τοὺς μηδαμόθι γῆς γεγονότας μηδ' ὄντας Παγχώους καὶ Τριφύλλους ἐντετυχήκει.

24. Καίτοι μεγάλαι μὲν ὑμνοῦνται πράξεις ἐν Ἀσσυρίοις Σεμιράμιος, μεγάλαι δ' αἱ Σεσώστριος ἐν Αἰγύπτῳ· Φρύγες δὲ μέχρι νῦν τὰ λαμπρὰ καὶ θαυμαστὰ τῶν ἔργων Μανικὰ καλοῦσι διὰ τὸ Μάνην τινὰ τῶν πάλαι βασιλέων ἀγαθὸν ἄνδρα καὶ δυνατὸν γενέσθαι παρ' αὐτοῖς, ὃν ἔνιοι Μάσδην καλοῦσι· Κῦρος δὲ Πέρσας Μακεδόνας δ' Ἀλέξανδρος ὀλίγου δεῖν ἐπὶ πέρας τῆς γῆς κρατοῦντας προήγαγον· ἀλλ'
C ὄνομα καὶ μνήμην βασιλέων ἀγαθῶν ἔχουσιν. 'εἰ δέ τινες ἐξαρθέντες ὑπὸ μεγαλαυχίας' ὥς φησιν ὁ Πλάτων 'ἅμα νεότητι καὶ ἀνοίᾳ φλεγόμενοι τὴν ψυχὴν μεθ' ὕβρεως' ἐδέξαντο θεῶν ἐπωνυμίας καὶ ναῶν ἱδρύσεις, βραχὺν ἤνθησεν ἡ δόξα χρόνον, εἶτα κενότητα καὶ ἀλαζονείαν μετ' ἀσεβείας καὶ παρανομίας προσοφλόντες

'ὠκύμοροι καπνοῖο δίκην ἀρθέντες ἀπέπταν,'

καὶ νῦν ὥσπερ ἀγώγιμοι δραπέται τῶν ἱερῶν καὶ τῶν βωμῶν ἀποσπασθέντες οὐδὲν ἀλλ' ἢ τὰ μνήματα καὶ τοὺς τάφους ἔχουσιν. ὅθεν Ἀντίγονος ὁ γέρων,
D Ἑρμοδότου τινὸς ἐν ποιήμασιν αὐτὸν 'ἡλίου παῖδα καὶ θεόν' ἀναγορεύοντος, 'οὐ τοιαῦτά μοι' εἶπεν ὁ λασανοφόρος σύνοιδεν.' εὖ δὲ καὶ Λύσιππος ὁ

2 Παγχώους] Παγχαίους? 3 ἐντετύχηκε R 7 Μάνην Salmasius: μάνιν 13 ἐξαρθέντες X: ἐξαιρεθέντες 14 Πλάτων] Legg. p. 716a ἀνοίᾳ Plato: ἀγνοίᾳ 19 Mullach. 1 p. 2 23 ἡλίου] Bergk. 3 p. 637

πλάστης Ἀπελλῆν ἐμέμψατο τὸν ζωγράφον, ὅτι τὴν Ἀλεξάνδρου γράφων εἰκόνα κεραυνὸν ἐνεχείρισεν· αὐτὸς δὲ λόγχην, ἧς τὴν δόξαν οὐδὲ εἷς ἀφαιρήσεται χρόνος ἀληθινὴν καὶ ἰδίαν οὖσαν.

25. Βέλτιον οὖν οἱ τὰ περὶ τὸν Τυφῶνα καὶ Ὄσιριν καὶ Ἶσιν ἱστορούμενα μήτε θεῶν παθήματα μήτ᾽ ἀνθρώπων, ἀλλὰ δαιμόνων μεγάλων εἶναι νομίζοντες, οὓς καὶ Πλάτων καὶ Πυθαγόρας καὶ Ξενο- E
κράτης καὶ Χρύσιππος, ἑπόμενοι τοῖς πάλαι θεολόγοις, ἐρρωμενεστέρους μὲν ἀνθρώπων γεγονέναι λέγουσι καὶ πολὺ τῇ δυνάμει τὴν φύσιν ὑπερφέροντας ἡμῶν, τὸ δὲ θεῖον οὐκ ἀμιγὲς οὐδ᾽ ἄκρατον ἔχοντας, ἀλλὰ καὶ ψυχῆς φύσει καὶ σώματος αἰσθήσει συνειληχός, ἡδονὴν δεχόμενον καὶ πόνον, καὶ ὅσα ταύταις ἐγγενόμενα ταῖς μεταβολαῖς πάθη τοὺς μὲν μᾶλλον τοὺς δ᾽ ἧττον ἐπιταράττει. γίγνονται γὰρ ὡς ἐν ἀνθρώποις, καὶ δαίμοσιν, ἀρετῆς διαφοραὶ καὶ κακίας. τὰ γὰρ Γιγαντικὰ καὶ Τιτανικὰ παρ᾽ Ἕλλησιν ᾀδό- F
μενα καὶ Κρόνου τινὲς ἄθεσμοι πράξεις καὶ Πύθωνος ἀντιτάξεις πρὸς Ἀπόλλωνα, φυγαί τε Διονύσου καὶ πλάναι Δήμητρος οὐδὲν ἀπολείπουσι τῶν Ὀσιριακῶν καὶ Τυφωνικῶν, ἄλλων θ᾽ ὧν πᾶσιν ἔξεστιν ἀνέδην μυθολογουμένων ἀκούειν· ὅσα τε μυστικοῖς ἱεροῖς περικαλυπτόμενα καὶ τελεταῖς ἄρρητα

8 οὓς X ex Euseb. Praep. Ev. 5, 5: ὡς 11 πολὺ Eusebius: πολλῇ 13 φύσει — αἰσθήσει] φύσεως — αἰσθήσεως Baxterus αἰσθήσει X: αἰσθήσει ἐν 14 δεχόμενον Eusebius: δεχομένην 19 Κρόνου] πολλαὶ idem τινὲς X ex Eusebio: τινὸς 20 φυγαί X ex eodem: φθόγγοι 22 πᾶσιν] παρὰ πᾶσιν Eusebius 24 περικαλυπτόμενα] παρακαλυπτόμενα idem

διασῴζεται καὶ ἀθέατα πρὸς τοὺς πολλούς, ὅμοιον ἔχει λόγον.

26. Ἀκούομεν δὲ καὶ Ὁμήρου τοὺς μὲν ἀγαθοὺς διαφόρως ʽθεοειδέας᾽ ἑκάστοτε καλοῦντος καὶ ʽἀντι-
361 θέους᾽ καί ʽθεῶν ἄπο μήδε᾽ ἔχοντας᾽· τῷ δ᾽ ἀπὸ τῶν δαιμόνων προσρήματι χρωμένου κοινῶς ἐπί τε χρηστῶν καὶ φαύλων,

ʽδαιμόνιε σχεδὸν ἐλθέ· τίη δειδίσσεαι οὕτως
Ἀργείους;᾽

καὶ πάλιν

ʽἀλλ᾽ ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος·᾽

καί

ʽδαιμονίη, τί νύ σε Πρίαμος Πριάμοιό τε παῖδες
τόσσα κακὰ ῥέζουσιν, ὅ τ᾽ ἀσπερχὲς μενεαίνεις
Ἰλίου ἐξαλαπάξαι ἐυκτίμενον πτολίεθρον;᾽

ὡς τῶν δαιμόνων μικτὴν καὶ ἀνώμαλον φύσιν ἐχόντων καὶ προαίρεσιν. ὅθεν ὁ μὲν Πλάτων Ὀλυμπίοις θεοῖς τὰ δεξιὰ καὶ περιττὰ τὰ δ᾽ ἀντίφωνα τούτων
B δαίμοσιν ἀποδίδωσιν. ὁ δὲ Ξενοκράτης καὶ τῶν ἡμερῶν τὰς ἀποφράδας καὶ τῶν ἑορτῶν, ὅσαι πληγάς τινας ἢ κοπετοὺς ἢ νηστείας ἢ δυσφημίας ἢ αἰσχρολογίαν ἔχουσιν, οὔτε θεῶν τιμαῖς οὔτε δαιμόνων οἴεται προσήκειν χρηστῶν, ἀλλ᾽ εἶναι φύσεις ἐν τῷ περιέχοντι μεγάλας μὲν καὶ ἰσχυράς, δυστρόπους δὲ καὶ σκυθρωπάς, αἳ χαίρουσι τοῖς τοιούτοις, καὶ τυγχάνουσαι πρὸς οὐδὲν ἄλλο χεῖρον τρέπονται·

4 *καλοῦντος* R 8 Hom. *N* 810 11 id. *E* 438 13 id. *Δ* 31 17 *Πλάτων*] Legg. p. 717 a

τοὺς δὲ χρηστοὺς πάλιν καὶ ἀγαθοὺς ὅ θ' Ἡσίοδος 'ἁγνοὺς δαίμονας' καὶ 'φύλακας ἀνθρώπων' προσαγορεύει, 'πλουτοδότας καὶ τοῦτο γέρας βασιλήιον ἔχοντας.' ὅ τε Πλάτων ἑρμηνευτικὸν τὸ τοιοῦτον ὀνομάζει C γένος καὶ διακονικὸν ἐν μέσῳ θεῶν καὶ ἀνθρώπων, εὐχὰς μὲν ἐκεῖ καὶ δεήσεις ἀνθρώπων ἀναπέμποντας, ἐκεῖθεν δὲ μαντεῖα δεῦρο καὶ δόσεις ἀγαθῶν φέροντας. Ἐμπεδοκλῆς δὲ καὶ δίκας φησὶ διδόναι τοὺς δαίμονας ὧν ἂν ἐξαμάρτωσι καὶ πλημμελήσωσιν,

'αἰθέριον μὲν γάρ σφε μένος πόντονδε διώκει,
πόντος δ' ἐς χθονὸς οὖδας ἀπέπτυσε, γαῖα δ' ἐς αὐγὰς
ἠελίου ἀκάμαντος, ὁ δ' αἰθέρος ἔμβαλε δίναις·
ἄλλος δ' ἐξ ἄλλου δέχεται, στυγέουσι δὲ πάντες·'

ἄχρι οὗ κολασθέντες οὕτω καὶ καθαρθέντες αὖθις τὴν κατὰ φύσιν χώραν καὶ τάξιν ἀπολάβωσι.

27. Τούτων δὲ καὶ τῶν τοιούτων ἀδελφὰ λέγε- D σθαί φασι περὶ Τυφῶνος, ὡς δεινὰ μὲν ὑπὸ φθόνου καὶ δυσμενείας εἰργάσατο, καὶ πάντα πράγματα ταράξας ἐνέπλησε κακῶν γῆν ὁμοῦ τι πᾶσαν καὶ θάλασσαν, εἶτα δίκην ἔδωκεν. ἡ δὲ τιμωρὸς Ὀσίριδος ἀδελφὴ καὶ γυνὴ τὴν Τυφῶνος σβέσασα καὶ καταπαύσασα μανίαν καὶ λύσσαν οὐ περιεῖδε τοὺς ἄθλους καὶ τοὺς ἀγῶνας, οὓς ἀνέτλη, καὶ πλάνας αὑτῆς καὶ πολλὰ μὲν ἔργα σοφίας πολλὰ δ' ἀνδρείας, ἀμνηστίαν ὑπολαβοῦσαν καὶ σιωπήν, ἀλλὰ ταῖς ἁγιωτά-

1 Ἡσίοδος] OD 126 4 Πλάτων] Symp. p. 202 e 8 Ἐμπεδοκλῆς] Mullach 1 p. 2 9 ἂν add. Duebnerus ex Eusebio 11 αὐγὰς X: αὖθις 19 τι R: τε 25 ὑπολαβοῦσαν M: ὑπολαβοῦσα

ταις ἀναμίξασα τελεταῖς εἰκόνας καὶ ὑπονοίας καὶ
μιμήματα τῶν τότε παθημάτων, εὐσεβείας ὁμοῦ
E δίδαγμα καὶ παραμύθιον ἀνδράσι καὶ γυναιξὶν ὑπὸ
συμφορῶν ἐχομένοις ὁμοίων καθωσίωσεν. αὐτὴ δὲ
καὶ Ὄσιρις ἐκ δαιμόνων ἀγαθῶν δι' ἀρετὴν εἰς θεοὺς
μεταβαλόντες, ὡς ὕστερον Ἡρακλῆς καὶ Διόνυσος,
ἅμα καὶ θεῶν καὶ δαιμόνων οὐκ ἀπὸ τρόπου μεμι-
γμένας τιμὰς ἔχουσι, πανταχοῦ μέν, ἐν δὲ τοῖς ὑπὲρ
γῆν καὶ ὑπὸ γῆν δυνάμενοι μέγιστον. οὐ γὰρ ἄλλον
F εἶναι Σάραπιν ἢ τὸν Πλούτωνά φασι, καὶ Ἶσιν τὴν
Περσέφασσαν, ὡς Ἀρχέμαχος εἴρηκεν ὁ Εὐβοεύς, καὶ
ὁ Ποντικὸς Ἡρακλείδης τὸ χρηστήριον ἐν Κανώβῳ
Πλούτωνος ἡγούμενος εἶναι.

28. Πτολεμαῖος δ' ὁ Σωτὴρ ὄναρ εἶδε τὸν ἐν
Σινώπῃ τοῦ Πλούτωνος κολοσσόν, οὐκ ἐπιστάμενος
οὐδ' ἑωρακὼς πρότερον οἷος τὴν μορφὴν ἦν, κελεύ-
οντα κομίσαι τὴν ταχίστην αὐτὸν εἰς Ἀλεξάνδρειαν.
ἀγνοοῦντι δ' αὐτῷ καὶ ἀποροῦντι, ποῦ καθίδρυται,
καὶ διηγουμένῳ τοῖς φίλοις τὴν ὄψιν, εὑρέθη πολυ-
πλανὴς ἄνθρωπος ὄνομα Σωσίβιος, ἐν Σινώπῃ
φάμενος ἑωρακέναι τοιοῦτον κολοσσόν, οἷον ὁ βασι-
λεὺς ἰδεῖν ἔδοξεν. ἔπεμψεν οὖν Σωτέλη καὶ Διονύ-
σιον, οἳ χρόνῳ πολλῷ καὶ μόλις, οὐκ ἄνευ μέντοι
362 θείας προνοίας, ἤγαγον ἐκκλέψαντες. ἐπεὶ δὲ

2 μιμήματα Baxterus: μίμημα 5 ἀρετὴν R: ἀρετῆς 8 τοῖς X: τούτοις ὑπὲρ γῆν καὶ] del. X 10 τὴν] ἢ τὴν R 11 Ἀρχέμαχος] Mueller. 4 p. 315 12 Ἡρακλείδης X: ἡράκλειτος 14 ὄναρ εἶδε Baxterus: ἀνεῖλε 16 ἦν R 19 πολυπλανὴς Duebnerus: πολυπλάνης 22 Διονύσιον p. 981 a: διόνυσον

κομισθεὶς ὤφθη, συμβαλόντες οἱ περὶ Τιμόθεον τὸν ἐξηγητὴν καὶ Μανέθωνα τὸν Σεβεννύτην Πλούτωνος ὂν ἄγαλμα, τῷ Κερβέρῳ τεκμαιρόμενοι καὶ τῷ δράκοντι, πείθουσι τὸν Πτολεμαῖον, ὡς ἑτέρου θεῶν οὐδενὸς ἀλλὰ Σαράπιδός ἐστιν. οὐ γὰρ ἐκεῖθεν οὕτως ὀνομαζόμενος ἧκεν, ἀλλ' εἰς Ἀλεξάνδρειαν κομισθεὶς τὸ παρ' Αἰγυπτίοις ὄνομα τοῦ Πλούτωνος ἐκτήσατο τὸν Σάραπιν. καὶ μέντοι Ἡρακλείτου τοῦ φυσικοῦ λέγοντος '"Αιδης καὶ Διόνυσος ωὑτὸς ὅτεῳ μαίνονται καὶ ληναΐζουσιν,' εἰς ταύτην ὑπάγουσι τὴν δόξαν. οἱ γὰρ ἀξιοῦντες Ἅιδην λέγεσθαι τὸ σῶμα τῆς ψυχῆς οἷον παραφρονούσης καὶ μεθυούσης ἐν B αὐτῷ, γλίσχρως ἀλληγοροῦσι. βέλτιον δὲ τὸν Ὄσιριν εἰς ταὐτὸ συνάγειν τῷ Διονύσῳ, τῷ τ' Ὀσίριδι τὸν Σάραπιν, ὅτε τὴν φύσιν μετέβαλε, ταύτης τυχόντι τῆς προσηγορίας. διὸ πᾶσι κοινὸς ὁ Σάραπίς ἐστι, ὡς δὴ τὸν Ὄσιριν οἱ τῶν ἱερῶν μεταλαβόντες ἴσασιν.

29. Οὐ γὰρ ἄξιον προσέχειν τοῖς Φρυγίοις γράμμασιν, ἐν οἷς λέγεται Χάροπος μὲν τοῦ Ἡρακλέους γενέσθαι θυγάτηρ Ἶσις, Αἰακοῦ δὲ τοῦ Ἡρακλέους ὁ Τυφών· οὐδὲ Φυλάρχου μὴ καταφρονεῖν γράφοντος, ὅτι πρῶτος εἰς Αἴγυπτον ἐξ Ἰνδῶν Διόνυσος ἤγαγε δύο βοῦς, ὧν ἦν τῷ μὲν Ἆπις ὄνομα τῷ δ' C Ὄσιρις· Σάραπις δ' ὄνομα τοῦ τὸ πᾶν κοσμοῦντός

5 ἀλλὰ] ἀλλ' ἢ? 6 οὕτως Marklandus: οὗτος 8 μέντοι] add. τὰ Schellensius 9 ωὑτός W: οὗτος ὅτεῳ — ληναΐζουσιν scripsi ex Clem. Alex. Protr. p. 30 Pott.: ὅτε οὖν — ληραίνουσιν 15 τυχόντι Squirius: τυχόντα 17 δὴ *: δὲ 19 Χάροπος Emperius: χαροπῶς τοὺς 20 Ἶσις Αἰακοῦ idem: ἰσαιακοῦ 21 Φυλάρχου X: φιλάρχου 24 Ὄσιρις] Ὄνουφις Partheius

ἐστι παρὰ τό ʽσαίρειν᾽, ὃ καλλύνειν τινὲς καὶ κοσμεῖν λέγουσιν. ἄτοπα γὰρ ταῦτα τοῦ Φυλάρχου, πολλῷ δ᾽ ἀτοπώτερα τὰ τῶν λεγόντων οὐκ εἶναι θεὸν τὸν Σάραπιν, ἀλλὰ τὴν Ἄπιδος σορὸν οὕτως ὀνομάζεσθαι, καὶ χαλκᾶς τινας ἐν Μέμφει πύλας λήθης καὶ κωκυτοῦ προσαγορευομένας, ὅταν θάπτωσι τὸν Ἆπιν, ἀνοίγεσθαι, βαρὺ καὶ σκληρὸν ψοφούσας. διὸ παντὸς ἠχοῦντος ἡμᾶς χαλκώματος ἐπιλαμβάνεσθαι. μετριώτεροι δ᾽ οἱ παρὰ τό ʽσεύεσθαι᾽ καὶ τό ʽσοῦσθαι᾽ τὴν τοῦ παντὸς ἅμα κίνησιν εἰρῆσθαι φάσκοντες. οἱ δὲ πλεῖστοι τῶν ἱερέων εἰς D *ταὐτό φασι τὸν Ὄσιριν συμπεπλέχθαι καὶ τὸν Ἆπιν, ἐξηγούμενοι καὶ διδάσκοντες ἡμᾶς, ὡς ἔμμορφον εἰκόνα χρὴ νομίζειν τῆς Ὀσίριδος ψυχῆς τὸν Ἆπιν. ἐγὼ δέ, εἰ μὲν Αἰγύπτιόν ἐστι τοὔνομα τοῦ Σαράπιδος, εὐφροσύνην αὐτὸ δηλοῦν οἴομαι καὶ χαρμοσύνην, τεκμαιρόμενος ὅτι τὴν ἑορτὴν Αἰγύπτιοι τὰ χαρμόσυνα ʽσαίρει᾽ καλοῦσιν. καὶ γὰρ Πλάτων τὸν Ἅιδην ὡς ἀδούσιον τοῖς παρ᾽ αὐτῷ γενομένοις καὶ προσηνῆ θεὸν ὠνομάσθαι φησί· καὶ παρ᾽ Αἰγυπτίοις ἄλλα τε πολλὰ τῶν ὀνομάτων λόγοι εἰσὶ καὶ τὸν ὑποχθόνιον τόπον, εἰς ὃν οἴονται τὰς ψυχὰς ἀπέρχεσθαι μετὰ τὴν τελευτήν, Ἀμένθην καλοῦσι, σημαίνοντος τοῦ ὀνόματος τὸν λαμβάνοντα καὶ διδόντα.* E *εἰ δὲ καὶ τοῦτο τῶν ἐκ τῆς Ἑλλάδος ἀπελθόντων*

3 *τὰ* Squirius 8 *παντὸς — ἐπιλαμβάνεσθαι*] *πάντων — ἐπιλανθάνεσθαι* W 9 *μετριώτεροι* Baxterus: *μετριώτερον οἱ* X 10 *καὶ τὸ σοῦσθαι*] del. Squirius 13 *ἔμμορφον* W: *εὔμορφον* 19 *ἀδούσιον* *: *αἰδοῦς υἱὸν* *αὐτῷ* W: *αὐτοῦ* 21 *λόγοι εἰσὶ*] cf. p. 16c

πάλαι καὶ μετακομισθέντων ὀνομάτων ἕν ἐστιν, ὕστερον ἐπισκεψόμεθα· νῦν δὲ τὰ λοιπὰ τῆς ἐν χερσὶ δόξης προσδιέλθωμεν.

30. Ὁ μὲν γὰρ Ὄσιρις καὶ ἡ Ἶσις ἐκ δαιμόνων ἀγαθῶν εἰς θεοὺς μετήλλαξαν· τὴν δὲ τοῦ Τυφῶνος ἠμαυρωμένην καὶ συντετριμμένην δύναμιν, ἔτι δὲ καὶ ψυχορραγοῦσαν καὶ σφαδάζουσαν, ἔστιν αἷς παρηγοροῦσι θυσίαις καὶ πραΰνουσιν· ἔστι δ' ὅτε πάλιν ἐκταπεινοῦσι καὶ καθυβρίζουσιν ἔν τισιν ἑορταῖς, F τῶν μὲν ἀνθρώπων τοὺς πυρροὺς καὶ προπηλακίζοντες, ὄνον δὲ καὶ κατακρημνίζοντες, ὡς Κοπτῖται, διὰ τὸ πυρρὸν γεγονέναι τὸν Τυφῶνα καὶ ὀνώδη τὴν χρόαν· Βουσιρῖται δὲ καὶ Λυκοπολῖται σάλπιγξιν οὐ χρῶνται τὸ παράπαν ὡς ὄνῳ φθεγγομέναις ἐμφερές. καὶ ὅλως τὸν ὄνον οὐ καθαρὸν ἀλλὰ δαιμονικὸν ἡγοῦνται ζῷον εἶναι διὰ τὴν πρὸς ἐκεῖνον ὁμοιότητα, καὶ πόπανα ποιοῦντες ἐν θυσίαις τοῦ τε Παϋνὶ καὶ τοῦ Φαωφὶ μηνὸς ἐπιπλάττουσι παράσημον ὄνον δεδεμένον. ἐν δὲ τῇ τοῦ ἡλίου 363 θυσίᾳ τοῖς σεβομένοις τὸν θεὸν παρεγγυῶσι μὴ φορεῖν ἐπὶ τῷ σώματι χρυσία μηδ' ὄνῳ τροφὴν διδόναι. φαίνονται δὲ καὶ οἱ Πυθαγορικοὶ τὸν Τυφῶνα δαιμονικὴν ἡγούμενοι δύναμιν. λέγουσι γὰρ ἐν ἀρτίῳ μέτρῳ ἕκτῳ καὶ πεντηκοστῷ γεγονέναι Τυφῶνα· καὶ πάλιν τὴν μὲν τοῦ τριγώνου Ἅιδου καὶ Διονύσου καὶ Ἄρεος εἶναι· τὴν δὲ τοῦ τετραγώνου Ῥέας καὶ Ἀφροδίτης καὶ Δήμητρος καὶ Ἑστίας καὶ Ἥρας· τὴν

20 σεβομένοις X: ἐσομένοις 25 τριγώνου] add. φύσιν vel δύναμιν Baxterus 27 καὶ Ἥρας] del. Emperius

δὲ τοῦ δωδεκαγώνου Διός· τὴν δ' ἐκκαιπεντηκονταγωνίου Τυφῶνος, ὡς Εὔδοξος ἱστόρηκεν.

B 31. Αἰγύπτιοι δὲ πυρρόχρουν γεγονέναι τὸν Τυφῶνα νομίζοντες καὶ τῶν βοῶν τοὺς πυρροὺς καθιερεύουσιν, οὕτως ἀκριβῆ ποιούμενοι τὴν παρατήρησιν, ὥστε, κἂν μίαν ἔχῃ τρίχα μέλαιναν ἢ λευκήν, ἄθυτον ἡγεῖσθαι. θύσιμον γὰρ οὐ φίλον εἶναι θεοῖς, ἀλλὰ τοὐναντίον, ὅσα ψυχὰς ἀνοσίων ἀνθρώπων καὶ ἀδίκων εἰς ἕτερα μεταμορφουμένων σώματα συνείληφε. διὸ τῇ μὲν κεφαλῇ τοῦ ἱερείου καταρασάμενοι καὶ ἀποκόψαντες εἰς τὸν ποταμὸν ἐρρίπτουν πάλαι, νῦν δὲ τοῖς ξένοις ἀποδίδονται. τὸν δὲ μέλλοντα θύεσθαι βοῦν οἱ σφραγισταὶ λεγόμενοι τῶν ἱερέων
C κατεσημαίνοντο, τῆς σφραγῖδος, ὡς ἱστορεῖ Κάστωρ, γλυφὴν μὲν ἐχούσης ἄνθρωπον εἰς γόνυ καθεικότα ταῖς χερσὶν ὀπίσω περιηγμέναις, ἔχοντα κατὰ τῆς σφαγῆς ξίφος ἐγκείμενον· ἀπολαύειν δὲ καὶ τὸν ὄνον, ὥσπερ εἴρηται, τῆς ὁμοιότητος διὰ τὴν ἀμαθίαν καὶ τὴν ὕβριν οὐχ ἧττον ἢ διὰ τὴν χρόαν οἴονται. διὸ καὶ τῶν Περσικῶν βασιλέων ἐχθραίνοντες μάλιστα τὸν Ὦχον ὡς ἐναγῆ καὶ μιαρόν, ὄνον ἐπωνόμασαν. κἀκεῖνος εἰπὼν 'ὁ μέντοι ὄνος οὗτος ὑμῶν κατευωχήσεται τὸν βοῦν', ἔθυσε τὸν Ἆπιν, ὡς Δείνων ἱστόρηκεν. οἱ δὲ λέγοντες ἐκ τῆς μάχης ἐπ' ὄνου
D τῷ Τυφῶνι τὴν φυγὴν ἑπτὰ ἡμέρας γενέσθαι, καὶ σωθέντα γεννῆσαι παῖδας Ἱεροσόλυμον καὶ Ἰουδαῖον,

1 τὴν δ'] τὴν δὲ τοῦ R ἐκκαιπεντηκονταγωνίου X: ὀκτωκαιπεντηκονταγωνίου 14 Κάστωρ] vid. p. 266e 23 Δείνων] Mueller. 2 p. 95 25 ἡμέρας Marklandus: ἡμέραις

αὐτόθεν εἰσὶ κατάδηλοι τὰ Ἰουδαϊκὰ παρέλκοντες εἰς τὸν μῦθον.

32. Ταῦτα μὲν οὖν τοιαύτας ὑπονοίας δίδωσιν· ἀπ' ἄλλης δ' ἀρχῆς τῶν φιλοσοφώτερόν τι λέγειν δοκούντων τοὺς ἁπλουστάτους σκεψώμεθα πρῶτον. οὗτοι δ' εἰσὶν οἱ λέγοντες, ὥσπερ Ἕλληνες Κρόνον ἀλληγοροῦσι τὸν χρόνον, Ἥραν δὲ τὸν ἀέρα, γένεσιν δὲ Ἡφαίστου τὴν εἰς πῦρ ἀέρος μεταβολήν, οὕτω παρ' Αἰγυπτίοις Νεῖλον εἶναι τὸν Ὄσιριν Ἴσιδι συνόντα τῇ γῇ, Τυφῶνα δὲ τὴν θάλασσαν, εἰς ἣν ὁ Νεῖλος ἐμπίπτων ἀφανίζεται καὶ διασπᾶται, πλὴν ὅσον ἡ γῆ μέρος ἀναλαμβάνουσα καὶ δεχομένη γίγνεται E γόνιμος ὑπ' αὐτοῦ. καὶ θρῆνός ἐστιν ἱερὸς ἐπὶ τοῦ Κρόνου γενόμενος, θρηνεῖ δὲ τὸν ἐν τοῖς ἀριστεροῖς γιγνόμενον μέρεσιν, ἐν δὲ τοῖς δεξιοῖς φθειρόμενον· Αἰγύπτιοι γὰρ οἴονται τὰ μὲν ἑῷα τοῦ κόσμου πρόσωπον εἶναι, τὰ δὲ πρὸς βορρᾶν δεξιά, τὰ δὲ πρὸς νότον ἀριστερά. φερόμενος οὖν ἐκ τῶν νοτίων ὁ Νεῖλος, ἐν δὲ τοῖς βορείοις ὑπὸ τῆς θαλάσσης καταναλισκόμενος, εἰκότως λέγεται τὴν μὲν γένεσιν ἐν τοῖς ἀριστεροῖς ἔχειν, τὴν δὲ φθορὰν ἐν τοῖς δεξιοῖς. διὸ τήν τε θάλασσαν οἱ ἱερεῖς ἀφοσιοῦνται καὶ τὸν ἅλα Τυφῶνος ἀφρὸν καλοῦσι· καὶ τῶν ἀπαγορευομένων ἕν ἐστιν αὐτοῖς ἐπὶ τραπέζης ἅλα μὴ προτίθεσθαι. F καὶ κυβερνήτας οὐ προσαγορεύουσιν, ὅτι χρῶνται θαλάττῃ καὶ τὸν βίον ἀπὸ τῆς θαλάττης ἔχουσιν. οὐχ ἥκιστα δὲ καὶ τὸν ἰχθὺν ἀπὸ ταύτης προβάλ-

5 δοκούντων Eusebius Praep. Ev. 3, 3: δυναμένων 14 Κρόνου] Νείλου M

λονται τῆς αἰτίας, καὶ τὸ μισεῖν ἰχθύι γράφουσιν. ἐν Σάι γοῦν ἐν τῷ προπύλῳ τοῦ ἱεροῦ τῆς Ἀθηνᾶς ἦν γεγλυμμένον βρέφος, γέρων, καὶ μετὰ τοῦτον ἱέραξ, ἐφεξῆς δ' ἰχθύς, ἐπὶ πᾶσι δ' ἵππος ποτάμιος. ἐδήλου δὲ συμβολικῶς ‛ὦ γιγνόμενοι καὶ ἀπογιγνόμενοι, θεὸς ἀναίδειαν μισεῖ· τὸ μὲν γὰρ βρέφος γενέσεως σύμβολον, φθορᾶς δ' ὁ γέρων.' ἱέρακι δὲ τὸν θεὸν φράζουσιν, ἰχθύι δὲ μῖσος, ὥσπερ εἴρηται, διὰ τὴν θάλατταν· ἵππῳ ποταμίῳ δ' ἀναίδειαν· 364 λέγεται γὰρ ἀποκτείνας τὸν πατέρα τῇ μητρὶ βίᾳ μίγνυσθαι. δόξει δὲ καὶ τὸ ὑπὸ τῶν Πυθαγορικῶν λεγόμενον, ὡς ἡ θάλαττα Κρόνου δάκρυόν ἐστιν, αἰνίττεσθαι τὸ μὴ καθαρὸν μηδὲ σύμφυλον αὐτῆς. ταῦτα μὲν οὖν ἔξωθεν εἰρήσθω κοινὴν ἔχοντα τὴν ἱστορίαν.

33. *Οἱ δὲ σοφώτεροι τῶν ἱερέων οὐ μόνον τὸν Νεῖλον Ὄσιριν καλοῦσιν οὐδὲ Τυφῶνα τὴν θάλασσαν, ἀλλ' Ὄσιριν μὲν ἁπλῶς ἅπασαν τὴν ὑγροποιὸν ἀρχὴν καὶ δύναμιν, αἰτίαν γενέσεως καὶ σπέρματος οὐσίαν νομίζοντες· Τυφῶνα δὲ πᾶν τὸ αὐχμηρὸν καὶ πυρῶδες καὶ ξηραντικὸν ὅλως καὶ πολέμιον τῇ* B *ὑγρότητι. διὸ καὶ πυρρόχρουν γεγονέναι τῷ σώματι καὶ πάρωχρον νομίζοντες οὐ πάνυ προθύμως ἐντυγχάνουσιν οὐδ' ἡδέως ὁμιλοῦσι τοῖς τοιούτοις τὴν ὄψιν ἀνθρώποις. τὸν δ' Ὄσιριν αὖ πάλιν μελάγχρουν γεγονέναι μυθολογοῦσιν, ὅτι πᾶν ὕδωρ καὶ*

2 προπύλῳ] προπυλαίῳ R 3 τοῦτον *: τοῦτο 6 θεὸς ἀναίδειαν — δ' ὁ γέρων supplevi cum Cobeto: δεο ** γέρων. Lac. 70 fere litt. in E 22 πυρρόχρουν (= τῇ χρόᾳ πυρρὸν p. 359 e) *: πυρρόχρων καὶ πάρωχρον] del. Cobetus

γῆν καὶ ἱμάτια καὶ νέφη μελαίνει μιγνύμενον, καὶ τῶν νέων ὑγρότης ἐνοῦσα παρέχει τὰς τρίχας μελαίνας· ἡ δὲ πολίωσις οἷον ὠχρίασις ὑπὸ ξηρότητος ἐπιγίγνεται τοῖς παρακμάζουσι. καὶ τὸ μὲν ἔαρ θαλερὸν καὶ γόνιμον καὶ προσηνές· τὸ δὲ φθινόπωρον ὑγρότητος ἐνδείᾳ καὶ φυτοῖς πολέμιον καὶ ζῴοις νοσῶδες. ὁ δ' ἐν Ἡλίου πόλει τρεφόμενος βοῦς, C ὃν Μνεῦιν καλοῦσιν (Ὀσίριδος δ' ἱερόν, ἔνιοι δὲ καὶ τοῦ Ἄπιδος πατέρα νομίζουσι), μέλας ἐστὶ καὶ δευτέρας ἔχει τιμὰς μετὰ τὸν Ἆπιν. ἔτι τὴν Αἴγυπτον ἐν τοῖς μάλιστα μελάγγειον οὖσαν, ὥσπερ τὸ μέλαν τοῦ ὀφθαλμοῦ, Χημίαν καλοῦσι καὶ καρδίᾳ παρεικάζουσι· θερμὴ γάρ ἐστι καὶ ὑγρὰ καὶ τοῖς νοτίοις μέρεσι τῆς οἰκουμένης, ὥσπερ ἡ καρδία τοῖς εὐωνύμοις τοῦ ἀνθρώπου, μάλιστα ἐγκέκλεισται καὶ προσκεχώρηκεν.

34. Ἥλιον δὲ καὶ σελήνην οὐχ ἅρμασιν ἀλλὰ πλοίοις ὀχήμασι χρωμένους περιπλεῖν φασιν, αἰνιττόμενοι τὴν ἀφ' ὑγροῦ τροφὴν αὐτῶν καὶ γένεσιν. D οἴονται δὲ καὶ Ὅμηρον ὥσπερ Θαλῆν μαθόντα παρ' Αἰγυπτίων ὕδωρ ἀρχὴν ἁπάντων καὶ γένεσιν τίθεσθαι. τὸν γὰρ Ὠκεανὸν Ὄσιριν εἶναι, τὴν δὲ Τηθὺν Ἶσιν, ὡς τιθηνουμένην πάντα καὶ συνεκτρέφουσαν. καὶ γὰρ Ἕλληνες τὴν τοῦ σπέρματος πρόεσιν ἀπουσίαν καλοῦσι καὶ συνουσίαν τὴν μῖξιν, καὶ τὸν υἱὸν ἀπὸ τοῦ ὕδατος καὶ τοῦ ὗσαι· καὶ τὸν Διόνυσον 'ὕην' ὡς κύριον τῆς ὑγρᾶς φύσεως, οὐχ ἕτερον ὄντα

8 Μνεῦιν Basileensis: μνύειν 18 φασιν Badhamus: ἀεί 20 Ὅμηρον] Ξ 201 24 πρόεσιν Salmasius: πρόθεσιν

τοῦ Ὀσίριδος· καὶ γὰρ τὸν Ὄσιριν Ἑλλάνικος Ὕσιριν ἔοικεν ἀκηκοέναι ὑπὸ τῶν ἱερέων λεγόμενον· οὕτω γὰρ ὀνομάζων διατελεῖ τὸν θεόν, εἰκότως ἀπὸ τῆς φύσεως καὶ τῆς εὑρέσεως.

E 35. Ὅτι μὲν οὖν ὁ αὐτός ἐστι Διονύσῳ, τίνα μᾶλλον ἢ σὲ γιγνώσκειν, ὦ Κλέα, δὴ προσῆκόν ἐστιν, ἀρχικλὰ μὲν οὖσαν ἐν Δελφοῖς τῶν Θυιάδων, τοῖς δ' Ὀσιριακοῖς καθωσιωμένην ἱεροῖς ἀπὸ πατρὸς καὶ μητρός; εἰ δὲ τῶν ἄλλων ἕνεκα δεῖ μαρτύρια παραθέσθαι, τὰ μὲν ἀπόρρητα κατὰ χώραν ἐῶμεν, ἃ δ' ἐμφανῶς δρῶσι θάπτοντες τὸν Ἆπιν οἱ ἱερεῖς, ὅταν παρακομίζωσιν ἐπὶ σχεδίας τὸ σῶμα, βακχείας οὐδὲν ἀποδεῖ. καὶ γὰρ νεβρίδας περικαθάπτονται καὶ θύρσους φοροῦσι, καὶ βοαῖς χρῶνται καὶ κινήσεσιν ὥσπερ
F οἱ κάτοχοι τοῖς περὶ τὸν Διόνυσον ὀργιασμοῖς. διὸ καὶ ταυρόμορφον Διόνυσον ποιοῦσιν ἀγάλματα πολλοὶ τῶν Ἑλλήνων· αἱ δ' Ἠλείων γυναῖκες καὶ παρακαλοῦσιν εὐχόμεναι 'ποδὶ βοείῳ τὸν θεὸν ἐλθεῖν' πρὸς αὐτάς. Ἀργείοις δὲ βουγενὴς Διόνυσος ἐπίκλην ἐστίν· ἀνακαλοῦνται δ' αὐτὸν ὑπὸ σαλπίγγων ἐξ ὕδατος, ἐμβάλλοντες εἰς τὴν ἄβυσσον ἄρνα τῷ Πυλαόχῳ· τὰς δὲ σάλπιγγας ἐν θύρσοις ἀποκρύπτουσιν, ὡς Σωκράτης ἐν τοῖς περὶ Ὁσίων εἴρηκεν. ὁμολογεῖ δὲ καὶ τὰ Τιτανικὰ καὶ Νυκτέλια τοῖς λεγομένοις

2 ἔοικεν Valckenarius: ἔθηκεν 4 φύσεως] ὕσεως Salmasius. εὖ ὕσεως? εὑρέσεως] ὑγρεύσεως R. εὖ ῥύσεως? 6 δὴ] δήπου? cf. p. 752c. 1108d 7 ἀρχικλὰ] ἀρχηγὸν Basileensis ex p. 293f. ἀρχίλλαν? 16 ταυρόμορφα Διονύσου Marklandus οἱ ἀγαλματοποιοὶ Halmius cum X. Mihi ἀγάλματα glossema videtur 18 βοείῳ] βοέῳ p. 299a 23 Σωκράτης] Mueller. 4 p 498 24 Νυκτέλια Squirius: νὺξ τελεία

Ὀσίριδος διασπασμοῖς καὶ ταῖς ἀναβιώσεσι καὶ παλιγ-
γενεσίαις· ὁμοίως δὲ καὶ τὰ περὶ τὰς ταφάς. Αἰγύ- 365
πτιοί τε γὰρ Ὀσίριδος πολλαχοῦ θήκας, ὥσπερ
εἴρηται, δεικνύουσι, καὶ Δελφοὶ τὰ τοῦ Διονύσου
λείψανα παρ' αὐτοῖς παρὰ τὸ χρηστήριον ἀποκεῖσθαι
νομίζουσι· καὶ θύουσιν οἱ Ὅσιοι θυσίαν ἀπόρρητον
ἐν τῷ ἱερῷ τοῦ Ἀπόλλωνος, ὅταν αἱ Θυιάδες ἐγεί-
ρωσι τὸν Λικνίτην. ὅτι δ' οὐ μόνον τοῦ οἴνου
Διόνυσον, ἀλλὰ καὶ πάσης ὑγρᾶς φύσεως Ἕλληνες
ἡγοῦνται κύριον καὶ ἀρχηγόν, ἀρκεῖ Πίνδαρος μάρ-
τυς εἶναι λέγων

‘δενδρέων δὲ νομὸν Διόνυσος πολυγαθὴς
αὐξάνοι, ἁγνὸν φέγγος ὀπώρας.’

διὸ καὶ τοῖς τὸν Ὄσιριν σεβομένοις ἀπαγορεύεται B
δένδρον ἥμερον ἀπολλύναι καὶ πηγὴν ὕδατος ἐμ-
φράττειν.

36. Οὐ μόνον δὲ τὸν Νεῖλον, ἀλλὰ πᾶν ὑγρὸν ἁπλῶς Ὀσίριδος ἀπορροὴν καλοῦσι· καὶ τῶν ἱερῶν ἀεὶ προπομπεύει τὸ ὑδρεῖον ἐπὶ τιμῇ τοῦ θεοῦ. καὶ θρύῳ βασιλέα καὶ τὸ νότιον κλίμα τοῦ κόσμου γράφουσι, καὶ μεθερμηνεύεται τὸ θρύον ποτισμὸς καὶ κύησις πάντων, καὶ δοκεῖ γεννητικῷ μορίῳ τὴν φύσιν ἐοικέναι. τὴν δὲ τῶν Παμυλίων ἑορτὴν ἄγοντες, ὥσπερ εἴρηται, φαλλικὴν οὖσαν, ἄγαλμα προτίθενται καὶ περιφέρουσιν, οὗ τὸ αἰδοῖον τριπλάσιόν ἐστιν· ἀρχὴ γὰρ ὁ θεός, ἀρχὴ δὲ πᾶσα τῷ

10 Πίνδαρος] Bergk. 1 p. 433 20 θρύῳ W: θρύων
22 κύησις X: κίνησις

γονίμῳ πολλαπλασιάζει τὸ ἐξ αὑτῆς. τὸ δὲ πολλάκις
C εἰώθαμεν καὶ τρὶς λέγειν, ὡς τό 'τρισμάκαρες' καὶ

'δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες.'

εἰ μὴ νὴ Δία κυρίως ἐμφαίνεται τὸ τριπλάσιον ὑπὸ τῶν παλαιῶν· ἡ γὰρ ὑγρὰ φύσις ἀρχὴ καὶ γένεσις οὖσα πάντων ἐξ ἀρχῆς τὰ πρῶτα τρία σώματα, γῆν ἀέρα καὶ πῦρ, ἐποίησε. καὶ γὰρ ὁ προστιθέμενος τῷ μύθῳ λόγος, ὡς τοῦ Ὀσίριδος ὁ Τυφὼν τὸ αἰδοῖον ἔρριψεν εἰς τὸν ποταμόν, ἡ δ' Ἶσις οὐχ εὗρεν, ἀλλ' ἐμφερὲς ἄγαλμα θεμένη καὶ κατασκευάσασα τιμᾶν καὶ φαλληφορεῖν ἔταξεν, ἐνταῦθα δὴ περιχωρεῖ, διδάσκων, ὅτι τὸ γόνιμον καὶ τὸ σπερματικὸν τοῦ θεοῦ πρώτην ἔσχεν ὕλην τὴν ὑγρότητα καὶ δι' ὑγρότητος ἐνεκράθη τοῖς πεφυκόσι
D μετέχειν γενέσεως. ἄλλος δὲ λόγος ἐστὶν Αἰγυπτίων, ὡς Ἄποπις Ἡλίου ὢν ἀδελφὸς ἐπολέμει τῷ Διί, τὸν δ' Ὄσιριν ὁ Ζεὺς συμμαχήσαντα καὶ συγκαταστρεψάμενον αὐτῷ τὸν πολέμιον παῖδα θέμενος, Διόνυσον προσηγόρευσεν. καὶ τούτου δὲ τοῦ λόγου τὸ μυθῶδες ἔστιν ἀποδεῖξαι τῆς περὶ φύσιν ἀληθείας ἁπτόμενον. Δία μὲν γὰρ Αἰγύπτιοι τὸ πνεῦμα καλοῦσιν, ᾧ πολέμιον τὸ αὐχμηρὸν καὶ πυρῶδες· τοῦτο δ' ἥλιος μὲν οὐκ ἔστι, πρὸς δ' ἥλιον ἔχει τινὰ συγγένειαν· ἡ δ' ὑγρότης σβεννύουσα τὴν ὑπερβολὴν
E τῆς ξηρότητος αὔξει καὶ ῥώννυσι τὰς ἀναθυμιάσεις, ὑφ' ὧν τὸ πνεῦμα τρέφεται καὶ τέθηλεν.

1 αὑτῆς *: αὐτῆς 2 τρισμάκαρες] Hom. ζ 154
3 id. θ 340 11 δὴ περιχωρεῖ Madvigius: δὲ παραχωρεῖ
13 πρώτην R: πρῶτον 20 περὶ X: παρὰ

37. Ἔτι τε τὸν κιττὸν Ἕλληνές τε καθιεροῦσι τῷ Διονύσῳ καὶ παρ' Αἰγυπτίοις λέγεται 'χενόσιρις' ὀνομάζεσθαι, σημαίνοντος τοῦ ὀνόματος, ὥς φασι, φυτὸν Ὀσίριδος. Ἀρίστων τοίνυν ὁ γεγραφὼς Ἀθηναίων ἀποικίας ἐπιστολῇ τινι Ἀλεξάρχου περιέπεσεν, ἐν ᾗ Διὸς ἱστορεῖται καὶ Ἴσιδος υἱὸς ὢν ὁ Διόνυσος ὑπ' Αἰγυπτίων οὐκ Ὄσιρις ἀλλ' Ἀρσαφὴς (ἐν τῷ ἄλφα γράμματι) λέγεσθαι, δηλοῦντος τὸ ἀνδρεῖον F τοῦ ὀνόματος. ἐμφαίνει δὲ τοῦτο καὶ ὁ Ἑρμαῖος ἐν τῇ πρώτῃ περὶ τῶν Αἰγυπτίων· ὄμβριμον γάρ φησι μεθερμηνευόμενον εἶναι τὸν Ὄσιριν. ἐῶ δὲ Μνασέαν τῷ Ἐπάφῳ προστιθέντα τὸν Διόνυσον καὶ τὸν Ὄσιριν καὶ τὸν Σάραπιν· ἐῶ καὶ Ἀντικλείδην λέγοντα τὴν Ἶσιν Προμηθέως οὖσαν θυγατέρα Διονύσῳ συνοικεῖν· αἱ γὰρ εἰρημέναι περὶ τὰς ἑορτὰς καὶ τὰς θυσίας οἰκειότητες ἐναργεστέραν τῶν μαρτύρων τὴν πίστιν ἔχουσι.

38. Τῶν τ' ἄστρων τὸν σείριον Ἴσιδος νομίζουσιν, ὑδραγωγὸν ὄντα. καὶ τὸν λέοντα τιμῶσι **366** καὶ χάσμασι λεοντείοις τὰ τῶν ἱερῶν θυρώματα κοσμοῦσιν, ὅτι πλημμυρεῖ Νεῖλος

'ἠελίου τὰ πρῶτα συνερχομένοιο λέοντι.'

ὡς δὲ Νεῖλον Ὀσίριδος ἀπορροήν, οὕτως Ἴσιδος

1 *κιττὸν* Squirius: *κιττὸν ὃν* 5 *ἀποικίας* Marklandus: *ἀποικίαν* *περιέπεσεν, ἐν ᾗ Διὸς* Valckenarius: *περιπέσειε νηΐδος* 6 *καὶ* idem: *δὲ καὶ* 7 *ἐν τῷ ἄλφα γράμματι*] del. R 9 *Ἑρμαῖος*] *Ἑρμέας* R 10 *ὄμβριμον*] *ὄμβριον* Iablonskius 11 *Μνασέαν* X: *μνάσαν* 18 *Ἴσιδος*] *Ὀσίριδος* Squirius *Ἴσιδος νομίζουσιν*] syllabas *δος νομι* in rasura habet E, cuius pr. manus dedisse vid. *Ἶσιν ὀνομάζουσι* 22 Arati Phaenom. 351

σῶμα γῆν ἔχουσι καὶ νομίζουσιν οὐ πᾶσαν, ἀλλ' ἧς ὁ Νεῖλος ἐπιβαίνει σπερμαίνων καὶ μιγνύμενος· ἐκ δὲ τῆς συνουσίας ταύτης γεννῶσι τὸν Ὧρον. ἔστι δ' Ὧρος ἡ πάντα σῴζουσα καὶ τρέφουσα τοῦ περιέχοντος ὥρα καὶ κρᾶσις ἀέρος, ὃν ἐν τοῖς ἕλεσι τοῖς B περὶ Βοῦτον ὑπὸ Λητοῦς τραφῆναι λέγουσιν· ἡ γὰρ ὑδατώδης καὶ διάβροχος γῆ μάλιστα τὰς σβεννυούσας καὶ χαλώσας τὴν ξηρότητα καὶ τὸν αὐχμὸν ἀναθυμιάσεις τιθηνεῖται. Νέφθυν δὲ καλοῦσι τῆς γῆς τὰ ἔσχατα καὶ παρόρια καὶ ψαύοντα τῆς θαλάττης· διὸ καὶ Τελευτὴν ἐπονομάζουσι τὴν Νέφθυν καὶ Τυφῶνι δὲ συνοικεῖν λέγουσιν. ὅταν δ' ὑπερβαλὼν καὶ πλεονάσας ὁ Νεῖλος ἐπέκεινα πλησιάσῃ τοῖς ἐσχατεύουσι, τοῦτο μῖξιν Ὀσίριδος πρὸς Νέφθυν καλοῦσιν, ὑπὸ τῶν ἀναβλαστανόντων φυτῶν ἐλεγχομένην· ὧν καὶ τὸ μελίλωτόν ἐστιν, οὗ φησι μῦθος ἀπορρυέντος C καὶ ἀπολειφθέντος αἴσθησιν γενέσθαι Τυφῶνι τῆς περὶ τὸν γάμον ἀδικίας. ὅθεν ἡ μὲν Ἶσις ἔτεκε γνησίως τὸν Ὧρον, ἡ δὲ Νέφθυς σκότιον τὸν Ἄνουβιν. ἐν μέντοι ταῖς διαδοχαῖς τῶν βασιλέων ἀναγράφουσι τὴν Νέφθυν Τυφῶνι γημαμένην πρώτην γενέσθαι στεῖραν· εἰ δὲ τοῦτο μὴ περὶ γυναικὸς ἀλλὰ περὶ τῆς θεοῦ λέγουσιν, αἰνίττονται τὸ παντελὲς τῆς γῆς ἄγονον καὶ ἄκαρπον ὑπὸ στειρότητος.

39. Ἡ δὲ Τυφῶνος ἐπιβουλὴ καὶ τυραννὶς αὐχμοῦ δύναμις ἦν ἐπικρατήσαντος καὶ διαφορήσαντος

1 ἔχουσι] λέγουσι W νομίζουσι] ὀνομάζουσι Marklandus 11 Τελευτὴν Squirius: τελευταίην 23 παντελὲς] ἀλιτενὲς W. Nihil opus, cum τὸ παντελὲς ἄγονον idem valeat ac τὴν παντελῆ ἀγονίαν 24 στειρότητος W: στερρότητος

τήν τε γεννῶσαν ὑγρότητα τὸν Νεῖλον καὶ αὔξουσαν. ἡ δὲ συνεργὸς αὐτοῦ βασιλὶς Αἰθιόπων αἰνίττεται πνοὰς νοτίους ἐξ Αἰθιοπίας· ὅταν γὰρ αὗται τῶν ἐτησίων ἐπικρατήσωσι τὰ νέφη πρὸς τὴν Αἰθιοπίαν D ἐλαυνόντων, καὶ κωλύσωσι τοὺς τὸν Νεῖλον αὔξοντας ὄμβρους καταρραγῆναι, κατέχων ὁ Τυφὼν ἐπιφλέγει, καὶ τότε κρατήσας παντάπασι τὸν Νεῖλον εἰς ἑαυτὸν ὑπ' ἀσθενείας συσταλέντα καὶ ῥυέντα κοῖλον καὶ ταπεινὸν ἐξέωσεν εἰς τὴν θάλασσαν. ἡ γὰρ λεγομένη κάθειρξις εἰς τὴν σορὸν Ὀσίριδος οὐδὲν ἔοικεν ἀλλ' ἢ κρύψιν ὕδατος καὶ ἀφανισμὸν αἰνίττεσθαι· διὸ μηνὸς Ἀθὺρ ἀφανισθῆναι τὸν Ὄσιριν λέγουσιν, ὅτε τῶν ἐτησίων ἀπολειπόντων E παντάπασιν ὁ μὲν Νεῖλος ὑπονοστεῖ, γυμνοῦται δ' ἡ χώρα· μηκυνομένης δὲ τῆς νυκτός, αὔξεται τὸ σκότος, ἡ δὲ τοῦ φωτὸς μαραίνεται καὶ κρατεῖται δύναμις, οἱ ἱερεῖς ἄλλα τε δρῶσι σκυθρωπὰ καὶ βοῦν διάχρυσον ἱματίῳ μέλανι βυσσίνῳ περιβάλλοντες ἐπὶ πένθει τῆς θεοῦ δεικνύουσι (βοῦν γὰρ Ἴσιδος εἰκόνα καὶ γῆν νομίζουσιν) ἐπὶ τέσσαρας ἡμέρας ἀπὸ τῆς ἑβδόμης ἐπὶ δέκα ἑξῆς. καὶ γὰρ τὰ πενθούμενα τέσσαρα, πρῶτον μὲν ὁ Νεῖλος ἀπολείπων καὶ ὑπονοστῶν, δεύτερον δὲ τὰ βόρεια πνεύματα κατασβεννύμενα κομιδῇ τῶν νοτίων ἐπικρατούντων, τρίτον δὲ τὸ τὴν ἡμέραν ἐλάττονα γίγνεσθαι τῆς νυκτός, ἐπὶ πᾶσι δ' ἡ τῆς γῆς ἀπογύμνωσις ἅμα τῇ τῶν F

8 ἑαυτὸν Bentleius: ἐναντίον 15 αὔξεται] ὅτε αὔξεται Squirius 17 οἱ] οἱ δὲ W. Possis etiam καὶ οἱ 20 καὶ γῆν] αἰσθητὴν Marklandus 26 πᾶσι δ' *: πᾶσιν

φυτῶν ψιλότητι τηνικαῦτα φυλλορροούντων. τῇ δ' ἐνάτῃ ἐπὶ δέκα νυκτὸς ἐπὶ θάλασσαν κατίασι· καὶ τὴν ἱερὰν κίστην οἱ στολισταὶ καὶ οἱ ἱερεῖς ἐκφέρουσι χρυσοῦν ἐντὸς ἔχουσαν κιβώτιον, εἰς ὃ ποτίμου λαβόντες ὕδατος ἐγχέουσι, καὶ γίγνεται κραυγὴ τῶν παρόντων ὡς εὑρημένου τοῦ Ὀσίριδος· εἶτα γῆν κάρπιμον φυρῶσι τῷ ὕδατι, καὶ συμμίξαντες ἀρώματα καὶ θυμιάματα τῶν πολυτελῶν ἀναπλάττουσι μηνοειδὲς ἀγαλμάτιον· καὶ τοῦτο στολίζουσι καὶ κοσμοῦσιν, ἐμφαίνοντες ὅτι γῆς οὐσίαν καὶ ὕδατος τοὺς θεοὺς τούτους νομίζουσι.

40. Τῆς δ' Ἴσιδος πάλιν ἀναλαμβανούσης τὸν
367 Ὄσιριν καὶ αὐξανούσης τὸν Ὧρον, ἀναθυμιάσεσι καὶ ὁμίχλαις καὶ νέφεσι ῥωννύμενον, ἐκρατήθη μέν, οὐκ ἀνῃρέθη δ' ὁ Τυφών. οὐ γὰρ εἴασεν ἡ κυρία τῆς γῆς θεὸς ἀναιρεθῆναι παντάπασι τὴν ἀντικειμένην τῇ ὑγρότητι φύσιν, ἀλλ' ἐχάλασε καὶ ἀνῆκε βουλομένη διαμένειν τὴν κρᾶσιν· οὐ γὰρ ἦν κόσμον εἶναι τέλειον, ἐκλιπόντος καὶ ἀφανισθέντος τοῦ πυρώδους. εἰ δὲ ταῦτα μὴ λέγεται παρὰ τὸ εἰκός, εἰκότως οὐδ' ἐκεῖνον ἄν τις ἀπορρίψειε τὸν λόγον, ὡς Τυφὼν μὲν ἐκράτει πάλαι τῆς Ὀσίριδος μοίρας· θάλασσα γὰρ ἦν ἡ Αἴγυπτος. διὸ πολλὰ μὲν ἐν τοῖς μετάλλοις
B καὶ τοῖς ὄρεσιν εὑρίσκεται μέχρι νῦν κογχύλια ἔχειν·

2 κατίασι Baxterus: κάτεισι 7 γῆν X: τὴν 18 κρᾶσιν X: κρίσιν κόσμον] τὸν κόσμον Marklandus 19 ἐκλιπόντος idem: ἐκλείποντος 20 μὴ] δὴ W παρὰ τὸ εἰκός *: παρ' αὐτοῖς εἰκότως] ἀπεικότως Bentleius 24 ἔχειν] ἐκεῖ Marklandus. Sed cf. Plat. de Legg. p. 699 b. Herod. I 125

πᾶσαι δὲ πηγαὶ καὶ φρέατα πάντα, πολλῶν ὑπαρχόντων, ἁλμυρὸν ὕδωρ καὶ πικρὸν ἔχουσιν, ὡς ἂν ὑπόλειμμα τῆς πάλαι θαλάσσης ἕωλον ἐνταυθοῖ συνερρυηκός. ὁ δ' Ὧρος χρόνῳ τοῦ Τυφῶνος ἐπεκράτησε, τουτέστιν εὐκαιρίας ὄμβρων γενομένης, ὁ Νεῖλος ἐξεώσας τὴν θάλασσαν ἀνέφηνε τὸ πεδίον καὶ ἀνεπλήρωσε ταῖς προσχώσεσιν. ὃ δὴ μαρτυροῦσαν ἔχει τὴν αἴσθησιν· ὁρῶμεν γὰρ ἔτι νῦν ἐπιφέροντι τῷ ποταμῷ νέαν ἰλὺν καὶ προάγοντι τὴν γῆν κατὰ μικρὸν ὑποχωροῦν ὀπίσω τὸ πέλαγος, καὶ C τὴν θάλασσαν, ὕψος τῶν ἐν βάθει λαμβανόντων διὰ τὰς προσχώσεις, ἀπορρέουσαν· τὴν δὲ Φάρον, ἣν Ὅμηρος ᾔδει δρόμον ἡμέρας ἀπέχουσαν Αἰγύπτου, νῦν μέρος οὖσαν αὐτῆς, οὐκ αὐτὴν ἀναδραμοῦσαν οὐδὲ προσαναβᾶσαν, ἀλλὰ τῆς μεταξὺ θαλάττης ἀναπλάττοντι τῷ ποταμῷ καὶ τρέφοντι τὴν ἤπειρον ἀνασταλείσης. ἀλλὰ ταῦτα μὲν ὅμοια τοῖς ὑπὸ τῶν Στωικῶν θεολογουμένοις ἐστί· καὶ γὰρ ἐκεῖνοι τὸ μὲν γόνιμον πνεῦμα καὶ τρόφιμον Διόνυσον εἶναι λέγουσι, τὸ πληκτικὸν δὲ καὶ διαιρετικὸν Ἡρακλέα, τὸ δὲ δεκτικὸν Ἄμμωνα, Δήμητρα δὲ καὶ Κόρην τὸ διὰ τῆς γῆς καὶ τῶν καρπῶν διῆκον, Ποσειδῶνα δὲ τὸ διὰ τῆς θαλάττης.

41. Οἱ δὲ τοῖσδε τοῖς φυσικοῖς καὶ τῶν ἀπ' ἀστρολογίας μαθηματικῶν ἔνια μιγνύντες Τυφῶνα

4 συνερρυηκός Bentleius: συνερρυηκότος 5 ὄμβρων R: ὀμβρίων 6 ἐξεώσας] ἐξώσας W 9 προάγοντι *: προαγαγόντι 13 Ὅμηρος] δ 355 21 Δήμητρα *: δήμητραν 25 μαθηματικῶν] μαθημάτων Marklandus

D μὲν οἴονται τὸν ἡλιακὸν κόσμον, Ὄσιριν δὲ τὸν σεληνιακὸν λέγεσθαι. τὴν μὲν γὰρ σελήνην γόνιμον τὸ φῶς καὶ ὑγροποιὸν ἔχουσαν εὐμενῆ καὶ γοναῖς ζῴων καὶ φυτῶν εἶναι βλαστήσεσι· τὸν δ᾽ ἥλιον ἀκράτῳ πυρὶ καὶ σκληρῷ καταθάλπειν τε καὶ καταυαίνειν τὰ φυόμενα καὶ τεθηλότα, καὶ τὸ πολὺ μέρος τῆς γῆς παντάπασιν ὑπὸ φλογμοῦ ποιεῖν ἀοίκητον καὶ κατακρατεῖν πολλαχοῦ καὶ τῆς σελήνης. διὸ τὸν Τυφῶνα Σὴθ ἀεὶ Αἰγύπτιοι καλοῦσιν, ὅπερ ἐστὶ καταδυναστεῦον ἢ καταβιαζόμενον. καὶ τῷ μὲν ἡλίῳ E τὸν Ἡρακλέα μυθολογοῦσιν ἐνιδρυμένον συμπεριπολεῖν, τῇ δὲ σελήνῃ τὸν Ἑρμῆν. λόγου γὰρ ἔργοις ἔοικε καὶ περισσῆς σοφίας τὰ τῆς σελήνης, τὰ δ᾽ ἡλίου πληγαῖς ὑπὸ βίας καὶ ῥώμης περαινομένοις. οἱ δὲ Στωικοὶ τὸν μὲν ἥλιον ἐκ θαλάττης ἀνάπτεσθαι καὶ τρέφεσθαί φασι, τῇ δὲ σελήνῃ τὰ κρηναῖα καὶ λιμναῖα νάματα γλυκεῖαν ἀναπέμπειν καὶ μαλακὴν ἀναθυμίασιν.

42. Ἑβδόμῃ ἐπὶ δέκα τὴν Ὀσίριδος γενέσθαι τελευτὴν Αἰγύπτιοι μυθολογοῦσιν, ἐν ᾗ μάλιστα γίγνεται πληρουμένη κατάδηλος ἡ πανσέληνος. διὸ F καὶ τὴν ἡμέραν ταύτην ἀντίφραξιν οἱ Πυθαγόρειοι καλοῦσι, καὶ ὅλως τὸν ἀριθμὸν τοῦτον ἀφοσιοῦνται. τοῦ γὰρ ἑξκαίδεκα τετραγώνου καὶ τοῦ ὀκτωκαίδεκα ἑτερομήκους, οἷς μόνοις ἀριθμῶν ἐπιπέδων συμβέβηκε τὰς περιμέτρους ἴσας ἔχειν τοῖς περιεχομένοις

5 καὶ σκληρῷ καταθάλπειν Madvigius: κεκληρωκότα θάλπειν 9 ἀεὶ] del. Squirius 13 περισσῆς R: περὶ 14 περαινομένοις sc. ἔργοις Halmius: περαινομένης 19 δ᾽ ἐπὶ?

ὑπ' αὐτῶν χωρίοις, μέσος ὁ τῶν ἑπτακαίδεκα παρεμπίπτων ἀντιφράττει καὶ διαζεύγνυσιν ἀπ' ἀλλήλων, καὶ διαιρεῖ τὸν ἐπόγδοον λόγον εἰς ἄνισα διαστήματα τεμνόμενος. ἐτῶν δ' ἀριθμὸν οἱ μὲν βιῶσαι τὸν Ὄσιριν οἱ δὲ βασιλεῦσαι λέγουσιν ὀκτὼ καὶ εἴκοσι· τοσαῦτα γάρ ἐστι φῶτα τῆς σελήνης καὶ 368 τοσαύταις ἡμέραις τὸν αὑτῆς κύκλον ἐξελίσσει. τὸ δὲ ξύλον ἐν ταῖς λεγομέναις Ὀσίριδος ταφαῖς τέμνοντες κατασκευάζουσι λάρνακα μηνοειδῆ διὰ τὸ τὴν σελήνην, ὅταν τῷ ἡλίῳ πλησιάζῃ, μηνοειδῆ γιγνομένην ἀποκρύπτεσθαι. τὸν δ' εἰς δεκατέσσαρα μέρη τοῦ Ὀσίριδος διασπασμὸν αἰνίττονται πρὸς τὰς ἡμέρας, ἐν αἷς φθίνει μετὰ πανσέληνον ἄχρι νουμηνίας τὸ ἄστρον. ἡμέραν δέ, ἐν ᾗ φαίνεται πρῶτον ἐκφυγοῦσα τὰς αὐγὰς καὶ παρελθοῦσα τὸν ἥλιον, 'ἀτελὲς B ἀγαθόν' προσαγορεύουσιν. ὁ γὰρ Ὄσιρις ἀγαθοποιός, καὶ τοὔνομα πολλὰ φράζει, οὐχ ἥκιστα δὲ κράτος ἐνεργοῦν καὶ ἀγαθοποιὸν ὃ λέγουσι. τὸ δ' ἕτερον ὄνομα τοῦ θεοῦ τὸν Ὄμφιν εὐεργέτην ὁ Ἑρμαῖός φησι δηλοῦν ἑρμηνευόμενον.

43. Οἴονται δὲ πρὸς τὰ φῶτα τῆς σελήνης ἔχειν τινὰ λόγον τοῦ Νείλου τὰς ἀναβάσεις. ἡ μὲν γὰρ μεγίστη περὶ τὴν Ἐλεφαντίνην ὀκτὼ γίγνεται καὶ εἴκοσι πήχεων, ὅσα φῶτα καὶ μέτρα τῶν ἐμμήνων περιόδων ἑκάστης ἐστίν· ἡ δὲ περὶ Μένδητα καὶ Ξόιν βραχυτάτη πήχεων ἓξ πρὸς τὴν διχότομον· ἡ δὲ

3 διαιρεῖ] διατηρεῖ X τὸν] κατὰ τὸν W 6 κἂν? 18 ἐνεργοῦν] εὐεργὸν? ὃ δὲ λέγουσιν ἕτερον κἑ? 19 Ὄμφιν] Ὀνουφιν Partheius Ἑρμέας R 26 ἓξ] ἑπτὰ Squirius

C μέσῃ περὶ Μέμφιν, ὅταν ᾖ δικαία, δεκατεσσάρων πήχεων πρὸς τὴν πανσέληνον. τὸν δ' Ἆπιν εἰκόνα μὲν Ὀσίριδος ἔμψυχον εἶναι, γίγνεσθαι δέ, ὅταν φῶς ἐρείσῃ γόνιμον ἀπὸ τῆς σελήνης καὶ καθάψηται βοὸς ὀργώσης. διὸ καὶ τοῖς τῆς σελήνης σχήμασιν ἔοικε πολλὰ τοῦ Ἄπιδος, περιμελαινομένου τὰ λαμπρὰ τοῖς σκιεροῖς. ἔτι δὲ τῇ νουμηνίᾳ τοῦ Φαμενὼθ μηνὸς ἑορτὴν ἄγουσιν, ἔμβασιν Ὀσίριδος εἰς τὴν σελήνην ὀνομάζοντες, ἔαρος ἀρχὴν οὖσαν. οὕτω τὴν Ὀσίριδος δύναμιν ἐν τῇ σελήνῃ τιθέντες τὴν Ἶσιν αὐτῷ γένεσιν οὖσαν συνεῖναι λέγουσι. διὸ καὶ μητέρα τὴν σελήνην τοῦ κόσμου καλοῦσι καὶ φύσιν ἔχειν ἀρσενόθηλυν οἴονται, πληρουμένην ὑφ' Ἡλίου καὶ κυισκομένην, αὐτὴν δὲ πάλιν εἰς τὸν ἀέρα προϊε-
D μένην γεννητικὰς ἀρχὰς καὶ κατασπείρουσαν· οὐ γὰρ ἀεὶ τὴν φθορὰν ἐπικρατεῖν τὴν τυφώνειον, πολλάκις δὲ κρατουμένην ὑπὸ τῆς γενέσεως καὶ συνδεομένην αὖθις ἀναλύεσθαι καὶ διαμάχεσθαι πρὸς τὸν Ὧρον. ἔστι δ' οὗτος ὁ περίγειος κόσμος οὔτε φθορᾶς ἀπαλλαττόμενος παντάπασιν οὔτε γενέσεως.

44. Ἔνιοι δὲ καὶ τῶν ἐκλειπτικῶν αἴνιγμα ποιοῦνται τὸν μῦθον. ἐκλείπει μὲν γὰρ ἡ σελήνη πανσέληνος, ἐναντίαν τοῦ ἡλίου στάσιν ἔχοντος πρὸς αὐτήν, εἰς τὴν σκιὰν ἐμπίπτουσα τῆς γῆς, ὥσπερ φασὶ τὸν Ὄσιριν εἰς τὴν σορόν. αὐτὴ δὲ πάλιν
E ἀποκρύπτει καὶ ἀφανίζει ταῖς τριακάσιν, οὐ μὴν ἀναι-

2 πήχεων *: πηχῶν Ἆπιν] add. φασιν Baxterus 3 γίγνεσθαι *: γενέσθαι 7 ἔτι δὲ Baxterus: ὅτι 18 ἀναλύεσθαι W: ἀναδύεσθαι 26 scr. vid. ἀναιρεῖ καὶ

ρεῖται παντάπασι τὸν ἥλιον, ὥσπερ οὐδὲ τὸν Τυφῶνα ἡ Ἶσις. γεννώσης τῆς Νέφθυος τὸν Ἄνουβιν, Ἶσις ὑποβάλλεται. Νέφθυς γάρ ἐστι τὸ ὑπὸ γῆν καὶ ἀφανές, Ἶσις δὲ τὸ ὑπὲρ τὴν γῆν καὶ φανερόν. ὁ δὲ τούτων ὑποψαύων καὶ καλούμενος ὁρίζων κύκλος, ἐπίκοινος ὢν ἀμφοῖν, Ἄνουβις κέκληται καὶ κυνὶ τὸ εἶδος ἀπεικάζεται· καὶ γὰρ ὁ κύων χρῆται τῇ ὄψει νυκτός τε καὶ ἡμέρας ὁμοίως. καὶ ταύτην ἔχειν δοκεῖ παρ' Αἰγυπτίοις τὴν δύναμιν ὁ Ἄνουβις, οἵαν F ἡ Ἑκάτη παρ' Ἕλλησι, χθόνιος ὢν ὁμοῦ καὶ ὀλύμπιος. ἐνίοις δὲ δοκεῖ Κρόνος ὁ Ἄνουβις εἶναι· διὸ πάντα τίκτων ἐξ ἑαυτοῦ καὶ κύων ἐν ἑαυτῷ τὴν τοῦ κυνὸς ἐπίκλησιν ἔσχεν. ἔστι δ' οὖν τοῖς σεβομένοις τὸν Ἄνουβιν ἀπόρρητόν τι· καὶ πάλαι μὲν τὰς μεγίστας ἐν Αἰγύπτῳ τιμὰς ὁ κύων ἔσχεν· ἐπεὶ δὲ Καμβύσου τὸν Ἆπιν ἀνελόντος καὶ ῥίψαντος οὐδὲν προσῆλθεν οὐδ' ἐγεύσατο τοῦ σώματος ἀλλ' ἢ μόνος ὁ κύων, ἀπώλεσε τὸ πρῶτος εἶναι καὶ μάλιστα τιμᾶσθαι τῶν ἑτέρων ζῴων. εἰσὶ δέ τινες οἵ τὸ σκίασμα τῆς γῆς, εἰς ὃ τὴν σελήνην ὀλισθάνουσαν ἐκλείπειν νομίζουσι, Τυφῶνα καλοῦντες.

45. Ὅθεν οὐκ ἀπέοικεν εἰπεῖν, ὡς ἰδίᾳ μὲν οὐκ 369 ὀρθῶς ἕκαστος, ὁμοῦ δὲ πάντες ὀρθῶς λέγουσιν. οὐ γὰρ αὐχμὸν οὐδ' ἄνεμον οὐδὲ θάλατταν οὐδὲ σκότος, ἀλλὰ πᾶν ὅσον ἡ φύσις βλαβερὸν καὶ φθαρτικὸν ἔχει, μόριον τοῦ Τυφῶνός ἐστιν. οὔτε γὰρ ἐν

4 τὴν γῆν] γῆν? 5 τούτων Bentleius: τούτῳ 13 ἔστι R: ἔτι δ' οὖν] γοῦν W 14 πάλαι] γὰρ πάλαι? 26 ἐστιν] εἶναι Baxterus. ἔστιν εἰπεῖν?

ἀψύχοις σώμασι τὰς τοῦ παντὸς ἀρχὰς θετέον, ὡς Δημόκριτος καὶ Ἐπίκουρος, οὔτ᾽ ἀποίου δημιουργὸν ὕλης ἕνα λόγον καὶ μίαν πρόνοιαν, ὡς οἱ Στωικοί, περιγιγνομένην ἁπάντων καὶ κρατοῦσαν. ἀδύνατον γὰρ ἢ φλαῦρον ὁτιοῦν, ὅπου πάντων, ἢ χρηστόν,
B ὅπου μηδενὸς ὁ θεὸς αἴτιος, ἐγγενέσθαι. ‘παλίντονος’ γὰρ ‘ἁρμονίη κόσμου, ὅκωσπερ λύρης καὶ τόξου’ καθ᾽ Ἡράκλειτον· καὶ κατ᾽ Εὐριπίδην

‘οὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά,
ἀλλ᾽ ἔστι τις σύγκρασις ὥστ᾽ ἔχειν καλῶς.’

διὸ καὶ παμπάλαιος αὕτη κάτεισιν ἐκ θεολόγων καὶ νομοθετῶν εἴς τε ποιητὰς καὶ φιλοσόφους δόξα, τὴν ἀρχὴν ἀδέσποτον ἔχουσα, τὴν δὲ πίστιν ἰσχυρὰν καὶ δυσεξάλειπτον, οὐκ ἐν λόγοις μόνον οὐδ᾽ ἐν φήμαις, ἀλλ᾽ ἔν τε τελεταῖς ἔν τε θυσίαις καὶ βαρβάροις καὶ Ἕλλησι πολλαχοῦ περιφερομένη, ὡς οὔτ᾽ ἄνουν
C καὶ ἄλογον καὶ ἀκυβέρνητον αἰωρεῖται τῷ αὐτομάτῳ τὸ πᾶν, οὔθ᾽ εἷς ἐστιν ὁ κρατῶν καὶ κατευθύνων ὥσπερ οἴαξιν ἤ τισι πειθηνίοις χαλινοῖς λόγος, ἀλλὰ πολλὰ καὶ μεμιγμένα κακοῖς καὶ ἀγαθοῖς· μᾶλλον δὲ μηδὲν ὡς ἁπλῶς εἰπεῖν ἄκρατον ἐνταῦθα τῆς φύσεως φερούσης, οὐ δυεῖν πίθων εἷς ταμίας ὥσπερ νάματα τὰ πράγματα καπηλικῶς διανέμων ἀνακεράννυσιν ἡμῖν· ἀλλ᾽ ἀπὸ δυεῖν ἐναντίων ἀρχῶν καὶ δυεῖν ἀντιπάλων δυνάμεων τῆς μὲν ἐπὶ τὰ δεξιὰ καὶ κατ᾽
D εὐθεῖαν ὑφηγουμένης, τῆς δ᾽ ἔμπαλιν ἀναστρεφούσης

2 ἀποίου M: ἄποιον 7 ὅκωσπερ W: ὅπωσπερ 8 Ἡράκλειτον] Mullach. 1 p. 319 Εὐριπίδην] Nauck. p. 294 16 περιφερομένη Holwerda: περιφερομένην

καὶ ἀνακλώσης, ὅ τε βίος μικτὸς ὅ τε κόσμος, εἰ καὶ μὴ πᾶς, ἀλλ' ὁ περίγειος οὗτος καὶ μετὰ σελήνην ἀνώμαλος καὶ ποικίλος γέγονε καὶ μεταβολὰς πάσας δεχόμενος. εἰ γὰρ οὐδὲν ἀναιτίως πέφυκε γίγνεσθαι, αἰτίαν δὲ κακοῦ τἀγαθὸν οὐκ ἂν παράσχοι, δεῖ γένεσιν ἰδίαν καὶ ἀρχὴν ὥσπερ ἀγαθοῦ καὶ κακοῦ τὴν φύσιν ἔχειν.

46. *Καὶ δοκεῖ τοῦτο τοῖς πλείστοις καὶ σοφωτάτοις. νομίζουσι γὰρ οἱ μὲν θεοὺς εἶναι δύο καθάπερ ἀντιτέχνους, τὸν μὲν ἀγαθῶν, τὸν δὲ φαύλων δημιουργόν. οἱ δὲ τὸν μὲν ἀμείνονα θεόν, τὸν δ' ἕτερον δαίμονα καλοῦσιν· ὥσπερ Ζωροάστρης ὁ μάγος,* E *ὃν πεντακισχιλίοις ἔτεσι τῶν Τρωικῶν γεγονέναι πρεσβύτερον ἱστοροῦσιν. οὗτος οὖν ἐκάλει τὸν μὲν Ὡρομάζην, τὸν δ' Ἀρειμάνιον· καὶ προσαπεφαίνετο τὸν μὲν ἐοικέναι φωτὶ μάλιστα τῶν αἰσθητῶν, τὸν δ' ἔμπαλιν σκότῳ καὶ ἀγνοίᾳ, μέσον δ' ἀμφοῖν τὸν Μίθρην εἶναι· διὸ καὶ Μίθρην Πέρσαι τὸν Μεσίτην ὀνομάζουσιν. ἐδίδαξε δὲ τῷ μὲν εὐκταῖα θύειν καὶ χαριστήρια, τῷ δ' ἀποτρόπαια καὶ σκυθρωπά. πόαν γάρ τινα κόπτοντες Μῶλυ καλουμένην ἐν ὅλμῳ, τὸν Ἅιδην ἀνακαλοῦνται καὶ τὸν σκότον· εἶτα* F *μίξαντες αἵματι λύκου σφαγέντος εἰς τόπον ἀνήλιον ἐκφέρουσι καὶ ῥίπτουσι. καὶ γὰρ τῶν φυτῶν νομίζουσι τὰ μὲν τοῦ ἀγαθοῦ θεοῦ, τὰ δὲ τοῦ κακοῦ δαίμονος εἶναι· καὶ τῶν ζῴων ὥσπερ κύνας καὶ*

4 *γίγνεσθαι* *: *γενέσθαι* 11 *μὲν* Marklandus: *μὲν γὰρ* 12 *Ζωροάστρης* Vit. Num. c 4: *ζωρόαστρις* 19 *δὲ* M

ὄρνιθας καὶ χερσαίους ἐχίνους τοῦ ἀγαθοῦ, τοῦ δὲ φαύλου τοὺς ἐνύδρους μῦς εἶναι· διὸ καὶ τὸν κτείναντα πλείστους εὐδαιμονίζουσιν.

47. *Οὐ μὴν ἀλλὰ κἀκεῖνοι πολλὰ μυθώδη περὶ τῶν θεῶν λέγουσιν, οἷα καὶ ταῦτ' ἐστίν. ὁ μὲν Ὡρομάζης ἐκ τοῦ καθαρωτάτου φάους, ὁ δ' Ἀρει-*
370 *μάνιος ἐκ τοῦ ζόφου γεγονώς, πολεμοῦσιν ἀλλήλοις· καὶ ὁ μὲν ἓξ θεοὺς ἐποίησε (τὸν μὲν πρῶτον εὐνοίας, τὸν δὲ δεύτερον ἀληθείας, τὸν δὲ τρίτον εὐνομίας· τῶν δὲ λοιπῶν τὸν μὲν σοφίας, τὸν δὲ πλούτου, τὸν δὲ τῶν ἐπὶ τοῖς καλοῖς ἡδέων δημιουργόν)· ὁ δὲ τούτοις ὥσπερ ἀντιτέχνους ἴσους τὸν ἀριθμόν. εἶθ' ὁ μὲν Ὡρομάζης τρὶς ἑαυτὸν αὐξήσας ἀπέστησε τοῦ ἡλίου τοσοῦτον, ὅσον ὁ ἥλιος τῆς γῆς ἀφέστηκε, καὶ τὸν οὐρανὸν ἄστροις ἐκόσμησεν· ἕνα δ' ἀστέρα πρὸ πάντων οἷον φύλακα καὶ προόπτην ἐγκατέστησε, τὸν σείριον. ἄλλους δὲ ποιήσας τέσσαρας καὶ εἴκοσι*
B *θεοὺς εἰς ᾠὸν ἔθηκεν. οἱ δ' ἀπὸ τοῦ Ἀρειμανίου, γενόμενοι καὶ αὐτοὶ τοσοῦτοι, διατρήσαντες τὸ ᾠὸν γαν** ὅθεν ἀναμέμικται τὰ κακὰ τοῖς ἀγαθοῖς. ἔπεισι δὲ χρόνος εἱμαρμένος, ἐν ᾧ τὸν Ἀρειμάνιον λοιμὸν ἐπάγοντα καὶ λιμὸν ὑπὸ τούτων ἀνάγκη φθαρῆναι παντάπασι καὶ ἀφανισθῆναι, τῆς δὲ γῆς ἐπιπέδου καὶ ὁμαλῆς γενομένης, ἕνα βίον καὶ μίαν πολιτείαν ἀνθρώπων μακαρίων καὶ ὁμογλώσσων ἁπάντων γενέσθαι. Θεόπομπος δέ φησι κατὰ τοὺς μάγους ἀνὰ*

2 *μῦς* W ex p. 670 d 4 *ἀλλὰ* R 20 *γαν** ὅθεν* Duebnerus: *γανωθὲν*. Fort. supplendum *τὸ ᾠὸν ἄνωθεν* (vel *ἐπάνωθεν*) *ἐξήγαγον ἐκείνους· ὅθεν κἔ*

μέρος τρισχίλια ἔτη τὸν μὲν κρατεῖν τὸν δὲ κρατεῖσθαι τῶν θεῶν, ἄλλα δὲ τρισχίλια μάχεσθαι καὶ πολεμεῖν καὶ ἀναλύειν τὰ τοῦ ἑτέρου τὸν ἕτερον· τέλος δ' ἀπολείπεσθαι τὸν Ἅιδην, καὶ τοὺς μὲν ἀν- C θρώπους εὐδαίμονας ἔσεσθαι, μήτε τροφῆς δεομένους μήτε σκιὰν ποιοῦντας· τὸν δὲ ταῦτα μηχανησάμενον θεὸν ἠρεμεῖν καὶ ἀναπαύεσθαι χρόνον, ἄλλως μὲν οὐ πολὺν ὡς θεῷ, ὥσπερ δ' ἀνθρώπῳ κοιμωμένῳ μέτριον. ἡ μὲν οὖν μάγων μυθολογία τοιοῦτον ἔχει τρόπον.

48. Χαλδαῖοι δὲ τῶν πλανήτων οὓς θεοὺς γενεθλίους καλοῦσι, δύο μὲν ἀγαθουργούς, δύο δὲ κακοποιούς, μέσους δὲ τοὺς τρεῖς ἀποφαίνουσι καὶ κοινούς. τὰ δ' Ἑλλήνων πᾶσί που δῆλα, τὴν μὲν ἀγαθὴν Διὸς Ὀλυμπίου μερίδα, τὴν δ' ἀποτρόπαιον Ἅιδου ποιουμένων. ἐκ δ' Ἀφροδίτης καὶ Ἄρεος Ἁρμονίαν γεγονέναι μυθολογοῦνται· ὧν ὁ μὲν ἀπηνὴς καὶ φιλό- D νεικος, ἡ δὲ μειλίχιος καὶ γενέθλιος. σκόπει δὲ τοὺς φιλοσόφους τούτοις συμφερομένους. Ἡράκλειτος μὲν γὰρ ἄντικρυς 'πόλεμον' ὀνομάζει 'πατέρα καὶ βασιλέα καὶ κύριον πάντων', καὶ τὸν μὲν Ὅμηρον εὐχόμενον 'ἔκ τε θεῶν ἔριν ἔκ τ' ἀνθρώπων ἀπολέσθαι' 'λανθάνειν' φησί 'τῇ πάντων γενέσει καταρώμενον, ἐκ μάχης καὶ ἀντιπαθείας τὴν γένεσιν ἐχόντων, ἥλιον δὲ μὴ ὑπερβήσεσθαι τοὺς προσήκοντας ὅρους· εἰ δὲ

4 ἀπολεῖσθαι Marklandus Ἅιδην] Ὡρομάζην? 7 ἄλλως R: καλῶς 8 ὡς R: τῷ δ' R 10 πλανήτων *: πλανητῶν οὓς W: τοὺς γενεθλίους idem: γενέσθαι οὓς 14 ἀποτρόπαιον Marklandus: ἀποτροπαίου 15 Ἄρεος *: ἄρεως 16 μυθολογούντων? 18 Ἡράκλειτος] Mullach. 1 p. 319 20 Ὅμηρον] Σ 107

μή, Λύττας μιν Δίκης ἐπικούρους ἐξευρήσειν.' Ἐμ-
E πεδοκλῆς δὲ τὴν μὲν ἀγαθουργὸν ἀρχήν 'φιλότητα
καὶ φιλίαν' πολλάκις δ' 'ἁρμονίαν' καλεῖ 'θεμερῶπιν',
τὴν δὲ χείρονα 'νεῖκος οὐλόμενον' καὶ 'δῆριν αἱμα-
τόεσσαν'. οἱ μὲν Πυθαγορικοὶ διὰ πλειόνων ὀνο-
μάτων κατηγοροῦσι τοῦ μὲν ἀγαθοῦ τὸ ἓν τὸ πεπε-
ρασμένον τὸ μένον τὸ εὐθὺ τὸ περισσὸν τὸ τετρά-
γωνον τὸ ἴσον τὸ δεξιὸν τὸ λαμπρόν· τοῦ δὲ κακοῦ
τὴν δυάδα τὸ ἄπειρον τὸ φερόμενον τὸ καμπύλον
τὸ ἄρτιον τὸ ἑτερόμηκες τὸ ἄνισον τὸ ἀριστερὸν τὸ
σκοτεινόν, ὡς τοιαύτας ἀρχὰς γενέσεως ὑποκειμένας.
Ἀναξαγόρας δὲ νοῦν καὶ ἄπειρον. Ἀριστοτέλης δὲ
F τὸ μὲν εἶδος τὸ δὲ στέρησιν. Πλάτων δὲ πολλαχοῦ
μὲν οἷον ἐπηλυγαζόμενος καὶ παρακαλυπτόμενος, τῶν
ἐναντίων ἀρχῶν τὴν μὲν ταυτὸν ὀνομάζει, τὴν δὲ
θάτερον. ἐν δὲ τοῖς Νόμοις ἤδη πρεσβύτερος ὢν
οὐ δι' αἰνιγμῶν οὐδὲ συμβολικῶς, ἀλλὰ κυρίοις
ὀνόμασιν οὐ μιᾷ ψυχῇ φησι κινεῖσθαι τὸν κόσμον,
ἀλλὰ πλείοσιν ἴσως, δυεῖν δὲ πάντως οὐκ ἐλάττοσιν·
ὧν τὴν μὲν ἀγαθουργὸν εἶναι, τὴν δ' ἐναντίαν
ταύτῃ καὶ τῶν ἐναντίων δημιουργόν· ἀπολείπει δὲ
καὶ τρίτην τινὰ μεταξὺ φύσιν οὐκ ἄψυχον οὐδ'
ἄλογον οὐδ' ἀκίνητον ἐξ αὑτῆς, ὥσπερ ἔνιοι νομί-

1 *Λύττας* * (*Λύσσας* Buttmannus): *γλώττας* *Ἐμπεδοκλῆς*] Mullach. 1 p. 1. p. 3 3 *καλεῖ θεμερῶπιν*] Bentleius: *καλεῖσθαι μέροπι* 5 *μὲν*] *δὲ* M *Πυθαγορικοὶ*] cf. Aristot. Metaphys. 1, 5 8 *τὸ ἴσον* Baxterus 11 *ὡς τοιαύτας* *: *ὥστε ταύτας* 12 *Ἀριστοτέλης*] Metaphys. 1, 7, 8 13 *Πλάτων*] Tim. 35 a 14 *ἐπηλυγαζόμενος* Baxterus: *ἐπιλυγιζόμενος* 16 *ἐν δὲ τοῖς Νόμοις*] p. 896 d sqq. 20 *ὧν* Squirius: *ὅθεν*

ζουσιν, ἀλλ' ἀνακειμένην ἀμφοῖν ἐκείναις, ἐφιεμέ- 371
νην δὲ τῆς ἀμείνονος ἀεὶ καὶ ποθοῦσαν καὶ διώκουσαν, ὡς τὰ ἐπιόντα δηλώσει τοῦ λόγου, τὴν Αἰγυπτίων θεολογίαν μάλιστα ταύτῃ τῇ φιλοσοφίᾳ συνοικειοῦντος.

49. Μεμιγμένη γὰρ ἡ τοῦδε τοῦ κόσμου γένεσις καὶ σύστασις ἐξ ἐναντίων, οὐ μὴν ἰσοσθενῶν, δυνάμεων, ἀλλὰ τῆς βελτίονος τὸ κράτος ἐστίν· ἀπολέσθαι δὲ τὴν φαύλην παντάπασιν ἀδύνατον, πολλὴν μὲν ἐμπεφυκυῖαν τῷ σώματι, πολλὴν δὲ τῇ ψυχῇ τοῦ παντὸς καὶ πρὸς τὴν βελτίονα ἀεὶ δυσμαχοῦσαν. ἐν μὲν οὖν τῇ ψυχῇ νοῦς καὶ λόγος ὁ τῶν ἀρίστων πάντων ἡγεμὼν καὶ κύριος Ὄσιρίς ἐστιν· ἐν δὲ γῇ
καὶ πνεύματι καὶ ὕδατι καὶ οὐρανῷ καὶ ἄστροις τὸ B
τεταγμένον καὶ καθεστηκὸς καὶ ὑγιαῖνον, ὥραις καὶ κράσεσι καὶ περιόδοις, Ὀσίριδος ἀπορροὴ καὶ εἰκὼν ἐμφαινομένη· Τυφὼν δὲ τῆς ψυχῆς τὸ παθητικὸν καὶ τιτανικὸν καὶ ἄλογον καὶ ἔμπληκτον τοῦ δὲ σωματικοῦ τὸ ἐπίκηρον καὶ νοσῶδες καὶ ταρακτικὸν ἀωρίαις καὶ δυσκρασίαις, καὶ κρύψεσιν ἡλίου καὶ ἀφανισμοῖς σελήνης, οἷον ἐκδρομαὶ καὶ ἀφανισμοὶ Τυφῶνος· καὶ τοὔνομα κατηγορεῖ τὸ Σήθ, ᾧ τὸν Τυφῶνα καλοῦσι· φράζει μὲν γὰρ τὸ καταδυναστεῦον καὶ καταβιαζόμενον, φράζει δὲ τὴν πολλάκις ἀναστροφὴν καὶ πάλιν ὑπερπήδησιν. Βέβωνα δὲ τινὲς

11 καὶ — ἀεὶ W: ἀεὶ — καὶ 19 ἐπίκηρον X: ἐπίκλητον 20 ἀωρίαις Baxterus: ἀθρίαις 21 ἀφανισμοὶ] ἀφηνιασμοὶ Marklandus. Malim ἐμφανισμοὶ 22 ᾧ X: αὖ 23 μὲν γὰρ Marklandus: μὲν 24 τὴν idem: τὸ 25 Βέβωνα *: βεβῶνα

C μὲν ἕνα τῶν τοῦ Τυφῶνος ἑταίρων γεγονέναι λέγουσιν, Μανεθὼς δ' αὐτὸν τὸν Τυφῶνα καὶ Βέβωνα καλεῖσθαι· σημαίνει δὲ τοὔνομα κάθεξιν ἢ κώλυσιν, ὡς τοῖς πράγμασιν ὁδῷ βαδίζουσι καὶ πρὸς ὃ χρὴ φερομένοις ἐνισταμένης τῆς τοῦ Τυφῶνος δυνάμεως.

50. Διὸ καὶ τῶν μὲν ἡμέρων ζῴων ἀπονέμουσιν αὐτῷ τὸ ἀμαθέστατον, ὄνον· τῶν δ' ἀγρίων τὰ θηριωδέστατα, κροκόδειλον καὶ τὸν ποτάμιον ἵππον. περὶ μὲν οὖν τοῦ ὄνου προδεδηλώκαμεν. ἐν Ἑρμοῦ πόλει δὲ Τυφῶνος ἄγαλμα δεικνύουσιν ἵππον ποτάμιον· ἐφ' οὗ βέβηκεν ἱέραξ ὄφει μαχόμενος, τῷ μὲν ἵππῳ
D τὸν Τυφῶνα δεικνύντες, τῷ δ' ἱέρακι δύναμιν καὶ ἀρχήν, ἣν βίᾳ κτώμενος ὁ Τυφὼν πολλάκις οὐκ ἀνίεται ταραττόμενος ὑπὸ τῆς κακίας καὶ ταράττων. διὸ καὶ θύοντες ἑβδόμῃ τοῦ Τυβὶ μηνός, ἣν καλοῦσιν ἄφιξιν Ἴσιδος ἐκ Φοινίκης, ἐπιπλάττουσι τοῖς ποπάνοις ἵππον ποτάμιον δεδεμένον. ἐν δ' Ἀπόλλωνος πόλει νενομισμένον ἐστὶ κροκοδείλου φαγεῖν πάντως ἕκαστον· ἡμέρᾳ δὲ μιᾷ θηρεύσαντες ὅσους ἂν δύνωνται καὶ κτείναντες ἀπαντικρὺ τοῦ ἱεροῦ προβάλλουσι, καὶ λέγουσιν ὡς ὁ Τυφὼν τὸν Ὧρον ἀπέδρα κροκόδειλος γενόμενος, πάντα καὶ ζῷα καὶ
E φυτὰ καὶ πάθη τὰ φαῦλα καὶ βλαβερὰ Τυφῶνος ἔργα καὶ μέρη καὶ κινήματα ποιούμενοι.

51. Τὸν δ' Ὄσιριν αὖ πάλιν ὀφθαλμῷ καὶ σκήπτρῳ γράφουσιν, ὧν τὸ μὲν τὴν πρόνοιαν ἐμφαίνειν,

2 Μανεθὼς Marklandus: μάνεθος δ' αὐτὸν τὸν idem: αὖ τὸν 9 μὲν οὖν idem: μὲν Ἑρμοῦ πόλει *: ἑρμουπόλει 14 ἀνίεται Marklandus: ἀνιᾶται

τὸ δὲ τὴν δύναμιν, ὡς Ὅμηρος τὸν ἄρχοντα καὶ
βασιλεύοντα πάντων 'Ζῆν' ὕπατον καὶ μήστωρα'
καλῶν, ἔοικε τῷ μὲν ὑπάτῳ τὸ κράτος αὐτοῦ, τῷ
δὲ μήστωρι τὴν εὐβουλίαν καὶ τὴν φρόνησιν σημαί-
νειν. γράφουσι δὲ καὶ ἱέρακι τὸν θεὸν τοῦτον πολ-
λάκις· εὐτονίᾳ γὰρ ὄψεως ὑπερβάλλει καὶ πτήσεως
ὀξύτητι, καὶ διοικεῖν αὑτὸν ἐλαχίστῃ τροφῇ πέφυκε.
λέγεται δὲ καὶ νεκρῶν ἀτάφων σώμασι γῆν ὑπερ- F
πετόμενος ἐπιβάλλειν· ὅταν δὲ πιόμενος ἐπὶ τὸν
ποταμὸν καταίρῃ, τὸ πτερὸν ἵστησιν ὀρθόν· πιὼν δὲ
κλίνει τοῦτο πάλιν· ᾧ δῆλός ἐστι σεσωσμένος καὶ
διαπεφευγὼς τὸν κροκόδειλον· ἂν γὰρ ἁρπασθῇ,
μένει τὸ πτερὸν ὥσπερ ἔστη πεπηγός. πανταχοῦ δὲ
καὶ ἀνθρωπόμορφον Ὀσίριδος ἄγαλμα δεικνύουσιν,
ἐξορθιάζον τῷ αἰδοίῳ διὰ τὸ γόνιμον καὶ τὸ τρό-
φιμον. ἀμπεχόνῃ δὲ φλογοειδεῖ στέλλουσιν αὐτοῦ
τὰς εἰκόνας, ἥλιον σῶμα τῆς τἀγαθοῦ δυνάμεως 372
ὡς ὁρατὸν οὐσίας νοητῆς ἡγούμενοι. διὸ καὶ κατα-
φρονεῖν ἄξιόν ἐστι τῶν τὴν ἡλίου σφαῖραν Τυφῶνι
προσνεμόντων, ᾧ λαμπρὸν οὐδὲν οὐδὲ σωτήριον
οὐδὲ τάξις οὐδὲ γένεσις οὐδὲ κίνησις μέτρον ἔχουσα
καὶ λόγον, ἀλλὰ τἀναντία προσήκει· καὶ αὐχμόν, ὃς
φθείρει πολλὰ τῶν ζῴων καὶ βλαστανόντων, οὐχ
ἡλίου θετέον ἔργον, ἀλλὰ τῶν ἐν γῇ καὶ ἀέρι μὴ
καθ' ὥραν κεραννυμένων πνευμάτων καὶ ὑδάτων.

1 Ὅμηρος] Θ 22 4 δὲ R 7 ἐλαχίστῃ *: ἐλάχιστα τῇ 8 σώμασι X: ὄμμασι 9 πιόμενος *: πιούμενος 16 ἀμπεχόνῃ — στέλλουσιν Baxterus: ἀμπεχόνη δὲ φλογοειδὴς στέλλουσα 17 σῶμα] ὄμμα Marklandus 18 ὡς] φῶς idem. Malim καὶ φῶς. cf. p 372 b 22 ὃς Baxterus: οἷς

ὅταν ἡ τῆς ἀτάκτου καὶ ἀορίστου δυνάμεως ἀρχὴ πλημμελήσασα κατασβέσῃ τὰς ἀναθυμιάσεις.

B 52. Ἐν δὲ τοῖς ἱεροῖς ὕμνοις τοῦ Ὀσίριδος ἀνακαλοῦνται τὸν ἐν ταῖς ἀγκάλαις κρυπτόμενον τοῦ ἡλίου, καὶ τῇ τριακάδι τοῦ Ἐπιφὶ μηνὸς ἑορτάζουσιν ὀφθαλμῶν Ὥρου γενέθλιον, ὅτε σελήνη καὶ ἥλιος ἐπὶ μιᾶς εὐθείας γεγόνασιν, ὡς οὐ μόνον τὴν σελήνην ἀλλὰ καὶ τὸν ἥλιον ὄμμα τοῦ Ὥρου καὶ φῶς ἡγούμενοι. τῇ δὲ ὀγδόῃ φθίνοντος τοῦ Φαωφὶ βακτηρίας ἡλίου γενέθλιον ἄγουσι μετὰ φθινοπωρινὴν ἰσημερίαν, ἐμφαίνοντες οἷον ὑπερείσματος δεῖσθαι καὶ ῥώσεως, τῷ τε θερμῷ γιγνόμενον καὶ τῷ φωτὶ ἐν-
C δεᾶ, κλινόμενον καὶ πλάγιον ἀφ' ἡμῶν φερόμενον. ἔτι δὲ τὴν βοῦν ὑπὸ τροπὰς χειμερινὰς περὶ τὸν ναὸν περιφέρουσι· καὶ καλεῖται ζήτησις Ὀσίριδος ἡ περιδρομή, τοῦ ἡλίου τὸ ὕδωρ χειμῶνος τῆς θεοῦ ποθούσης· τοσαυτάκις δὲ περίεισιν, ὅτι τὴν ἀπὸ τροπῶν χειμερινῶν ἐπὶ τροπὰς θερινὰς πάροδον ἑβδόμῳ μηνὶ συμπεραίνει. λέγεται δὲ καὶ θῦσαι τῷ ἡλίῳ τετράδι μηνὸς ἱσταμένου πάντων πρῶτος Ὧρος ὁ Ἴσιδος, ὡς ἐν τοῖς ἐπιγραφομένοις Γενεθλίοις
D Ὥρου γέγραπται. καὶ μὴν ἡμέρας ἑκάστης τριχῶς ἐπιθυμιῶσι τῷ ἡλίῳ, ῥητίνην μὲν ὑπὸ τὰς ἀνατολάς, σμύρναν δὲ μεσουρανοῦντι, τὸ δὲ καλούμενον κῦφι περὶ δυσμάς· ὧν ἕκαστον ὃν ἔχει λόγον, ὕστερον ἀφηγήσομαι. τὸν δ' ἥλιον πᾶσι τούτοις προστρέπεσθαι καὶ θεραπεύειν οἴονται. καὶ τί δεῖ πολλὰ

10 γενέθλιον Bentleius: γενέσθαι ὂν   18 πάροδον] περίοδον Marklandus   26 προστρέπεσθαι Halmius: προτρέπεσθαι

τοιαῦτα συνάγειν; εἰσὶ γὰρ οἱ τὸν Ὄσιριν ἄντικρυς ἥλιον εἶναι καὶ ὀνομάζεσθαι σείριον ὑφ' Ἑλλήνων λέγοντες, εἰ καὶ παρ' Αἰγυπτίοις ἡ πρόθεσις τοῦ ἄρθρου τοὔνομα πεποίηκεν ἀμφιγνοεῖσθαι, τὴν δ' Ἶσιν οὐχ ἑτέραν τῆς σελήνης ἀποφαίνοντες· ὅθεν καὶ τῶν ἀγαλμάτων αὐτῆς τὰ μὲν κερασφόρα τοῦ μηνοειδοῦς γεγονέναι μιμήματα, τοῖς δὲ μελανοστόλοις E ἐμφαίνεσθαι τὰς κρύψεις καὶ τοὺς περισκιασμοὺς ἐν οἷς διώκει ποθοῦσα τὸν ἥλιον. διὸ καὶ πρὸς τὰ ἐρωτικὰ τὴν σελήνην ἐπικαλοῦνται, καὶ τὴν Ἶσιν Εὔδοξός φησι βραβεύειν τὰ ἐρωτικά. καὶ τούτοις μὲν ἀμωσγέπως τοῦ πιθανοῦ μέτεστι, τῶν δὲ Τυφῶνα ποιούντων τὸν ἥλιον οὐδ' ἀκούειν ἄξιον. ἀλλ' ἡμεῖς αὖθις τὸν οἰκεῖον ἀναλάβωμεν λόγον.

53. Ἡ γὰρ Ἶσίς ἐστι μὲν τὸ τῆς φύσεως θῆλυ, καὶ δεκτικὸν ἁπάσης γενέσεως, καθὸ τιθήνη καὶ πανδεχὴς ὑπὸ τοῦ Πλάτωνος, ὑπὸ δὲ τῶν πολλῶν μυριώνυμος κέκληται, διὰ τὸ πάσας ὑπὸ τοῦ λόγου F τρεπομένη μορφὰς δέχεσθαι καὶ ἰδέας. ἔχει δὲ σύμφυτον ἔρωτα τοῦ πρώτου καὶ κυριωτάτου πάντων, ὃ τἀγαθῷ ταὐτόν ἐστι κἀκεῖνο ποθεῖ καὶ διώκει· τὴν δ' ἐκ τοῦ κακοῦ φεύγει καὶ διωθεῖται μοῖραν, ἀμφοῖν μὲν οὖσα χώρα καὶ ὕλη, ῥέπουσα δ' ἀεὶ πρὸς τὸ βέλτιον ἐξ ἑαυτῆς καὶ παρέχουσα γεννᾶν ἐκείνῳ καὶ κατασπείρειν εἰς ἑαυτὴν ἀπορροὰς καὶ

5 ὅθεν *: ἐν 8 ἐμφαίνεσθαι Marklandus: ἐμφαίνουσι 12 ἀμωσγέπως idem: ἄλλως γέ πως 22 μοῖραν] πεῖραν Madvigius 25 ἐκείνῳ Baxterus: ἐκεῖνο ἀπορροὰς *: ἀπορροίας

ὁμοιότητας, αἷς χαίρει καὶ γέγηθε κυισκομένη καὶ ὑποπιμπλαμένη τῶν γενέσεων. εἰκὼν γάρ ἐστιν οὐσίας ἐν ὕλῃ ἡ γένεσις καὶ μίμημα τοῦ ὄντος τὸ γιγνόμενον.

373 54. Ὅθεν οὐκ ἀπὸ τρόπου μυθολογοῦσι τὴν Ὀσίριδος ψυχὴν ἀίδιον εἶναι καὶ ἄφθαρτον, τὸ δὲ σῶμα πολλάκις διασπᾶν καὶ ἀφανίζειν τὸν Τυφῶνα· τὴν δ᾽ Ἶσιν πλανωμένην καὶ ζητεῖν καὶ συναρμόττειν πάλιν. τὸ γὰρ ὂν καὶ νοητὸν καὶ ἀγαθὸν φθορᾶς καὶ μεταβολῆς κρεῖττόν ἐστιν· ἃς δ᾽ ἀπ᾽ αὐτοῦ τὸ αἰσθητὸν καὶ σωματικὸν εἰκόνας ἐκμάττεται, καὶ λόγους καὶ εἴδη καὶ ὁμοιότητας ἀναλαμβάνει, καθάπερ ἐν κηρῷ σφραγῖδες οὐκ ἀεὶ διαμένουσιν, ἀλλὰ καταλαμβάνει τὸ ἄτακτον αὐτὰς καὶ ταραχῶδες ἐν-
B ταῦθα τῆς ἄνω χώρας ἀπεληλαμένον καὶ μαχόμενον πρὸς τὸν Ὧρον, ὃν ἡ Ἶσις εἰκόνα τοῦ νοητοῦ κόσμου αἰσθητὸν ὄντα γεννᾷ. διὸ καὶ δίκην φεύγειν λέγεται νοθείας ὑπὸ Τυφῶνος, ὡς οὐκ ὢν καθαρὸς οὐδ᾽ εἰλικρινὴς οἷος ὁ πατήρ, λόγος αὐτὸς καθ᾽ ἑαυτὸν ἀμιγὴς καὶ ἀπαθής, ἀλλὰ νενοθευμένος τῇ ὕλῃ διὰ τὸ σωματικόν. περιγίγνεται δὲ καὶ νικᾷ, τοῦ Ἑρμοῦ, τουτέστι τοῦ λόγου, μαρτυροῦντος καὶ δεικνύοντος, ὅτι πρὸς τὸ νοητὸν ἡ φύσις μετασχηματιζομένη τὸν κόσμον ἀποδίδωσιν. ἡ μὲν γάρ, ἔτι τῶν θεῶν ἐν γαστρὶ τῆς Ῥέας ὄντων, ἐξ Ἴσιδος καὶ Ὀσίριδος γενομένη γένεσις Ἀπόλλωνος αἰνίττεται τὸ

3 ἡ R 8 καὶ ζητεῖν] ἀναζητεῖν Marklandus 10 ἃς W: τινὰς 17 αἰσθητὸν] σωματικὸν καὶ αἰσθητόν? 21 περιγίνεται δὲ καὶ νικᾷ X: περιγίνονται δὲ καὶ νῖκαι

πρὶν ἐκφανῆ γενέσθαι τόνδε τὸν κόσμον καὶ συν- C
τελεσθῆναι τῷ λόγῳ τὴν ὕλην, τὴν φύσιν ἐλεγχο-
μένην ἐφ᾽ αὑτῆς ἀτελῆ τὴν πρώτην γένεσιν ἐξενεγ-
κεῖν. διὸ καί φασι τὸν θεὸν ἐκεῖνον ἀνάπηρον ὑπὸ
σκότῳ γενέσθαι, καὶ πρεσβύτερον Ὧρον καλοῦσιν·
οὐ γὰρ ἦν κόσμος, ἀλλ᾽ εἴδωλόν τι καὶ κόσμου
φάντασμα μέλλοντος.

55. Ὁ δ᾽ Ὧρος οὗτος αὐτός ἐστιν ὡρισμένος
καὶ τέλειος, οὐκ ἀνῃρηκὼς τὸν Τυφῶνα παντάπασιν,
ἀλλὰ τὸ δραστήριον καὶ ἰσχυρὸν αὐτοῦ παρῃρημένος.
ὅθεν ἐν Κοπτῷ τὸ ἄγαλμα τοῦ Ὥρου λέγουσιν ἐν
τῇ ἑτέρᾳ χειρὶ Τυφῶνος αἰδοῖα κατέχειν· καὶ τὸν
Ἑρμῆν μυθολογοῦσιν ἐξελόντα τοῦ Τυφῶνος τὰ
νεῦρα χορδαῖς χρήσασθαι, διδάσκοντες ὡς τὸ πᾶν D
ὁ λόγος διαρμοσάμενος σύμφωνον ἐξ ἀσυμφώνων
μερῶν ἐποίησε, καὶ τὴν φθαρτικὴν οὐκ ἀπώλεσεν
ἀλλ᾽ ἀνεπήρωσε δύναμιν. ὅθεν ἐκεῖ μὲν ἀσθενὴς
καὶ ἀδρανής, ἐνταῦθα δὲ φυρομένη καὶ προσπλεκο-
μένη τοῖς παθητικοῖς καὶ μεταβολικοῖς μέρεσι, σει-
σμῶν μὲν ἐν γῇ καὶ τρόμων, αὐχμῶν δ᾽ ἐν ἀέρι
καὶ πνευμάτων ἀτόπων, αὖθις δὲ πρηστήρων καὶ
κεραυνῶν δημιουργός ἐστι. φαρμάττει δὲ καὶ λοιμοῖς
ὕδατα καὶ πνεύματα, καὶ μέχρι σελήνης ἀνατρέχει
καὶ ἀναχαιτίζει συγχέουσα καὶ μελαίνουσα πολλάκις
τὸ λαμπρόν, ὡς Αἰγύπτιοι νομίζουσι καὶ λέγουσιν,

2 τῷ λόγῳ Marklandus: τοῦ λόγου τὴν φύσιν *: φύσει 3 ἐφ᾽ αὑτῆς Marklandus: ἐπ᾽ αὐτὴν 8 οὗτος] ὁ υἱὸς? 17 ἀνεπήρωσε Baxterus: ἀνεπλήρωσε ἐκεῖ Madvigius: ἐκείνη 18 δὲ idem 19 μέρεσι Squirius: μέλεσι 20 δὲ ἐν X: καὶ ἐν 24 συγχέουσα Baxterus: συνέχουσα

E ὅτι τοῦ Ὥρου νῦν μὲν ἐπάταξε, νῦν δ᾽ ἐξελὼν κατέπιεν ὁ Τυφὼν τὸν ὀφθαλμόν, εἶτα τῷ ἡλίῳ πάλιν ἀπέδωκε· πληγὴν μὲν αἰνιττόμενοι τὴν κατὰ μῆνα μείωσιν τῆς σελήνης, πήρωσιν δὲ τὴν ἔκλειψιν, ἣν ὁ ἥλιος ἰᾶται διαφυγούσῃ τὴν σκιὰν τῆς γῆς εὐθὺς ἀντιλάμπων.

56. Ἡ δὲ κρείττων καὶ θειοτέρα φύσις ἐκ τριῶν ἐστι, τοῦ νοητοῦ καὶ τῆς ὕλης καὶ τοῦ ἐκ τούτων, F ὃν κόσμον Ἕλληνες ὀνομάζουσιν. ὁ μὲν οὖν Πλάτων τὸ μὲν νοητὸν καὶ ἰδέαν καὶ παράδειγμα καὶ πατέρα, τὴν δ᾽ ὕλην καὶ μητέρα καὶ τιθήνην ἕδραν τε καὶ χώραν γενέσεως, τὸ δ᾽ ἐξ ἀμφοῖν ἔκγονον καὶ γένεσιν ὀνομάζειν εἴωθεν. Αἰγυπτίους δ᾽ ἄν τις εἰκάσειε τῶν τριγώνων τὸ κάλλιστον ** μάλιστα τούτῳ τὴν τοῦ παντὸς φύσιν ὁμοιοῦντας, ὡς καὶ Πλάτων ἐν τῇ Πολιτείᾳ δοκεῖ τούτῳ προσκεχρῆσθαι τὸ γαμήλιον διάγραμμα συντάττων. ἔχει δ᾽ ἐκεῖνο τὸ τρίγωνον τριῶν τὴν πρὸς ὀρθίαν καὶ τεττάρων 374 τὴν βάσιν καὶ πέντε τὴν ὑποτείνουσαν ἴσον ταῖς περιεχούσαις δυναμένην. εἰκαστέον οὖν τὴν μὲν πρὸς ὀρθὰς ἄρρενι, τὴν δὲ βάσιν θηλείᾳ, τὴν δ᾽ ὑποτείνουσαν ἀμφοῖν ἐκγόνῳ· καὶ τὸν μὲν Ὄσιριν ὡς ἀρχήν, τὴν δ᾽ Ἶσιν ὡς ὑποδοχήν, τὸν δ᾽ Ὧρον ὡς ἀποτέλεσμα. τὰ μὲν γὰρ τρία πρῶτος περισσός ἐστι καὶ τέλειος· τὰ δὲ τέτταρα τετράγωνος ἀπὸ

5 διαφυγούσῃ Bentleius: διαφυγούσης 9 Πλάτων] Tim. p. 50c 12 ἔκγονον Emperius: ἔγγονον 14 lacunam addidi. Fort. supplenda: τὸ κάλλιστον ζηλῶσαι πλεῖστον μάλιστα κἄ 15 ὡς Marklandus: ᾧ 16 Πολιτείᾳ] p. 546 21 ὀρθὰς] ὀρθίαν R 22 ἐκγόνῳ Emperius: ἐγγόνῳ

πλευρᾶς ἀρτίου τῆς δυάδος· τὰ δὲ πέντε πῇ μὲν τῷ πατρὶ πῇ δὲ τῇ μητρὶ προσέοικεν, ἐκ τριάδος συγκείμενα καὶ δυάδος. καὶ τὰ πάντα τῶν πέντε γέγονε παρώνυμα, καὶ τὸ ἀριθμήσασθαι πεμπάσασθαι λέγουσιν. ποιεῖ δὲ τετράγωνον ἡ πεντὰς ἀφ' ἑαυτῆς, ὅσον τῶν γραμμάτων παρ' Αἰγυπτίοις τὸ πλῆθός ἐστι, καὶ ὅσων ἐνιαυτῶν ἔζη χρόνον ὁ Ἆπις. τὸν μὲν οὖν B *Ὧρον εἰώθασι καὶ Μὶν προσαγορεύειν, ὅπερ ἐστὶν ὁρώμενον· αἰσθητὸν γὰρ καὶ ὁρατὸν ὁ κόσμος. ἡ δ' Ἶσις ἔστιν ὅτε καὶ Μοὺθ καὶ πάλιν Ἄθυρι καὶ Μεθύερ προσαγορεύεται· σημαίνουσι δὲ τῷ μὲν πρώτῳ τῶν ὀνομάτων μητέρα· τῷ δὲ δευτέρῳ οἶκον Ὥρου κόσμιον, ὡς καὶ Πλάτων χώραν γενέσεως καὶ δεξαμενήν· τὸ δὲ τρίτον σύνθετόν ἐστιν ἔκ τε τοῦ πλήρους καὶ τοῦ αἰτίου· πλήρης γάρ ἐστιν ἡ ὕλη τοῦ κόσμου καὶ τῷ ἀγαθῷ καὶ καθαρῷ καὶ κεκοσμημένῳ σύνεστιν.*

57. *Δόξειε δ' ἂν ἴσως καὶ Ἡσίοδος τὰ πρῶτα* C *πάντα χάος καὶ γῆν καὶ τάρταρον καὶ ἔρωτα ποιῶν οὐχ ἑτέρας λαμβάνειν ἀρχάς, ἀλλὰ ταύτας· εἴγε δὴ τῶν ὀνομάτων τῇ μὲν Ἴσιδι τὸ τῆς γῆς, τῷ δ' Ὀσίριδι τὸ τοῦ ἔρωτος, τῷ δὲ Τυφῶνι τὸ τοῦ ταρτάρου μεταλαμβάνοντές πως ἀποδίδομεν· τὸ γὰρ χάος δοκεῖ χώραν τινὰ καὶ τόπον τοῦ παντὸς ὑποτίθεσθαι. προσκαλεῖται δὲ καὶ τὸν Πλάτωνος ἁμωσγέπως τὰ*

7 ὁ *Ἆπις. τὸν* X: ὃ *ἄπιστον* 8 *καὶ Μὶν* Pinderus: *Καίμιν* 11 *προσαγορεύεται* Basileensis: *προσαγορεύουσι* 15 *αἰτίου*] *ἀγαθοῦ* Marklandus. *ἀρτίου* R 18 *Ἡσίοδος*] cf. Theog. 116—122 19 *πάντα*] *πάντων* Baxterus 20 *ταύτας*] *τὰς αὐτὰς* Halmius *εἴγε* X: *γε* 23 *πως* R: *ὡς*

πράγματα μῦθον, ὃν Σωκράτης ἐν Συμποσίῳ περὶ τῆς τοῦ Ἔρωτος γενέσεως διῆλθε, τὴν Πενίαν λέγων τέκνων δεομένην τῷ Πόρῳ καθεύδοντι παρακλιθῆναι, καὶ κυήσασαν ἐξ αὐτοῦ τεκεῖν τὸν Ἔρωτα, φύσει D *μικτὸν ὄντα καὶ παντοδαπόν, ἅτε δὴ πατρὸς μὲν ἀγαθοῦ καὶ σοφοῦ καὶ πᾶσιν αὐτάρκους, μητρὸς δ' ἀμηχάνου καὶ ἀπόρου καὶ δι' ἔνδειαν ἀεὶ γλιχομένης ἑτέρου καὶ περὶ ἕτερον λιπαρούσης γεγενημένον. ὁ γὰρ Πόρος οὐχ ἕτερός ἐστι τοῦ πρώτου ἐρατοῦ καὶ ἐφετοῦ καὶ τελείου καὶ αὐτάρκους· Πενίαν δὲ τὴν ὕλην προσεῖπεν, ἐνδεᾶ μὲν οὖσαν αὐτὴν καθ' ἑαυτὴν τοῦ ἀγαθοῦ, πληρουμένην δ' ὑπ' αὐτοῦ καὶ ποθοῦσαν ἀεὶ καὶ μεταλαμβάνουσαν. ὁ δὲ γενόμενος ἐκ τούτων κόσμος καὶ Ὧρος οὐκ ἀίδιος οὐδ' ἀπαθὴς οὐδ' ἄφθαρτος, ἀλλ' ἀειγενὴς ὢν μη-* E *χανᾶται ταῖς τῶν παθῶν μεταβολαῖς καὶ περιόδοις ἀεὶ νέος καὶ μηδέποτε φθαρησόμενος διαμένειν.*

58. *Χρηστέον δὲ τοῖς μύθοις οὐχ ὡς λόγοις πάμπαν οὖσιν, ἀλλὰ τὸ πρόσφορον ἑκάστου τὸ κατὰ τὴν ὁμοιότητα λαμβάνοντας. ὅταν οὖν ὕλην λέγωμεν, οὐ δεῖ πρὸς ἐνίων φιλοσόφων δόξας ἀποφερομένους ἄψυχόν τι σῶμα καὶ ἄποιον ἀργόν τε καὶ ἄπρακτον ἐξ ἑαυτοῦ διανοεῖσθαι· καὶ γὰρ ἔλαιον ὕλην μύρου καλοῦμεν, χρυσὸν ἀγάλματος, οὐκ ὄντα πάσης ἔρημα ποιότητος· αὐτήν τε τὴν ψυχὴν καὶ τὴν διάνοιαν*

1 *Συμποσίῳ*] p. 203b 5 *μικτὸν* X: *μακρὸν* 10 *ἐρατοῦ* Marklandus: *ἐραστοῦ* 13 *μεταλαμβάνουσαν*] *μεταλαγχάνουσαν* idem. cf. p. 374b 19 *τὸ κατὰ*] *κατὰ* W 21 *ἀποφερομένους*] malim *ὑποφερομένους* 25 *ποιότητος* X: *ὁμοιότητος*

τοῦ ἀνθρώπου ὡς ὕλην ἐπιστήμης καὶ ἀρετῆς τῷ F λόγῳ κοσμεῖν καὶ ῥυθμίζειν παρέχομεν· τόν τε νοῦν ἔνιοι τόπον εἰδῶν ἀπεφήναντο καὶ τῶν νοητῶν οἷον ἐκμαγεῖον· ἔνιοι δὲ καὶ τὸ σπέρμα τῆς γυναικὸς οὐ δύναμιν οὐδ' ἀρχήν, ὕλην δὲ καὶ τροφὴν γενέσεως εἶναι δοξάζουσιν. ὧν ἐχομένους χρὴ καὶ τὴν θεὸν ταύτην οὕτω διανοεῖσθαι τοῦ πρώτου θεοῦ μεταλαγχάνουσαν ἀεὶ καὶ συνοῦσαν ἔρωτι τῶν περὶ ἐκεῖνον ἀγαθῶν καὶ καλῶν, οὐχ ὑπεναντίαν ἀλλ' ὥσπερ 375 ἄνδρα νόμιμον καὶ δίκαιον ἐρᾶν ἐν δικαιοσύνῃ καὶ γυναῖκα χρηστὴν ἔχουσαν ἄνδρα καὶ συνοῦσαν ὅμως ποθεῖν λέγομεν, οὕτως ἀεὶ γλιχομένην ἐκείνου καὶ περὶ ἐκεῖνον λιπαροῦσαν καὶ ἀναπιμπλαμένην τοῖς κυριωτάτοις μέρεσιν καὶ καθαρωτάτοις· (59) ὅπου δ' ὁ Τυφὼν παρεμπίπτει τῶν ἐσχάτων ἁπτόμενος, ἐνταῦθα δοκοῦσαν ἐπισκυθρωπάζειν καὶ πενθεῖν λεγομένην καὶ λείψαν' ἄττα καὶ σπαράγματα τοῦ Ὀσίριδος ἀναζητεῖν καὶ στολίζειν, ὑποδεχομένην τὰ φθειρόμενα καὶ ἀποκρύπτουσαν, ὥσπερ ἀναφαίνει πάλιν τὰ γιγνόμενα καὶ ἀνίησιν ἐξ ἑαυτῆς. οἱ μὲν B γὰρ ἐν οὐρανῷ καὶ ἄστροις λόγοι καὶ εἴδη καὶ ἀπορροαὶ τοῦ θεοῦ μένουσι, τὰ δὲ τοῖς παθητικοῖς διεσπαρμένα, γῇ καὶ θαλάττῃ καὶ φυτοῖς καὶ ζῴοις, διαλυόμενα καὶ φθειρόμενα καὶ θαπτόμενα, πολλάκις αὖθις ἐκλάμπει καὶ ἀναφαίνεται ταῖς γενέσεσι.

3 εἰδῶν] ἰδεῶν Squirius 10 ἐν δικαιοσύνῃ] ἂν δικαίως συνῇ. cf. p. 448 e 12 οὕτως] auditur χρὴ τὴν θεὸν διανοεῖσθαι 13 λιπαροῦσαν] Marklandus: παροῦσαν 22 δὲ] δ' ἐν? ἐνδιεσπαρμένα W 24 διαλυόμενα Baxterus: διαλεγόμενα πολλάκις Marklandus: καὶ πολλάκις

διὸ τὸν Τυφῶνα τῇ Νέφθυι συνοικεῖν φησιν ὁ μῦθος, τὸν δ' Ὄσιριν κρύφα συγγενέσθαι. τὰ γὰρ ἔσχατα μέρη τῆς ὕλης, ἃ Νέφθυν καὶ Τελευτὴν καλοῦσιν, ἡ φθαρτικὴ μάλιστα κατέχει δύναμις· ἡ δὲ γόνιμος καὶ σωτήριος ἀσθενὲς σπέρμα καὶ ἀμαυρὸν εἰς ταῦτα C *διαδίδωσιν, ἀπολλύμενον ὑπὸ τοῦ Τυφῶνος, πλὴν ὅσον ἡ Ἶσις ὑπολαμβάνουσα σῴζει καὶ τρέφει καὶ συνίστησι.*

60. *Καθόλου δ' ἀμείνων οὗτός ἐστιν, ὥσπερ καὶ Πλάτων ὑπονοεῖ καὶ Ἀριστοτέλης. κινεῖται δὲ τῆς φύσεως τὸ μὲν γόνιμον καὶ σωτήριον ἐπ' αὐτὸν καὶ πρὸς τὸ εἶναι, τὸ δ' ἀναιρετικὸν καὶ φθαρτικὸν ἀπ' αὐτοῦ καὶ πρὸς τὸ μὴ εἶναι. διὸ τὸ μὲν Ἶσιν καλοῦσι παρὰ τὸ ἵεσθαι μετ' ἐπιστήμης καὶ φέρεσθαι, κίνησιν οὖσαν ἔμψυχον καὶ φρόνιμον. οὐ γάρ ἐστι τοὔνομα βαρβαρικόν, ἀλλ' ὥσπερ τοῖς θεοῖς πᾶσιν* D *ἀπὸ δυεῖν γραμμάτων τοῦ θεατοῦ καὶ τοῦ θέοντος ἔστιν ὄνομα κοινόν, οὕτω τὴν θεὸν ταύτην ἀπὸ τῆς ἐπιστήμης ἅμα καὶ τῆς κινήσεως Ἶσιν μὲν ἡμεῖς, Ἶσιν δ' Αἰγύπτιοι καλοῦσιν. οὕτω δὲ καὶ Πλάτων φησὶ τὴν ὁσίαν δηλοῦν τοὺς παλαιούς 'ἰσίαν' καλοῦντας· οὕτω καὶ τὴν νόησιν καὶ τὴν φρόνησιν, ὡς νοῦ φορὰν καὶ κίνησιν οὖσαν ἱεμένου καὶ φερομένου, καὶ τὸ συνιέναι καὶ τἀγαθὸν ὅλως καὶ ἀρετὴν ἐπὶ τοῖς ῥέουσι καὶ θέουσι θέσθαι· καθάπερ αὖ*

6 *ἀπολλύμενον* Bentleius: *ἀπολλυμένη* 9 *οὗτος*] *ὁ υἱὸς*? 12 *ἀπ'* Squirius: *ὑπ'* 17 *ῥημάτων* Markl. 20 *Πλάτων*] Cratyl. p. 401 c 21 *ὁσίαν*] *οὐσίαν* Baxterus ex Plat. l. l. *ἰσίαν*] *ἐσσίαν*? 24 *τὸ* Baxterus: *τοῦ* 25 *ῥέουσι*] Bentleius: *εὐροῦσι*. Malim *ἀεὶ ῥέουσι* coll. Plat. Crat. p. 415 d

πάλιν τοῖς ἀντιφωνοῦσιν ὀνόμασι λοιδορεῖσθαι τὸ κακόν, τὸ τὴν φύσιν ἐμποδίζον καὶ συνδέον καὶ ἴσχον καὶ κωλῦον ἴεσθαι καὶ ἰέναι κακίαν ἀπορίαν δειλίαν ἀνίαν προσαγορευόντων.

61. *Ὁ δ' Ὄσιρις ἐκ τοῦ ὁσίου καὶ ἱεροῦ τοὔνομα* E *μεμιγμένον ἔσχηκε· κοινὸς γάρ ἐστι τῶν ἐν οὐρανῷ καὶ τῶν ἐν Ἅιδου λόγος· ὧν τὰ μὲν ἱερὰ τὰ δ' ὅσια τοῖς παλαιοῖς ἔθος ἦν προσαγορεύειν. ὁ δ' ἀναφαίνων τὰ οὐράνια καὶ τῶν ἄνω φερομένων λόγος Ἄνουβις, ἔστι δ' ὅτε καὶ Ἑρμάνουβις ὀνομάζεται, τὸ μὲν ὡς τοῖς ἄνω τὸ δ' ὡς τοῖς κάτω προσήκων. διὸ καὶ θύουσιν αὐτῷ τὸ μὲν λευκὸν ἀλεκτρυόνα, τὸ δὲ κροκίαν, τὰ μὲν εἰλικρινῆ καὶ φανά, τὰ δὲ μικτὰ καὶ ποικίλα νομίζοντες. οὐ δεῖ δὲ θαυμάζειν τῶν ὀνομάτων τὴν εἰς τὸ Ἑλληνικὸν* F *ἀνάπλασιν· καὶ γὰρ ἄλλα μυρία τοῖς μεθισταμένοις ἐκ τῆς Ἑλλάδος συνεκπεσόντα μέχρι νῦν παραμένει καὶ ξενιτεύει παρ' ἑτέροις, ὧν ἔνια τὴν ποιητικὴν ἀνακαλουμένην διαβάλλουσιν ὡς βαρβαρίζουσαν οἱ γλώττας τὰ τοιαῦτα προσαγορεύοντες. ἐν δὲ ταῖς Ἑρμοῦ λεγομέναις βίβλοις ἱστοροῦσι γεγράφθαι περὶ τῶν ἱερῶν ὀνομάτων, ὅτι τὴν μὲν ἐπὶ τῆς τοῦ ἡλίου περιφορᾶς τεταγμένης δύναμιν Ὧρον, Ἕλληνες δ' Ἀπόλλωνα καλοῦσι· τὴν δ' ἐπὶ τοῦ πνεύματος οἱ μὲν Ὄσιριν, οἱ δὲ Σάραπιν, οἱ δὲ Σῶθιν Αἰγυπτιστί·*

1 *τὸ κακὸν* W: *τῶν κατὰ* coll. Plat. Crat. p. 415c 8 *ἔθος* Marklandus 10 *λόγος* (malim *ὧν λόγος*) *Ἄνουβις* R: *ἄνουβις λόγος* 12 *τὸ μὲν — τὸ δὲ* R: *τὸν μὲν — τὸν δὲ* 20 *τὰ τοιαῦτα* X: *τὰς τοιαύτας* 23 *Ὧρον*] *Ὧρον ἐκεῖνοι?* 25 *Σῶθιν* *: *σωθὶ*

376 σημαίνει δὲ κύησιν ἢ τὸ κύειν. διὸ καὶ παρατροπῆς γενομένης τοῦ ὀνόματος, Ἑλληνιστὶ κύων κέκληται τὸ ἄστρον, ὅπερ ἴδιον τῆς Ἴσιδος νομίζουσιν. ἥκιστα μὲν οὖν δεῖ φιλοτιμεῖσθαι περὶ τῶν ὀνομάτων, οὐ μὴν ἀλλὰ μᾶλλον ἂν ὑφείμην τοῦ Σαράπιδος Αἰγυπτίοις ἢ τοῦ Ὀσίριδος, ἐκεῖνο μὲν ξενικόν, τοῦτο δ' Ἑλληνικόν, ἄμφω δ' ἑνὸς θεοῦ καὶ μιᾶς δυνάμεως ἡγούμενος.

62. Ἔοικε δὲ τούτοις καὶ τὰ Αἰγύπτια. τὴν μὲν γὰρ Ἶσιν πολλάκις τῷ τῆς Ἀθηνᾶς ὀνόματι καλοῦσι φράζοντι τοιοῦτον λόγον 'ἦλθον ἀπ' ἐμαυτῆς,' ὅπερ
B ἐστὶν αὐτοκινήτου φορᾶς δηλωτικόν· ὁ δὲ Τυφών, ὥσπερ εἴρηται, Σὴθ καὶ Βέβων καὶ Σμὺ ὀνομάζεται, βίαιόν τινα καὶ κωλυτικὴν ἐπίσχεσιν, ὑπεναντίωσιν ἢ ἀναστροφὴν ἐμφαίνειν βουλομένων τῶν ὀνομάτων. ἔτι τὴν σιδηρῖτιν λίθον ὀστέον Ὥρου, Τυφῶνος δὲ τὸν σίδηρον, ὡς ἱστορεῖ Μανεθώς, καλοῦσιν· ὥσπερ γὰρ ὁ σίδηρος πολλάκις μὲν ἑλκομένῳ καὶ ἑπομένῳ πρὸς τὴν λίθον ὅμοιός ἐστι, πολλάκις δ' ἀποστρέφεται καὶ ἀποκρούεται πρὸς τοὐναντίον, οὕτως ἡ σωτήριος καὶ ἀγαθὴ καὶ λόγον ἔχουσα τοῦ κόσμου κίνησις ἐπιστρέφεταί τε καὶ προσάγεται καὶ μαλακω-
C τέραν ποιεῖ, πείθουσα τὴν σκληρὰν ἐκείνην καὶ τυφώνειον, εἶτ' αὖθις ἀνασχεθεῖσα εἰς ἑαυτὴν ἀνέστρεψε καὶ κατέδυσεν εἰς τὴν ἀπειρίαν. ἔτι φησὶ περὶ τοῦ

5 ἂν Emperius ὑφείμην Bentleius: ὑφιεμένην τοῦ — τοῦ] τὸ — τὸ Holwerda 6 μὲν Marklandus: μὲν οὖν 16 Μανεθώς Squirius: μάνεθος 21 μαλακωτέραν R: μαλακώτερον 22 σκληρὰν — τυφώνειον Marklandus: σκληρίαν — τυφώνιον 23 ἀνέστρεψε] ἀπέστρεψε Holwerda 24 ἀπειρίαν X: ἀπορίαν

Διὸς ὁ Εὔδοξος μυθολογεῖν Αἰγυπτίους, ὡς τῶν σκελῶν συμπεφυκότων αὐτῷ μὴ δυνάμενος βαδίζειν, ὑπ᾽ αἰσχύνης ἐν ἐρημίᾳ διέτριβεν· ἡ δ᾽ Ἶσις διατεμοῦσα καὶ διαστήσασα τὰ μέρη ταῦτα τοῦ σώματος ἀρτίποδα τὴν πορείαν παρέσχεν. αἰνίττεται δὲ καὶ διὰ τούτων ὁ μῦθος, ὅτι καθ᾽ ἑαυτὸν ὁ τοῦ θεοῦ νοῦς καὶ λόγος ἐν τῷ ἀοράτῳ καὶ ἀφανεῖ βεβηκὼς εἰς γένεσιν ὑπὸ κινήσεως προῆλθεν.

63. Ἐμφαίνει καὶ τὸ σεῖστρον, ὅτι σείεσθαι δεῖ τὰ ὄντα καὶ μηδέποτε παύεσθαι φορᾶς, ἀλλ᾽ οἷον ἐξεγείρεσθαι καὶ κλονεῖσθαι καταδαρθάνοντα καὶ μαραινόμενα. τὸν γὰρ Τυφῶνά φασι τοῖς σείστροις D ἀποτρέπειν καὶ ἀποκρούεσθαι, δηλοῦντες, ὅτι τῆς φθορᾶς συνδεούσης καὶ ἱστάσης, αὖθις ἀναλύει τὴν φύσιν καὶ ἀνίστησι διὰ τῆς κινήσεως ἡ γένεσις. τοῦ δὲ σείστρου περιφεροῦς ἄνωθεν ὄντος, ἡ ἁψὶς περιέχει τὰ σειόμενα τέτταρα. καὶ γὰρ ἡ γεννωμένη καὶ φθειρομένη μοῖρα τοῦ κόσμου περιέχεται μὲν ὑπὸ τῆς σεληνιακῆς σφαίρας, κινεῖται δ᾽ ἐν αὐτῇ πάντα καὶ μεταβάλλεται διὰ τῶν τεττάρων στοιχείων, πυρὸς καὶ γῆς καὶ ὕδατος καὶ ἀέρος. τῇ δ᾽ ἁψῖδι τοῦ σείστρου κατὰ κορυφὴν ἐντορεύουσιν αἴλουρον ἀνθρώπου πρόσωπον ἔχοντα, κάτω δ᾽ ὑπὸ τὰ σειόμενα E πῇ μὲν Ἴσιδος πῇ δὲ Νέφθυος πρόσωπον, αἰνιττόμενοι τοῖς μὲν προσώποις γένεσιν καὶ τελευτήν (αὗται γάρ εἰσι τῶν στοιχείων μεταβολαὶ καὶ κινήσεις), τῷ δ᾽ αἰλούρῳ τὴν σελήνην διὰ τὸ ποικίλον

3 ἐν W   9 καὶ] δὲ καὶ R   16 ἁψὶς Leonicus: ὄψις

καὶ νυκτουργὸν καὶ γόνιμον τοῦ θηρίου. λέγεται γὰρ ἓν τίκτειν, εἶτα δύο καὶ τρία καὶ τέσσαρα καὶ πέντε· καὶ καθ᾽ ἓν οὕτως ἄχρι τῶν ἑπτὰ F προστίθησιν, ὥστ᾽ ὀκτὼ καὶ εἴκοσι τὰ πάντα τίκτειν, ὅσα καὶ τῆς σελήνης φῶτ᾽ ἔστιν. τοῦτο μὲν οὖν ἴσως μυθωδέστερον· αἱ δ᾽ ἐν τοῖς ὄμμασιν αὐτοῦ κόραι πληροῦσθαι μὲν καὶ πλατύνεσθαι δοκοῦσιν ἐν πανσελήνῳ, λεπτύνεσθαι δὲ καὶ μαραυγεῖν ἐν ταῖς μειώσεσι τοῦ ἄστρου. τῷ δ᾽ ἀνθρωπομόρφῳ τοῦ αἰλούρου τὸ νοερὸν καὶ λογικὸν ἐμφαίνεται τῶν περὶ τὴν σελήνην μεταβολῶν.

64. Συνελόντι δ᾽ εἰπεῖν οὔθ᾽ ὕδωρ οὔθ᾽ ἥλιον οὔτε γῆν οὔτ᾽ οὐρανὸν Ὄσιριν ἢ Ἶσιν ὀρθῶς ἔχει νομίζειν, οὐδὲ πῦρ Τυφῶνα πάλιν οὐδ᾽ αὐχμὸν οὐδὲ θάλατταν, ἀλλ᾽ ἁπλῶς ὅσον ἐστὶν ἐν τούτοις 377 ἄμετρον καὶ ἄτακτον ὑπερβολαῖς ἢ ἐνδείαις Τυφῶνι προσνέμοντες, τὸ δὲ κεκοσμημένον καὶ ἀγαθὸν καὶ ὠφέλιμον ὡς Ἴσιδος μὲν ἔργον εἰκόνα δὲ καὶ μίμημα καὶ λόγον Ὀσίριδος σεβόμενοι καὶ τιμῶντες, οὐκ ἂν ἁμαρτάνοιμεν. ἀλλὰ καὶ τὸν Εὔδοξον ἀπιστοῦντα παύσομεν καὶ διαποροῦντα, πῶς οὔτε Δήμητρι τῆς τῶν ἐρωτικῶν ἐπιμελείας μέτεστιν ἀλλ᾽ Ἴσιδι· τόν τε Διόνυσον οὔτε τὸν Νεῖλον αὔξειν οὔτε τῶν τεθνηκότων ἄρχειν δυνάμενον. ἑνὶ γὰρ λόγῳ κοινῷ τοὺς θεοὺς τούτους περὶ πᾶσαν ἀγαθοῦ μοῖραν ἡγούμεθα τετάχθαι· καὶ πᾶν ὅσον ἔνεστι τῇ

14 οὐδὲ — οὐδ᾽ Halmius: οὔτε — οὔτ᾽ 23 οὔτε τὸν *: οὐ τὸν 24 δυνάμενον] διανοούμενον sc. Εὔδοξον Marklandus 25 περὶ] ἐπὶ R

φύσει καλὸν καὶ ἀγαθὸν διὰ τούτους ὑπάρχειν, τὸν μὲν διδόντα τὰς ἀρχάς, τὴν δ᾽ ὑποδεχομένην καὶ διανέμουσαν. B

65. *Οὕτω δὲ καὶ τοῖς πολλοῖς καὶ φορτικοῖς ἐπι*χειρήσομεν, εἴτε ταῖς καθ᾽ ὥραν μεταβολαῖς τοῦ περιέχοντος εἴτε ταῖς καρπῶν γενέσεσι καὶ σποραῖς καὶ ἀρότοις χαίρουσι τὰ περὶ τοὺς θεοὺς τούτους συνοικειοῦντες, καὶ λέγοντες θάπτεσθαι μὲν τὸν Ὄσιριν, ὅτε κρύπτεται τῇ γῇ σπειρόμενος ὁ καρπός, αὖθις δ᾽ ἀναβιοῦσθαι καὶ ἀναφαίνεσθαι, ὅτε βλαστήσεως ἀρχή. διὸ καὶ λέγεσθαι τὴν Ἶσιν αἰσθομένην ὅτι κύει περιάψασθαι φυλακτήριον ἕκτῃ μηνὸς ἱσταμένου Φαωφί· τίκτεσθαι δὲ τὸν Ἁρποκράτην περὶ τροπὰς χειμερινὰς ἀτελῆ καὶ νεαρὸν ἐν τοῖς C προανθοῦσι καὶ προβλαστάνουσι. διὸ καὶ φακῶν αὐτῷ φυομένων ἀπαρχὰς ἐπιφέρουσι, τὰς δὲ λοχείους ἡμέρας ἑορτάζειν μετὰ τὴν ἐαρινὴν ἰσημερίαν. ταῦτα γὰρ ἀκούοντες ἀγαπῶσι καὶ πιστεύουσιν, αὐτόθεν ἐκ τῶν προχείρων καὶ συνήθων τὸ πιθανὸν ἕλκοντες.

66. *Καὶ δεινὸν οὐδέν, ἂν πρῶτον μὲν ἡμῖν τοὺς* θεοὺς φυλάττωσι κοινοὺς καὶ μὴ ποιῶσιν Αἰγυπτίων ἰδίους, μηδὲ Νεῖλον ἥν τε Νεῖλος ἄρδει μόνην χώραν τοῖς ὀνόμασι τούτοις καταλαμβάνοντες, μηδ᾽ ἕλη μηδὲ λωτοὺς μὴ θεοποιίαν λέγοντες

7 τούτοις Madvigius: τούτους 9 τῇ γῇ Bentleius: τῆς γῆς 17 ἑορτάζειν] ἑορτάζει sc. Ἁρποκράτης Madvigius 25 μὴ θεοποιίαν] corrupta. μηδὲ χέδροπα Emperius. Fort. μηδ᾽ ὁποιοῦν vel potius μηδ᾽ ὁτιοῦν

ἀποστεροῦσι μεγάλων θεῶν τοὺς ἄλλους ἀνθρώπους, οἷς Νεῖλος μὲν οὐκ ἔστιν οὐδὲ Βοῦτος οὐδὲ D Μέμφις· Ἶσιν δὲ καὶ τοὺς περὶ αὐτὴν θεοὺς ἔχουσι καὶ γιγνώσκουσιν ἅπαντες, ἐνίους μὲν οὐ πάλαι τοῖς παρ' Αἰγυπτίων ὀνόμασι καλεῖν μεμαθηκότες, ἑκάστου δὲ τὴν δύναμιν ἐξ ἀρχῆς ἐπιστάμενοι καὶ τιμῶντες. δεύτερον, ὃ μεῖζόν ἐστιν, ὅπως σφόδρα προσέξουσι καὶ φοβήσονται, μὴ λάθωσιν εἰς πνεύματα καὶ ῥεύματα καὶ σπόρους καὶ ἀρότους καὶ πάθη γῆς καὶ μεταβολὰς ὡρῶν διαγράφοντες τὰ θεῖα καὶ διαλύοντες· ὥσπερ οἱ Διόνυσον τὸν οἶνον, Ἥφαιστον δὲ τὴν φλόγα· Φερσεφόνην δέ φησί που Κλεάνθης τὸ διὰ τῶν καρπῶν φερόμενον καὶ φονευόμενον πνεῦμα. ποιητὴς δέ τις ἐπὶ τῶν θεριζόντων

'τῆμος ὅτ' αἰζηοὶ Δημήτερα κωλοτομεῦσιν.'

E οὐδὲν γὰρ οὗτοι διαφέρουσι τῶν ἱστία καὶ κάλως καὶ ἄγκυραν ἡγουμένων κυβερνήτην, καὶ νήματα καὶ κρόκας ὑφάντην, καὶ σπονδεῖον ἢ μελίκρατον ἢ πτισάνην ἰατρόν· ἀλλὰ δεινὰς καὶ ἀθέους ἐμποιοῦσι δόξας, ἀναισθήτοις καὶ ἀψύχοις καὶ φθειρομέναις ἀναγκαίως ὑπ' ἀνθρώπων δεομένων καὶ χρωμένων φύσεσι καὶ πράγμασιν ὀνόματα θεῶν ἐπιφέροντες. ταῦτα μὲν γὰρ αὐτὰ νοῆσαι θεοὺς οὐκ ἔστιν.

F 67. Οὐ γὰρ ἄνουν οὐδ' ἄψυχον οὐδ' ἀνθρώποις ὁ θεὸς ὑποχείριον· ἀπὸ τούτων δὲ τοὺς χρωμένοις

4 ἅπαντας W 15 cf. Ps. Plut. de vita Homeri § 23 16 κάλως X: κάλους 18 σπονδεῖον] σπογγίον R 19 ἀλλὰ] ἅμα δὲ Bentleius 24 ἄνουν R: οὖν οὐδ' posterius add. Bentleius 25 χρωμένοις (i. e. ἡμῖν) αὐτοῖς (sc. τοῖς καρποῖς) *: χρωμένους αὐτοὺς καὶ

αὐτοῖς δωρουμένους ἡμῖν καὶ παρέχοντας ἀέναα καὶ διαρκῆ θεοὺς ἐνομίσαμεν, οὐχ ἑτέρους παρ' ἑτέροις οὐδὲ βαρβάρους καὶ Ἕλληνας οὐδὲ νοτίους καὶ βορείους· ἀλλ' ὥσπερ ἥλιος καὶ σελήνη καὶ οὐρανὸς καὶ γῆ καὶ θάλασσα κοινὰ πᾶσιν, ὀνομάζεται δ' ἄλλως ὑπ' ἄλλων, οὕτως ἑνὸς λόγου τοῦ ταῦτα κοσμοῦντος καὶ μιᾶς προνοίας ἐπιτροπευούσης καὶ 378
δυνάμεων ὑπουργῶν ἐπὶ πάντα τεταγμένων, ἕτεραι παρ' ἑτέροις κατὰ νόμους γεγόνασι τιμαὶ καὶ προσηγορίαι· καὶ συμβόλοις χρῶνται καθιερωμένοις οἱ μὲν ἀμυδροῖς οἱ δὲ τρανοτέροις, ἐπὶ τὰ θεῖα τὴν νόησιν ὁδηγοῦντες οὐκ ἀκινδύνως. ἔνιοι γὰρ ἀποσφαλέντες παντάπασιν εἰς δεισιδαιμονίαν ὤλισθον, οἱ δὲ φεύγοντες ὥσπερ ἕλος τὴν δεισιδαιμονίαν ἔλαθον αὖθις ὥσπερ εἰς κρημνὸν ἐμπεσόντες τὴν ἀθεότητα.

68. Διὸ δεῖ μάλιστα πρὸς ταῦτα λόγον ἐκ φιλοσοφίας μυσταγωγὸν ἀναλαβόντας ὁσίως διανοεῖσθαι τῶν λεγομένων καὶ δρωμένων ἕκαστον· ἵνα B
μή, καθάπερ Θεόδωρος εἶπε, τοὺς λόγους αὐτοῦ τῇ δεξιᾷ προτείνοντος, ἐνίους τῇ ἀριστερᾷ δέχεσθαι τῶν ἀκροωμένων, οὕτως ἡμεῖς ἃ καλῶς οἱ νόμοι περὶ τὰς θυσίας καὶ τὰς ἑορτὰς ἔταξαν ἑτέρως ὑπολαμβάνοντες ἐξαμάρτωμεν. ὅτι γὰρ ἐπὶ τὸν λόγον ἀνοιστέον ἅπαντα, καὶ παρ' αὐτῶν ἐκείνων ἔστι λαβεῖν. τῇ μὲν γὰρ ἐνάτῃ ἐπὶ δέκα τοῦ πρώτου μηνὸς ἑορτάζοντες τῷ Ἑρμῇ μέλι καὶ σῦκον ἐσθίουσιν, ἐπιλέγοντες 'γλυκὺ ἡ ἀλήθεια.' τὸ δὲ τῆς Ἴσιδος φυ-

1 ἀέναα *: ἀένναα   8 πάντα Marklandus: πάντας
10 καθιερωμένοις οἱ μὲν Salmasius: καθιερωμένοι μὲν

λακτήριον, ὃ περιάπτεσθαι μυθολογοῦσιν αὐτήν, ἐξερμηνεύεται ‘φωνὴ ἀληθής.’ τὸν δ’ Ἁρποκράτην C οὔτε θεὸν ἀτελῆ καὶ νήπιον οὔτε χεδρόπων τινὰ νομιστέον, ἀλλὰ τοῦ περὶ θεῶν ἐν ἀνθρώποις λόγου νεαροῦ καὶ ἀτελοῦς καὶ ἀδιαρθρώτου προστάτην καὶ σωφρονιστήν· διὸ τῷ στόματι τὸν δάκτυλον ἔχει προσκείμενον ἐχεμυθίας καὶ σιωπῆς σύμβολον· ἐν δὲ τῷ Μεσορὴ μηνὶ τῶν χεδρόπων ἐπιφέροντες λέγουσιν ‘γλῶσσα τύχη, γλῶσσα δαίμων.’ τῶν δ’ ἐν Αἰγύπτῳ φυτῶν μάλιστα τῇ θεῷ καθιερῶσθαι λέγουσι τὴν περσέαν, ὅτι καρδίᾳ μὲν ὁ καρπὸς αὐτῆς, γλώττῃ δὲ τὸ φύλλον ἔοικεν. οὐδὲν γὰρ ὧν ἄνθρωπος ἔχειν πέφυκε θειότερον λόγου καὶ μάλιστα τοῦ περὶ θεῶν, D οὐδὲ μείζονα ῥοπὴν ἔχει πρὸς εὐδαιμονίαν. διὸ τῷ μὲν εἰς τὸ χρηστήριον ἐνταῦθα κατιόντι παρεγγυῶμεν ὅσια φρονεῖν, εὔφημα λέγειν. οἱ δὲ πολλοὶ γελοῖα δρῶσιν ἐν ταῖς πομπαῖς καὶ ταῖς ἑορταῖς εὐφημίαν προκηρύττοντες, εἶτα περὶ τῶν θεῶν αὐτῶν τὰ δυσφημότατα καὶ λέγοντες καὶ διανοούμενοι.

69. Πῶς οὖν χρηστέον ἐστὶ ταῖς σκυθρωπαῖς καὶ ἀγελάστοις καὶ πενθίμοις θυσίαις, εἰ μήτε παραλείπειν τὰ νενομισμένα καλῶς ἔχει μήτε φύρειν τὰς περὶ θεῶν δόξας καὶ συνταράττειν ὑποψίαις ἀτόποις; καὶ παρ’ Ἕλλησιν ὅμοια πολλὰ γίγνεται περὶ τὸν αὐτὸν ὁμοῦ τι χρόνον, οἷς Αἰγύπτιοι δρῶσιν ἐν τοῖς E ὁσίοις. καὶ γὰρ Ἀθήνησι νηστεύουσιν αἱ γυναῖκες ἐν Θεσμοφορίοις χαμαὶ καθήμεναι. καὶ Βοιωτοὶ τὰ

3 χεδρόπων Emperius: χεδροπῶν 16 εὔφημα M: εὔσχημα 21 παραλείπειν *: παραλιπεῖν 26 ὁσίοις] ὁσιρείοις R

τῆς Ἀχαίας μέγαρα κινοῦσιν, ἐπαχθῆ τὴν ἑορτὴν ἐκείνην ὀνομάζοντες, ὡς διὰ τὴν τῆς κόρης κάθοδον ἐν ἄχει τῆς Δήμητρος οὔσης. ἔστι δ' ὁ μὴν οὗτος περὶ Πλειάδας σπόριμος, ὃν Ἀθὺρ Αἰγύπτιοι, Πυανεψιῶνα δ' Ἀθηναῖοι, Βοιωτοὶ δὲ Δαμάτριον καλοῦσι. τοὺς δὲ πρὸς ἑσπέραν οἰκοῦντας ἱστορεῖ Θεόπομπος ἡγεῖσθαι καὶ καλεῖν τὸν μὲν χειμῶνα Κρόνον, τὸ δὲ θέρος Ἀφροδίτην, τὸ δ' ἔαρ Περσεφόνην· ἐκ δὲ Κρόνου καὶ Ἀφροδίτης γεννᾶσθαι πάντα. Φρύγες F δὲ τὸν θεὸν οἰόμενοι χειμῶνος καθεύδειν, θέρους δ' ἐγρηγορέναι, τοτὲ μὲν κατευνασμούς, τοτὲ δ' ἀνεγέρσεις βακχεύοντες αὐτῷ τελοῦσι. Παφλαγόνες δὲ καταδεῖσθαι καὶ καθείργνυσθαι χειμῶνος, ἦρος δὲ κινεῖσθαι καὶ ἀναλύεσθαι φάσκουσι.

70. Καὶ δίδωσιν ὁ καιρὸς ὑπόνοιαν ἐπὶ τῶν καρπῶν τῇ ἀποκρύψει γενέσθαι τὸν σκυθρωπασμόν, οὓς οἱ παλαιοὶ θεοὺς μὲν οὐκ ἐνόμιζον, ἀλλὰ δῶρα θεῶν ἀναγκαῖα καὶ μεγάλα πρὸς τὸ μὴ ζῆν ἀγρίως καὶ θηριωδῶς. καθ' ἣν δὴ ὥραν τοὺς μὲν ἀπὸ 379 δένδρων ἑώρων ἀφανιζομένους παντάπασιν καὶ ἀπολείποντας, οὓς δὲ καὶ αὐτοὶ κατέσπειραν ὄντας ἔτι γλίσχρους καὶ ἀπόρους, διαμώμενοι ταῖς χερσὶ τὴν γῆν καὶ περιστέλλοντες αὖθις, ἐπ' ἀδήλῳ τῷ πάλιν ἐκτελεῖσθαι καὶ συντέλειαν ἕξειν ἀποθέμενοι, πολλὰ θάπτουσιν ὅμοια καὶ πενθοῦσιν ἔπραττον. εἶθ' ὥσπερ ἡμεῖς τὸν ὠνούμενον βιβλία Πλάτωνος ὠνεῖ-

1 Ἀχαίας *: ἀχαιᾶς 4 Πλειάδας Halmius: πλειάδα 6 Θεόπομπος] Mueller. 1 p. 328 19 δὴ Squirius: δὲ ἀπὸ] ἀπὸ τῶν R 21 κατέσπειραν ὄντας *: κατασπείραντες 22 γλίσχρους καὶ ἀπόρους Baxterus: γλίσχρως καὶ ἀπόρως

σθαί φαμεν Πλάτωνα, καὶ Μένανδρον ὑποκρίνεσθαι τὸν τὰ Μενάνδρου ποιήμαθ' ὑποτιθέμενον, οὕτως ἐκεῖνοι τοῖς τῶν θεῶν ὀνόμασι τὰ τῶν θεῶν δῶρα B καὶ ποιήματα καλεῖν οὐκ ἐφείδοντο, τιμῶντες ὑπὸ χρείας καὶ σεμνύνοντες. οἱ δ' ὕστερον ἀπαιδεύτως δεχόμενοι καὶ ἀμαθῶς ἀναστρέφοντες ἐπὶ τοὺς θεοὺς τὰ πάθη τῶν καρπῶν, καὶ τὰς παρουσίας τῶν ἀναγκαίων καὶ ἀποκρύψεις θεῶν γενέσεις καὶ φθορὰς οὐ προσαγορεύοντες μόνον ἀλλὰ καὶ νομίζοντες, ἀτόπων καὶ παρανόμων καὶ τεταραγμένων δοξῶν αὑτοὺς ἐνέπλησαν, καίτοι τοῦ παραλόγου τὴν ἀτοπίαν ἐν ὀφθαλμοῖς ἔχοντες. εὖ μὲν οὖν Ξενοφάνης ὁ Κολοφώνιος ἠξίωσε τοὺς Αἰγυπτίους, εἰ θεοὺς νομίζουσι, C μὴ θρηνεῖν, εἰ δὲ θρηνοῦσι, θεοὺς μὴ νομίζειν· ἀλλ' ὅτι γελοῖον ἅμα θρηνοῦντας εὔχεσθαι τοὺς καρποὺς πάλιν ἀναφαίνειν καὶ τελειοῦν ἑαυτοῖς, ὅπως πάλιν ἀναλίσκωνται καὶ θρηνῶνται· (71) τὸ δ' οὐκ ἔστι τοιοῦτον, ἀλλὰ θρηνοῦσι μὲν τοὺς καρπούς, εὔχονται δὲ τοῖς αἰτίοις καὶ δοτῆρσι θεοῖς ἑτέρους πάλιν νέους ποιεῖν καὶ ἀναφύειν ἀντὶ τῶν ἀπολλυμένων. ὅθεν ἄριστα λέγεται παρὰ τοῖς φιλοσόφοις τὸ τοὺς μὴ μανθάνοντας ὀρθῶς ἀκούειν ὀνομάτων κακῶς χρῆσθαι καὶ τοῖς πράγμασιν· ὥσπερ Ἑλλήνων οἱ τὰ χαλκᾶ καὶ τὰ γραπτὰ καὶ λίθινα μὴ μαθόντες μηδ' ἐθισθέντες ἀγάλματα καὶ τιμὰς θεῶν,

1 ὑποκρίνεσθαι τὸν Basileensis: τὸν ὑποκρίνεσθαι 12 εὖ μὲν οὖν *: οὐ μόνον 13 ἠξίωσε W: ἢ ἑξῆς οἱ 15 γελοῖον] sc. ἐστι 17 τὸ δ'] cf. Vit. Cic. c. 13, ubi corr. οἱ δ' (pro οἴδ') ἀπελθόντες

ἀλλὰ θεοὺς καλεῖν, εἶτα τολμῶντες λέγειν, ὅτι τὴν D Ἀθηνᾶν Λαχάρης ἐξέδυσε, τὸν δ' Ἀπόλλωνα χρυσοῦς βοστρύχους ἔχοντα Διονύσιος ἀπέκειρεν, ὁ δὲ Ζεὺς ὁ Καπετώλιος περὶ τὸν ἐμφύλιον πόλεμον ἐνεπρήσθη καὶ διεφθάρη, λανθάνουσι συνεφελκόμενοι καὶ παραδεχόμενοι δόξας πονηρὰς ἑπομένας τοῖς ὀνόμασιν. τοῦτο δ' οὐχ ἥκιστα πεπόνθασιν Αἰγύπτιοι περὶ τὰ τιμώμενα τῶν ζῴων. Ἕλληνες μὲν γὰρ ἔν γε τούτοις λέγουσιν ὀρθῶς καὶ νομίζουσιν ἱερὸν Ἀφροδίτης ζῷον εἶναι τὴν περιστερὰν καὶ τὸν δράκοντα τῆς Ἀθηνᾶς καὶ τὸν κόρακα τοῦ Ἀπόλλωνος καὶ τὸν κύνα τῆς Ἀρτέμιδος, ὡς Εὐριπίδης

"Ἑκάτης ἄγαλμα φωσφόρου κύων ἔσῃ." E

Αἰγυπτίων δ' οἱ πολλοὶ θεραπεύοντες αὐτὰ τὰ ζῷα καὶ περιέποντες ὡς θεοὺς οὐ γέλωτος μόνον οὐδὲ χλευασμοῦ καταπεπλήκασι τὰς ἱερουργίας (ἀλλὰ τοῦτο τῆς ἀβελτερίας ἐλάχιστόν ἐστι κακόν)· δόξα δ' ἐμφύεται δεινή, τοὺς μὲν ἀσθενεῖς καὶ ἀκάκους εἰς ἄκρατον ὑπερείπουσα τὴν δεισιδαιμονίαν, τοῖς δὲ δριμυτέροις καὶ θρασυτέροις εἰς ἀθέους ἐκπίπτουσα καὶ θηριώδεις λογισμούς. ᾗ καὶ περὶ τούτων τὰ εἰκότα διελθεῖν οὐκ ἀνάρμοστόν ἐστι.

72. Τὸ μὲν γὰρ εἰς ταῦτα τὰ ζῷα τοὺς θεοὺς τὸν Τυφῶνα δείσαντας μεταβαλεῖν, οἷον ἀποκρύ- F

5 λανθάνουσι Baxterus: μανθάνουσι συνεφελκόμενοι*: οὖν ἐφελκόμενοι 13 Nauck. p. 525 ἔσῃ X: ἐσσίν 16 τοῦτο] τοῦτο μὲν R 17 ἀβελτερίας *: ἀβελτηρίας 19 ὑπερείπουσα R: ὑπερείδουσα 20 ἐκπίπτουσα R: ἐμπίπτουσα 21 ᾗ X: ἢ

πτοντας ἑαυτοὺς σώμασιν ἴβεων καὶ κυνῶν καὶ ἱεράκων, πᾶσαν ὑπερπέπαικε τερατείαν καὶ μυθολογίαν· καὶ τὸ ταῖς ψυχαῖς τῶν θανόντων ὅσαι διαμένουσιν εἰς ταῦτα μόνα γίγνεσθαι τὴν παλιγγενεσίαν ὁμοίως ἄπιστον. τῶν δὲ βουλομένων πολιτικήν τινα λέγειν αἰτίαν οἱ μὲν Ὄσιριν ἐν τῇ μεγάλῃ στρατιᾷ φασιν εἰς μέρη πολλὰ διανείμαντα τὴν δύναμιν (λόχους καὶ τάξεις Ἑλληνικῶς καλοῦσιν), ἐπίσημα δοῦναι ζῳόμορφα πᾶσιν, ὧν ἕκαστον τῷ γένει τῶν συννεμη-
380 θέντων ἱερὸν γενέσθαι καὶ τίμιον· οἱ δὲ τοὺς ὕστερον βασιλεῖς ἐκπλήξεως ἕνεκα τῶν πολεμίων ἐπιφαίνεσθαι θηρίων χρυσᾶς προτομὰς καὶ ἀργυρᾶς περιτιθεμένους· ἄλλοι δὲ τῶν δεινῶν τινα καὶ πανούργων βασιλέων ἱστοροῦσι τοὺς Αἰγυπτίους καταμαθόντα τῇ μὲν φύσει κούφους καὶ πρὸς μεταβολὴν καὶ νεωτερισμὸν ὀξυρρόπους ὄντας, ἄμαχον δὲ καὶ δυσκάθεκτον ὑπὸ πλήθους δύναμιν ἐν τῷ συμφρονεῖν καὶ κοινοπραγεῖν ἔχοντας, ἀίδιον αὐτοῖς ἐγκατα-
B σπεῖραι δείξαντα δεισιδαιμονίαν, διαφορᾶς ἀπαύστου πρόφασιν. τῶν γὰρ θηρίων, ἃ προσέταξεν ἄλλοις ἄλλα τιμᾶν καὶ σέβεσθαι, δυσμενῶς καὶ πολεμικῶς ἀλλήλοις προσφερομένων, καὶ τροφὴν ἑτέραν ἑτέρου προσίεσθαι πεφυκότος, ἀμύνοντες ἀεὶ τοῖς οἰκείοις ἕκαστοι καὶ χαλεπῶς ἀδικουμένων φέροντες ἐλάνθανον ταῖς τῶν

8 Ἑλληνικῶς X: ἑλληνικὰς δοῦναι Marklandus: δοῦναι καὶ 9 ἕκαστον τῷ Salmasius: ἑκάστῳ 13 δεινῶν M: δὲ τῶν 17 συμφρονεῖν Marklandus: σωφρονεῖν 18 ἐγκατασπεῖραι M: ἐν κατασπορᾷ 22 ἑτέρου R: ἑτέρους 23 πεφυκότος R: πεφυκότας ἀμύνοντες X: ἀμύνοντας

θηρίων ἔχθραις συνεφελκόμενοι καὶ συνεκπολεμούμενοι πρὸς ἀλλήλους. μόνοι γὰρ ἔτι νῦν Αἰγυπτίων Λυκοπολῖται πρόβατον ἐσθίουσιν, ἐπεὶ καὶ λύκος, ὃν θεὸν νομίζουσιν· οἱ δ' Ὀξυρυγχῖται καθ' ἡμᾶς, τῶν Κυνοπολιτῶν τὸν ὀξύρυγχον ἰχθὺν ἐσθιόντων, κύνα συλλαβόντες καὶ θύσαντες ὡς ἱερεῖον κατέφαγον· ἐκ δὲ τούτου καταστάντες εἰς πόλεμον ἀλλήλους τε C διέθηκαν κακῶς καὶ ὕστερον ὑπὸ Ῥωμαίων κολαζόμενοι διετέθησαν.

73. Πολλῶν δὲ λεγόντων εἰς ταῦτα τὰ ζῷα τὴν τοῦ Τυφῶνος αὐτοῦ διῃρῆσθαι ψυχήν, αἰνίττεσθαι δόξειεν ἂν ὁ μῦθος, ὅτι πᾶσα φύσις ἄλογος καὶ θηριώδης τῆς τοῦ κακοῦ δαίμονος γέγονε μοίρας, κἀκεῖνον ἐκμειλισσόμενοι καὶ παρηγοροῦντες περιέπουσι ταῦτα καὶ θεραπεύουσιν· ἂν δὲ πολὺς ἐμπίπτῃ καὶ χαλεπὸς αὐχμοὺς ἐπάγων ὑπερβάλλοντας ἢ νόσους ὀλεθρίους ἢ συμφορὰς ἄλλας παραλόγους καὶ ἀλλοκότους, ἔνια τῶν τιμωμένων οἱ ἱερεῖς ἀπάγοντες ὑπὸ σκότῳ μετὰ σιωπῆς καὶ ἡσυχίας ἀπειλοῦσι καὶ δεδίττονται τὸ πρῶτον, ἂν δ' ἐπιμένῃ, καθιερεύουσι καὶ σφάττουσιν, D ὡς δή τινα κολασμὸν ὄντα τοῦ δαίμονος τοῦτον ἢ καθαρμὸν ἄλλως μέγαν ἐπὶ μεγίστοις· καὶ γὰρ ἐν Εἰλειθυίας πόλει ζῶντας ἀνθρώπους κατεπίμπρασαν ὡς Μανεθὼς ἱστόρηκε, Τυφωνείους καλοῦντες, καὶ τὴν τέφραν αὐτῶν λικμῶντες ἠφάνιζον καὶ διέσπειρον. ἀλλὰ τοῦτο μὲν ἐδρᾶτο φανερῶς καὶ καθ' ἕνα

1 συνεφελκόμενοι W: συνελκόμενοι 6 κύνα R: κύνας 16 αὐχμοὺς W: αὐχμὸς ὑπερβάλλοντας idem: ὑπερβαλλόντως 20 καθιερεύουσι R: καθιεροῦσι 23 Εἰλειθυίας Partheius: ἰδιθύας 24 Τυφωνείους Squirius: τυφωνίους

καιρὸν ἐν ταῖς κυνάσιν ἡμέραις· αἱ δὲ τῶν τιμωμένων ζῴων καθιερεύσεις ἀπόρρητοι καὶ χρόνοις
E ἀτάκτοις πρὸς τὰ συμπίπτοντα γιγνόμεναι τοὺς πολλοὺς λανθάνουσι, πλὴν ὅταν ταφὰς ἔχωσι, καὶ τῶν ἄλλων ἀναδεικνύντες ἔνια πάντων παρόντων συνεμβάλλωσιν, οἰόμενοι τοῦ Τυφῶνος ἀντιλυπεῖν καὶ κολούειν τὸ ἡδόμενον. ὁ γὰρ Ἆπις δοκεῖ μετ᾽ ὀλίγων ἄλλων ἱερὸς εἶναι τοῦ Ὀσίριδος· ἐκείνῳ δὲ τὰ πλεῖστα προσνέμουσι. κἂν ἀληθὴς ὁ λόγος οὗτος ᾖ, συμβαίνειν ἡγοῦμαι τὸ ζητούμενον ἐπὶ τῶν ὁμολογουμένων καὶ κοινὰς ἐχόντων τὰς τιμάς, οἷόν ἐστιν ἶβις καὶ ἱέραξ καὶ κυνοκέφαλος, αὐτὸς ὁ Ἆπις **· οὕτω δὴ γὰρ τὸν ἐν Μένδητι τράγον καλοῦσι.

F 74. Λείπεται δὲ δὴ τὸ χρειῶδες καὶ τὸ συμβολικόν, ὧν ἔνια θατέρου, πολλὰ δ᾽ ἀμφοῖν μετέσχηκε. βοῦν μὲν οὖν καὶ πρόβατον καὶ ἰχνεύμονα δῆλον ὅτι χρείας ἕνεκα καὶ ὠφελείας ἐτίμησαν (ὡς Λήμνιοι κορύδους, τὰ τῶν ἀττελάβων εὑρίσκοντας ᾠὰ καὶ κόπτοντας· Θεσσαλοὶ δὲ πελαργούς, ὅτι πολλοὺς ὄφεις τῆς γῆς ἀναδιδούσης ἐπιφανέντες ἐξώλεσαν ἅπαντας· διὸ καὶ νόμον ἔθεντο φεύγειν ὅστις ἂν ἀποκτείνῃ πελαργόν), ἀσπίδα δὲ καὶ γαλῆν καὶ κάνθαρον,
381 εἰκόνας τινὰς ἐν αὐτοῖς ἀμαυρὰς ὥσπερ ἐν σταγόσιν ἡλίου τῆς τῶν θεῶν δυνάμεως κατιδόντες· τὴν μὲν γὰρ γαλῆν ἔτι πολλοὶ νομίζουσι καὶ λέγουσι κατὰ τὸ οὖς ὀχευομένην, τῷ δὲ στόματι τίκτουσαν, εἴκασμα

4 ταφὰς] Ἄπιδος ταφὰς X. τὰς Ἄπιδος ταφάς? 5 συνεμβάλλωσιν *: συνεμβάλωσιν 9 ᾖ, συμβαίνειν *: σημαίνειν 12 Ἆπις] add. καὶ ὁ Μένδης Semlerus. Alii alia. Addidi lacunam.

τῆς τοῦ λόγου γενέσεως εἶναι· τὸ δὲ κανθάρων γένος οὐκ ἔχειν θήλειαν, ἄρρενας δὲ πάντας ἀφιέναι τὸν γόνον εἰς τὴν σφαιροποιουμένην ὕλην, ἣν κυλινδοῦσιν ἀντιβάδην ὠθοῦντες, ὥσπερ δοκεῖ τὸν οὐρανὸν ὁ ἥλιος ἐς τοὐναντίον περιστρέφειν, αὐτὸς ἀπὸ δυσμῶν ἐπὶ τὰς ἀνατολὰς φερόμενος. ἀσπίδα δ' ὡς ἀγήρων B καὶ χρωμένην κινήσεσιν ἀνοργάνοις μετ' εὐπετείας καὶ ὑγρότητος ἄστρῳ προσείκασαν.

75. Οὐ μὴν οὐδ' ὁ κροκόδειλος αἰτίας πιθανῆς ἀμοιροῦσαν ἔσχηκε τιμήν, ἀλλὰ μίμημα θεοῦ λέγεται γεγονέναι, μόνος μὲν ἄγλωσσος ὤν. φωνῆς γὰρ ὁ θεῖος λόγος ἀπροσδεής ἐστι, καί 'δι' ἀψόφου βαίνων κελεύθου κατὰ δίκην τὰ θνήτ' ἄγει'. μόνου δέ φασιν ἐν ὑγρῷ διαιτωμένου τὰς ὄψεις ὑμένα λεῖον καὶ διαφανῆ παρακαλύπτειν ἐκ τοῦ μετώπου κατερχόμενον, ὥστε βλέπειν μὴ βλεπόμενον, ὃ τῷ πρώτῳ θεῷ συμβέβηκεν. ὅπου δ' ἂν ἡ θήλεια τῆς χώρας ἀποτέκῃ, τοῦτο Νείλου πέρας ἐπίσταται τῆς αὐξήσεως γενόμενον. C ἐν ὑγρῷ γὰρ οὐ δυνάμεναι, πόρρω δὲ φοβούμεναι τίκτειν, οὕτως ἀκριβῶς προαισθάνονται τὸ μέλλον, ὥστε τῷ ποταμῷ προσελθόντι χρῆσθαι λοχευόμεναι καὶ θάλπουσαι, τὰ δ' ᾠὰ ξηρὰ καὶ ἄβρεκτα φυλάσσειν. ἑξήκοντα δὲ τίκτουσιν, καὶ τοσαύταις ἡμέραις ἐκλέπουσι, καὶ τοσούτους ζῶσιν

8 ἄστρῳ X: ἄστρῳ ἢ 10 μίμημα Basileensis: οὐ μίμημα 12 δι' ἀψόφου] Eurip. Tro. 887 13 κατὰ δίκην Cobetus: καὶ δίκης θνήτ' idem: θνητὰ ἄγει idem: ἄγει κατὰ δίκην 16 ὃ M: ᾧ 19 γινόμενον vel γενησόμενον Halmius δυνάμεναι — φοβούμεναι M: δυνάμενοι — φοβούμενοι 23 κἂν τοσαύταις?

ἐνιαυτοὺς οἱ μακρότατον ζῶντες, ὃ τῶν μέτρων πρῶτόν ἐστι τοῖς περὶ τὰ οὐράνια πραγματευομένοις. ἀλλὰ μὴν τῶν δι᾽ ἀμφότερα τιμωμένων περὶ μὲν τοῦ κυνὸς εἴρηται πρόσθεν· ἡ δ᾽ ἶβις ἀποκτείνουσα D μὲν τὰ θανατηφόρα τῶν ἑρπετῶν ἐδίδαξε πρώτη κενώματος ἰατρικοῦ χρείαν κατιδόντας οὕτω κλυζομένην καὶ καθαιρομένην ὑφ᾽ ἑαυτῆς· οἱ δὲ νομιμώτατοι τῶν ἱερέων καθάρσιον ὕδωρ ἁγνιζόμενοι λαμβάνουσιν ὅθεν ἶβις πέπωκεν· οὐ πίνει γὰρ ἢ νοσῶδες ἢ πεφαρμαγμένον οὐδὲ πρόσεισι. τῇ δὲ τῶν ποδῶν διαστάσει πρὸς ἀλλήλους καὶ τὸ ῥύγχος ἰσόπλευρον ποιεῖ τρίγωνον· ἔτι δ᾽ ἡ τῶν μελάνων πτερῶν πρὸς τὰ λευκὰ ποικιλία καὶ μῖξις ἐμφαίνει σελήνην ἀμφίκυρτον. οὐ δεῖ δὲ θαυμάζειν, εἰ γλίσχρας ὁμοιότητας οὕτως ἠγάπησαν Αἰγύπτιοι. καὶ γὰρ καὶ Ἕλληνες ἔν τε γραπτοῖς ἔν τε πλαστοῖς εἰκάσμασι θεῶν E ἐχρήσαντο πολλοῖς τοιούτοις· οἷον ἐν Κρήτῃ Διὸς ἦν ἄγαλμα μὴ ἔχον ὦτα· τῷ γὰρ ἄρχοντι καὶ κυρίῳ πάντων οὐδενὸς ἀκούειν προσήκει. τῷ δὲ τῆς Ἀθηνᾶς τὸν δράκοντα Φειδίας παρέθηκε, τῷ δὲ τῆς Ἀφροδίτης ἐν Ἤλιδι τὴν χελώνην, ὡς τὰς μὲν παρθένους φυλακῆς δεομένας, ταῖς δὲ γαμεταῖς οἰκουρίαν καὶ F σιωπὴν πρέπουσαν. ἡ δὲ τοῦ Ποσειδῶνος τρίαινα σύμβολόν ἐστι τῆς τρίτης χώρας, ἣν θάλαττα κατέχει μετὰ τὸν οὐρανὸν καὶ τὸν ἀέρα τεταγμένη. διὸ καὶ τὴν Ἀμφιτρίτην καὶ τοὺς Τρίτωνας οὕτως ὠνό-

6 οὕτω κλυζομένην] ὑποκλυζομένην R 9 ἢ] del. Duebnerus 11 διαστάσει Böttcherus: διαβάσει καὶ τὸ] i. e. καὶ πρὸς τὸ 13 πρὸς R: περὶ 15 καὶ γὰρ καὶ X: καὶ

μασαν. οἱ δὲ Πυθαγόρειοι καὶ ἀριθμοὺς καὶ σχήματα θεῶν ἐκόσμησαν προσηγορίαις. τὸ μὲν γὰρ ἰσόπλευρον τρίγωνον ἐκάλουν Ἀθηνᾶν κορυφαγενῆ καὶ τριτογένειαν, ὅτι τρισὶ καθέτοις ἀπὸ τῶν τριῶν γωνιῶν ἀγομέναις διαιρεῖται· τὸ δ' ἓν Ἀπόλλωνα πλήθους ἀποφάσει καὶ δι' ἁπλότητα τῆς μονάδος· ἔριν δὲ τὴν δυάδα καὶ τόλμαν· δίκην δὲ τὴν τριάδα, τοῦ γὰρ ἀδικεῖν καὶ ἀδικεῖσθαι κατ' ἔλλειψιν καὶ ὑπερβολὴν ὄντος, ἰσότητι δίκαιον ἐν μέσῳ γέγονεν· ἡ δὲ καλουμένη τετρακτύς, τὰ ἓξ καὶ τριάκοντα, μέγιστος ἦν ὅρκος, ὡς τεθρύληται, καὶ κόσμος ὠνόμασται, 382 τεσσάρων μὲν ἀρτίων τῶν πρώτων, τεσσάρων δὲ τῶν περισσῶν εἰς ταὐτὸ συντιθεμένων, ἀποτελούμενος.

76. Εἴπερ οὖν οἱ δοκιμώτατοι τῶν φιλοσόφων οὐδ' ἐν ἀψύχοις καὶ ἀσωμάτοις πράγμασιν αἴνιγμα τοῦ θείου κατιδόντες ἠξίουν ἀμελεῖν οὐδὲν οὐδ' ἀτιμάζειν, ἔτι μᾶλλον οἴομαι τὰς ἐν αἰσθανομέναις καὶ ψυχὴν ἐχούσαις καὶ πάθος καὶ ἦθος φύσεσιν ἰδιότητας ἀγαπητέον οὖν, οὐ ταῦτα τιμῶντας, ἀλλὰ διὰ τούτων τὸ θεῖον, ὡς ἐναργεστέρων ἐσόπτρων καὶ φύσει γεγονότων, ὡς ὄργανον ἢ τέχνην ἀεὶ τοῦ πάντα B κοσμοῦντος θεοῦ νομίζειν· καὶ ὅλως ἀξιοῦν γε μηδὲν ἄψυχον ἐμψύχου μηδ' ἀναίσθητον αἰσθανομένου

6 πλήθους ἀποφάσει καὶ δι' ἁπλότητα τῆς Böttcherus: πείθουσα προφάσει καὶ διπλοτάτης 7 τόλμαν] πόλεμον R 9 ἰσότητι] ἰσότης καὶ Emperius 13 ταὐτὸ *: τὸ αὐτὸ 14 ἀποτελουμένη Holwerda 16 αἴνιγμα] μίμημα M 20 ἀγαπητέον *: κατὰ τὸ ἦθος ἀγαπητέον οὖν] εἶναι? 22 ὡς] καὶ? τέχνην ἀεὶ] τέχνημα δεῖν? 23 καὶ ὅλως Bentleius: καλῶς γε R: τε

κρεῖττον εἶναι, μηδ᾽ ἂν τὸν σύμπαντά τις χρυσὸν ὁμοῦ καὶ σμάραγδον εἰς ταὐτὸ συμφορήσῃ. οὐκ ἐν χρόαις γὰρ οὐδ᾽ ἐν σχήμασιν οὐδ᾽ ἐν λειότησιν ἐγγίγνεται τὸ θεῖον, ἀλλ᾽ ἀτιμοτέραν ἔχει νεκρῶν μοῖραν, ὅσα μὴ μετέσχε, μηδὲ μετέχειν τοῦ ζῆν πέφυκεν. ἡ δὲ ζῶσα καὶ βλέπουσα καὶ κινήσεως ἀρχὴν ἐξ αὑτῆς ἔχουσα καὶ γνῶσιν οἰκείων καὶ ἀλ- C λοτρίων φύσις κάλλους τ᾽ ἔσπακεν ἀπορροὴν καὶ μοῖραν ἐκ τοῦ φρονοῦντος, ʽὅτῳ κυβερνᾶται τὸ σύμπαν᾽ καθ᾽ Ἡράκλειτον. ὅθεν οὐ χεῖρον ἐν τούτοις εἰκάζεται τὸ θεῖον ἢ χαλκοῖς καὶ λιθίνοις δημιουργήμασιν, ἃ φθορὰς μὲν ὁμοίως δέχεται καὶ ἐπιχρώσεις, αἰσθήσεως δὲ πάσης φύσει καὶ συνέσεως ἐστέρηται. περὶ μὲν οὖν τῶν τιμωμένων ζῴων ταῦτα δοκιμάζω μάλιστα τῶν λεγομένων.

77. Στολαὶ δ᾽ αἱ μὲν Ἴσιδος ποικίλαι ταῖς βαφαῖς (περὶ γὰρ ὕλην ἡ δύναμις αὐτῆς πάντα γιγνομένην καὶ δεχομένην, φῶς σκότος, ἡμέραν νύκτα, πῦρ ὕδωρ, ζωὴν θάνατον, ἀρχὴν τελευτήν)· ἡ δ᾽ Ὀσίριδος οὐκ ἔχει σκιὰν οὐδὲ ποικιλμόν, ἀλλ᾽ ἓν D ἁπλοῦν τὸ φωτοειδές· ἄκρατον γὰρ ἡ ἀρχὴ καὶ ἀμιγὲς τὸ πρῶτον καὶ νοητόν. ὅθεν ἅπαξ ταύτην ἀναλαβόντες ἀποτίθενται καὶ φυλάττουσιν ἀόρατον καὶ ἄψαυστον. ταῖς δ᾽ Ἰσιακαῖς χρῶνται πολλάκις· ἐν

3 χρόαις*: χροιαῖς 8 κάλλους τ᾽ Papabasiliu coll. Plat. Phaedr. p. 251b: ἄλλως τε 9 ὅτῳ Marklandus: ὅπως τὸ Bentleius: τό τε 10 ʽΗράκλειτον] Mullach. 1 p. 323 11 χαλκοῖς Salmasius: χαλκείοις 12 πηρώσεις Emperius 22 ταύτην Marklandus: ταῦτα 24 ταῖς δ᾽ Ἰσιακαῖς idem: τοῖς δ᾽ ἰσιακοῖς

χρήσει γὰρ τὰ αἰσθητὰ καὶ πρόχειρα ὄντα πολλὰς ἀναπτύξεις καὶ θέας αὐτῶν ἄλλοτ᾽ ἄλλως ἀμειβομένων δίδωσιν. ἡ δὲ τοῦ νοητοῦ καὶ εἰλικρινοῦς καὶ ἁπλοῦ νόησις ὥσπερ ἀστραπὴ διαλάμψασα τῆς ψυχῆς ἅπαξ ποτὲ θιγεῖν καὶ προσιδεῖν παρέσχε. διὸ καὶ Πλάτων καὶ Ἀριστοτέλης ἐποπτικὸν τοῦτο τὸ μέρος τῆς φιλοσοφίας καλοῦσιν, ὡς οἱ τὰ δοξαστὰ καὶ μικτὰ καὶ παντοδαπὰ ταῦτα παραμειψάμενοι τῷ λόγῳ, πρὸς E τὸ πρῶτον ἐκεῖνο καὶ ἁπλοῦν καὶ ἄυλον ἐξάλλονται, καὶ θιγόντες ἁπλῶς τῆς περὶ αὐτὸ καθαρᾶς ἀληθείας οἷον ἐντελῆ τέλος ἔχειν φιλοσοφίαν νομίζουσι.

78. Καὶ τοῦθ᾽ ὅπερ οἱ νῦν ἱερεῖς ἀφοσιούμενοι καὶ παρακαλυπτόμενοι μετ᾽ εὐλαβείας ὑποδηλοῦσιν, ὡς ὁ θεὸς οὗτος ἄρχει καὶ βασιλεύει τῶν τεθνηκότων οὐχ ἕτερος ὢν τοῦ καλουμένου παρ᾽ Ἕλλησιν Ἅιδου καὶ Πλούτωνος, ἀγνοούμενον ὅπως ἀληθές ἐστι, διαταράττει τοὺς πολλοὺς ὑπονοοῦντας ἐν γῇ καὶ ὑπὸ γῆν τὸν ἱερὸν καὶ ὅσιον ὡς ἀληθῶς Ὄσιριν οἰκεῖν, ὅπου τὰ σώματα κρύπτεται τῶν τέλος ἔχειν F δοκούντων. ὁ δ᾽ ἔστι μὲν αὐτὸς ἀπωτάτω τῆς γῆς ἄχραντος καὶ ἀμίαντος καὶ καθαρὸς οὐσίας ἁπάσης φθορὰν δεχομένης καὶ θάνατον. ἀνθρώπων δὲ ψυχαῖς ἐνταυθοῖ μὲν ὑπὸ σωμάτων καὶ παθῶν περιεχομέναις οὐκ ἔστι μετουσία τοῦ θεοῦ, πλὴν ὅσον ὀνείρατος

2 αὐτῶν Holwerda: αὑτῶν 4 ἁπλοῦ Emperius: ἁγίου τῇ ψυχῇ Marklandus 5 παρέσχε Bentleius: προσέσχε 6 Πλάτων] Symp. p. 210a 7 ὡς οἱ] καὶ ὅσοι Halmius 10 ἁπλῶς R: ἄλλως 11 ἐντελῆ] ἐν τελετῇ R φιλοσοφίας R 17 διαταράττει X: διαταράττειν 23 ἐνταυθοῖ] ἐνταυθὶ Holwerda

ἀμαυροῦ θιγεῖν νοήσει διὰ φιλοσοφίας· ὅταν δ' ἀπολυθεῖσαι μεταστῶσιν εἰς τὸ ἀειδὲς καὶ ἀόρατον
383 καὶ ἀπαθὲς καὶ ἁγνόν, οὗτος αὐταῖς ἡγεμών ἐστι καὶ βασιλεὺς ὁ θεός, ὡς ἂν ἐξηρτημέναις ἀπ' αὐτοῦ καὶ θεωμέναις ἀπλήστως καὶ ποθούσαις τὸ μὴ φατὸν μηδὲ ῥητὸν ἀνθρώποις κάλλος· οὗ τὴν Ἶσιν ὁ παλαιὸς ἀποφαίνει λόγος ἐρῶσαν ἀεὶ καὶ διώκουσαν καὶ συνοῦσαν ἀναπιμπλάναι τὰ ἐνταῦθα πάντων καλῶν καὶ ἀγαθῶν, ὅσα γενέσεως μετέσχηκε. ταῦτα μὲν οὖν οὕτως ἔχει τὸν μάλιστα θεοῖς πρέποντα λόγον.

79. *Εἰ δὲ καὶ περὶ τῶν θυμιωμένων ἡμέρας ἑκάστης εἰπεῖν, ὥσπερ ὑπεσχόμην, ἐκεῖνο ἂν διανοηθείη τις πρότερον, ὡς ἀεὶ μὲν οἱ ἄνδρες ἐν
B σπουδῇ μεγίστῃ τίθενται τὰ πρὸς ὑγίειαν ἐπιτηδεύματα, μάλιστα δ' ἐν ταῖς ἱερουργίαις καὶ ταῖς ἁγνείαις καὶ διαίταις οὐχ ἧττόν ἐστι τοῦ ὁσίου τὸ ὑγιεινόν. οὐ γὰρ ᾤοντο καλῶς ἔχειν οὔτε σώμασιν οὔτε ψυχαῖς ὑπούλοις καὶ νοσώδεσι θεραπεύειν τὸ καθαρὸν καὶ ἀβλαβὲς πάντῃ καὶ ἀμίαντον. ἐπεὶ τοίνυν ὁ ἀήρ, ᾧ πλεῖστα χρώμεθα καὶ σύνεσμεν, οὐκ ἀεὶ τὴν αὐτὴν ἔχει διάθεσιν καὶ κρᾶσιν, ἀλλὰ νύκτωρ πυκνοῦται καὶ πιέζει τὸ σῶμα καὶ συνάγει τὴν ψυχὴν εἰς τὸ δύσθυμον καὶ πεφροντι-
C κὸς οἷον ἀχλυώδη γιγνομένην καὶ βαρεῖαν, ἀναστάντες εὐθὺς ἐπιθυμιῶσι ῥητίνην, θεραπεύοντες καὶ καθαί-

4 ὡς ἂν ἐξηρτημέναις W: ἐξηρτημέναις ὡς ἂν 6 ῥητὸν] ὁρατὸν W 8 πάντων] πάντα W 13 ἂν * 15 ὑγίειαν *: ὑγείαν 16 δ' ἐν Marklandus: δὲ 17 ἐστι *: ἐστι τουτὶ

ροντες τὸν ἀέρα τῇ διακρίσει καὶ τὸ σύμφυτον τῷ σώματι πνεῦμα μεμαρασμένον ἀναρριπίζοντες, ἐχούσης τι τῆς ὀσμῆς σφοδρὸν καὶ καταπληκτικόν. αὖθις δὲ μεσημβρίας αἰσθανόμενοι σφόδρα πολλὴν καὶ βαρεῖαν ἀναθυμίασιν ἀπὸ γῆς ἕλκοντα βίᾳ τὸν ἥλιον καὶ καταμιγνύοντα τῷ ἀέρι, τὴν σμύρναν ἐπιθυμιῶσι. διαλύει γὰρ ἡ θερμότης καὶ σκίδνησι τὸ συνιστάμενον ἐν τῷ περιέχοντι θολερὸν καὶ ἰλυῶδες. καὶ γὰρ οἱ ἰατροὶ πρὸς τὰ λοιμικὰ πάθη βοηθεῖν δοκοῦσι φλόγα πολλὴν ποιοῦντες ὡς λεπτύνουσαν τὸν ἀέρα· λεπτύνει δὲ βέλτιον, ἐὰν εὐώδη ξύλα κάωσιν, οἷα D κυπαρίττου καὶ ἀρκεύθου καὶ πεύκης. Ἄκρωνα γοῦν τὸν ἰατρὸν ἐν Ἀθήναις ὑπὸ τὸν μέγαν λοιμὸν εὐδοκιμῆσαι λέγουσι, πῦρ κελεύοντα παρακάειν τοῖς νοσοῦσιν· ὤνησε γὰρ οὐκ ὀλίγους. Ἀριστοτέλης δέ φησι καὶ μύρων καὶ ἀνθέων καὶ λειμώνων εὐώδεις ἀποπνοίας οὐκ ἔλαττον ἔχειν τοῦ πρὸς ἡδονὴν τὸ πρὸς ὑγίειαν, ψυχρὸν ὄντα φύσει καὶ παγετώδη τὸν ἐγκέφαλον ἠρέμα τῇ θερμότητι καὶ λειότητι διαχεούσας. εἰ δὲ καὶ τὴν σμύρναν παρ' Αἰγυπτίοις βὰλ καλοῦσιν, ἐξερμηνευθὲν δὲ τοῦτο μάλιστα φράζει τῆς ληρήσεως ἐκσκορπισμόν, ἔστιν ἣν καὶ τοῦτο μαρτυρίαν τῷ λόγῳ τῆς αἰτίας δίδωσιν.

80. Τὸ δὲ κῦφι μῖγμα μὲν ἑκκαίδεκα μερῶν E συντιθεμένων ἐστί, μέλιτος καὶ οἴνου καὶ σταφίδος καὶ κυπείρου, ῥητίνης τε καὶ σμύρνης καὶ ἀσπαλάθου

6 καταμιγνύοντα X: καταμιγνύοντες 21 βὰλ] σὰλ Iablonskius 24 μερῶν Emperius: μνῶν 26 κυπείρου *: κυπέρου

καὶ σεσέλεως, ἔτι δὲ σχίνου τε καὶ ἀσφάλτου καὶ θρύου καὶ λαπάθου, πρὸς δὲ τούτοις ἀρκευθίδων ἀμφοῖν (ὧν τὴν μὲν μείζονα τὴν δ᾽ ἐλάττονα καλοῦσι) καὶ καρδαμώμου καὶ καλάμου. συντίθενται δ᾽ οὐχ ὅπως ἔτυχεν, ἀλλὰ γραμμάτων ἱερῶν τοῖς μυρεψοῖς, ὅταν ταῦτα μιγνύωσιν, ἀναγιγνωσκομένων. τὸν δ᾽ ἀριθμόν, εἰ καὶ πάνυ δοκεῖ τετράγωνος ἀπὸ τετρα-
F γώνου καὶ μόνος ἔχων τῶν ἴσων ἰσάκις ἀριθμῶν τῷ χωρίῳ τὴν περίμετρον ἴσην ἀγαγέσθαι προσηκόντως ἐλάχιστα ῥητέον εἴς γε τοῦτο συνεργεῖν, ἀλλὰ τὰ πλεῖστα τῶν συλλαμβανομένων ἀρωματικὰς ἔχοντα δυνάμεις γλυκὺ πνεῦμα καὶ χρηστὴν μεθίησιν ἀναθυμίασιν, ὑφ᾽ ἧς ὅ τ᾽ ἀὴρ τρεπόμενος καὶ τὸ σῶμα διὰ τῆς πνοῆς κινούμενον λείως καὶ προσηνῶς ὑπνοῖ τε καὶ κρᾶσιν ἐπαγωγὸν ἴσχει καὶ τὰ λυπηρὰ καὶ σύντονα τῶν μεθημερινῶν φροντίδων ἄνευ μέθης οἷον ἅμματα χαλᾷ καὶ διαλύει· καὶ τὸ φαντα-
384 στικὸν καὶ δεκτικὸν ὀνείρων μόριον ὥσπερ κάτοπτρον ἀπολεαίνει καὶ ποιεῖ καθαρώτερον οὐδὲν ἧττον ἢ τὰ κρούματα τῆς λύρας, οἷς ἐχρῶντο πρὸ τῶν ὕπνων οἱ Πυθαγόρειοι, τὸ ἐμπαθὲς καὶ ἄλογον τῆς ψυχῆς ἐξεπᾴδοντες οὕτω καὶ θεραπεύοντες. τὰ γὰρ ὀσφραντὰ πολλάκις μὲν τὴν αἴσθησιν ἀπολείπουσαν ἀνακαλεῖται, πολλάκις δὲ πάλιν ἀμβλύνει καὶ κατηρεμίζει διαχεομένων ἐν τῷ σώματι τῶν

8 τῶν ἴσων — ἀριθμῶν W: τὸν ἴσον — ἀριθμὸν 9 ἀγαγέσθαι] ἀγαπᾶσθαι W 10 ἀλλὰ τὰ Marklandus: ἅμα 14 λείως R: δεῖ ὡς προσηνῶς M: πρὸς ἡμᾶς ὑπνοῖ τε καὶ *: ὑπινοῦται καί. cf. p. 383b

ἀναδομάτων ὑπὸ λειότητος· ὥσπερ ἔνιοι τῶν ἰατρῶν τὸν ὕπνον ἐγγίγνεσθαι λέγουσιν, ὅταν ἡ τῆς τροφῆς ἀναθυμίασις οἷον ἕρπουσα λείως περὶ τὰ σπλάγχνα καὶ ψηλαφῶσα ποιῇ τινα γαργαλισμόν. τῷ δὲ B κῦφι χρῶνται καὶ πώματι καὶ κράματι· πινόμενον γὰρ δοκεῖ τὰ ἐντὸς καθαίρειν, *** χρὴ μαλακτικόν. ἄνευ δὲ τούτων ῥητίνη μέν ἐστιν ἔργον ἡλίου καὶ σμύρνα πρὸς τὴν εἵλην τῶν φυτῶν ἐκδακρυόντων. τῶν δὲ τὸ κῦφι συντιθέντων ἔστιν ἃ νυκτὶ χαίρει μᾶλλον, ὥσπερ ὅσα πνεύμασι ψυχροῖς καὶ σκιαῖς καὶ δρόσοις καὶ ὑγρότησι τρέφεσθαι πέφυκεν. ἐπεὶ τὸ τῆς ἡμέρας φῶς ἓν μέν ἐστι καὶ ἁπλοῦν καὶ τὸν ἥλιον ὁ Πίνδαρος ὁρᾶσθαί φησιν 'ἐρήμας δι' αἰθέρος'· ὁ δὲ νυκτερινὸς ἀὴρ κρᾶμα καὶ σύμμιγμα πολλῶν γέγονε φώτων καὶ δυνάμεων, οἷον σπερμάτων εἰς C ἓν ἀπὸ παντὸς ἄστρου καταρρεόντων. εἰκότως οὖν ἐκεῖνα μὲν ὡς ἁπλᾶ καὶ ἀφ' ἡλίου τὴν γένεσιν ἔχοντα δι' ἡμέρας, ταῦτα δ' ὡς μικτὰ καὶ παντοδαπὰ ταῖς ποιότησιν ἀρχομένης νυκτὸς ἐπιθυμιῶσι.

1 ἀναδομάτων *: ἀναλωμάτων 4 ποιῇ Marklandus: ποιεῖ 6 lacuna 8—9 litt. in E χρὴ] χρῆμα R 8 σμύρνα Squirius: σμύρναν εἵλην R: σελήνην 13 Πίνδαρος] Olymp. I 6 ἐρήμας Pindarus: ἐρήμης

CORRIGENDA

In textu p. 83, 16 *στρατευόμενον* (Kurtz, Miscellen. Leipz. 1888. quam dissertationem bibliopola meus Erlangensis absoluto fere opere misit) p. 98, 6 *προπεσὼν* cum Aldina (idem) p. 118, 6 *εἶχεν* (idem: *ἔχειν*) 143, 21 *λέγοντος πλείω, ἐγέλασε* (idem) 156, 26 *βλάπτωμεν* 170, 7 *εἶπέ* 172, 16 *βούλονται* 195, 9 *αὐτοὺς* 238, 12 *προύχοντος* (: *προέχοντος*) 245, 10 *κομᾶν καὶ χρυσοφορεῖν* (Meziriaci coniecturam confirmat Arist. Fragm. 611, 13 ed Rose. Teubner). 247, 16 *ἐγίγνωσκεν* 288, 21 *Φητιαλέων* 402, 4 *θρίαμβοι*

In Adnotatione ad p. 26, 20 scr. vid. *συμπαίζοντας* pro *οὐ παίζοντας*, eodem sensu quo dicitur *συμπαιγμός* et *συμπαιγνία* p. 118, 15 *διακωλύσειν* Kurtz 220, 21 *ἀπίασιν* Cobetus 231, 28 *φιλονικίας*? 236, 23 malim *αὑτῆς* 239, 22 *Θηβῶν*? 252, 26 *ἀπὸ ταὐτομάτου*? 265, 5 *Λίβιος*] 288, 21 *Φητιαλέων* 342, 9 *διοσημίας* et 343, 23 *διοσημιῶν* dat codex E 410, 18 *μαρακάνδαν τοῖς* 428, 24 *κατὰ τὸ* Emperius: *καὶ τὸ* 443, 15 *δεδυκυίας ἐξώρυξε* idem 453, 4 *προσέχονται* Bruhn

Monendum denique est coniecturas quasdam, velut p. 156, 6 *ταῦρον ἔφη* sqq. p. 395 b *παῖξαι* pro *πέμψαι* cett. me multo ante Car. Schmidtium et Ev. Bruhnium iam protulisse

Primi voluminis errores in locis laudatis omnes a Herchero orti corrigantur ita: X 210 (p. 39, 3) Nauck p. 499 (p. 82, 1) id. p. 697 (p. 140, 20) *Λ* 653 (p. 161, 20) Eur. Phoen. 1682 (p. 174, 22) p. 215 e (p. 203, 24) Nauck p. 524 (p. 205, 3) Stob. XXXIII, 9 (p. 218, 10) Stob. XIX, 7 (p. 218, 21) Nauck p. 251 (p. 228, 22) id. p. 697 (p. 239, 9) Eur. Phoen. 524 (p. 307, 9) Nauck p. 508 (p. 309, 11)

Ceterum in *δευτέραις φροντίσι* quae aut a me observata aut ab aliis ad primum volumen pertinent addenda et corrigenda ac multa alia, quae sine ulla dubitatione ad reliqua volumina pertinebunt, ea omnia sub unum conspectum multo et commodius et accuratius in ultima praefatione indicata erunt.

B. G. Teubners
Schulausgaben griechischer und lateinischer Schriftsteller mit deutschen Anmerkungen.

	M. Pf.
Aeschylos' Agamem. v. *Enger*. 2. Aufl.	2.25
—— **Perser** von *Teuffel*. 3. Aufl. .	1.20
—— **Prometheus** v. *Wecklein*. 2. Aufl.	1.80
—— do. —— v. *Schmidt*	1.20
Aristophanes, die Wolken v. *Teuffel*. 2. Aufl. von *Kaehler*.	2.70
Arrian's Anabasis v. *Abicht*. I. Heft	1.80
—— —— II. Heft	2.25
Buchholz, Anthologie. I. 4. Aufl.	1.80
—— do. —— II. 3. Aufl.	1.80
Caesar de bello Gallico von *Doberenz*. 8. Aufl.	2.25
—— **de bello civili** von *Doberenz*. 5. Aufl.	2.40
Chrestomath. Ciceron. von *Lüders*. 2. Aufl.	2.70
Cicero de oratore v. *Piderit*. Cpl. 5. Aufl.	4.50
Einzeln: Buch I à 1.80. Buch II u. III . . . . à	1.50
—— **partitiones orator.** v. *Piderit*	1.—
—— **Brutus** von *Piderit*. 2. Aufl.	2.25
—— **Orator** von *Piderit*. 2. Aufl.	2.—
—— **Reden:**	
—— **für Plancius** v. *Köpke*. 3. Aufl.	1.20
—— **für Sestius** von *Koch*. 2. Aufl.	1.—
—— **für Roscius** v. *Richter*. 3. Aufl. v. *Fleckeisen*.	—.90
—— **für Milo** v. *Richter*. 3. Aufl. v. *Eberhard*	—.90
—— **für Murena** von *Koch*. 2. Aufl. von *Landgraf*.	—.90
—— **für Sulla** von *Richter*. 2. Aufl. von *Landgraf*.	—.75
—— **gegen Verres.** IV. Buch von *Richter*. 3. Aufl. v. *Eberhard* .	1.50
—— do. —— V. Buch. von *Richter*. 2. Aufl. von *Eberhard*	1.20
—— **Catilinar. Reden** von *Richter*. 5. Aufl. v. *Eberhard*	1.—
—— **für Marcellus etc.**, v. *Richter*. 3. Aufl. von *Eberhard*	—.90
—— **divinatio in Caecil.** v. *Richter* 2. Aufl. v. *Eberhard*	—.45
—— **I. u. II. Philippische Rede** v. *Koch*. 2. Aufl. v. *Eberhard* .	—.90
—— **für Archias** v. *Richter*. 3. Aufl. v. *Eberhard*.	—.45
—— **üb. d. Imperium d. Pompeius** v. *Richter*. 3. Aufl. v. *Eberhard*	—.60
—— **Briefe** von *Frey*. 4. Aufl. .	2.25
—— **Tusculanen** v. *Heine*. 3. Aufl.	
I. Heft. lib. I. II.	1.20
II. Heft. lib. III—V	1.50
—— **de officiis** von *v. Müller*. .	2.25
—— **de natura deorum** v. *Goethe*.	2.40
—— **Cato maior** v. *Meifsner*. 3. Afl.	—.60

	M. Pf.
Cicero de finibus bonor. v. *Holstein*	2.70
—— **Somnium Scipionis** v. *Meifsner*. 3. Aufl.	—.45
—— **Laelius** v. *Lahmeyer*. 4. Aufl.	—.60
—— —— v. *Meifsner*	—.60
—— **de legibus** von *Du Mesnil* . .	3.90
Cornelius Nepos v. *Siebelis*. 11. Aufl. von *Jancovius*.	1.20
Curtius Rufus v. *Vogel*. I. Bd. 3. Aufl.	2.10
—— do. —— II. Band. 2. Aufl. .	2.25
Demosthenes v. *Rehdantz*. I. Heft. 7. Aufl. v. *Blafs*	1.20
—— do. —— II. Heft. I. Abth. 5. Aufl.	1.50
—— do. —— II. Heft. II. Abth. 4. Aufl.	1.80
Euripides v. *Kinkel*. I. Phoenissae	—.75
—— von *Wecklein*. I. Medea. 2. Aufl.	1.80
—— —— II. Iphigenia in Tauris. 2. Aufl..	1.50
—— —— III. Bacchen	1.50
—— —— IV. Hippolytus.	1.50
Herodot v. *Abicht*. I. Band. I. Heft. Buch I. 4. Aufl..	1.80
—— do. —— I. Band. II. Heft. Buch II. 3. Aufl.	1.50
—— do. —— II. Band. I. Heft. Buch III. 3. Aufl..	1.50
—— do. —— II. Band. II. Heft. Buch IV. 3. Aufl.	1.50
—— do. —— III. Band. Buch V und VI. 3. Aufl..	1.80
—— do. —— IV. Bd. Bch. VII. 3. Aufl.	1.80
—— do. —— V. Bd. Bch. VIII u. IX. 3. Aufl.	1.80
Homer's Odyssee von *Ameis* u. *Hentze*. I. 1. (Ges. I—VI.) 8. Aufl. .	1.35
—— do. —— I. 2. (VII—XII.) 8. Aufl.	1.35
—— do. —— II. 1. (XIII—XVIII.) 7. Afl.	1.35
—— do. —— II. 2. (XIX—XXIV.) 6. Afl.	1.35
—— do. —— Anhang. 1. Heft. 3. Afl.	1.50
—— do. —— do. 2. Heft. 3. Afl.	1.20
—— do. —— do. 3. „ 2. Afl.	1.20
—— do. —— do. 4. „ 2. Afl.	1.20
—— **Ilias** v. *Ameis* u. *Hentze*. I. 1. 4. Afl.	—.90
—— do. —— I. 2. 3. Aufl.. . . .	—.90
—— do. —— I. 3. 3. Aufl.. . . .	1.20
—— do. —— I. 4. 3. Aufl.. . . .	1.20
—— do. —— II. 1. 2. Aufl. . . .	1.20
—— do. —— II. 2. 2. Aufl. . . .	1.20
—— do. —— II. 3. 2. Aufl. . . .	1.20
—— do. —— II. 4. 2. Aufl. . . .	1.50
(Jedes Heft à 3 Gesänge.)	
—— do. —— Anhang. 1. Heft 2. Aufl.	1.50
—— do. —— Anhang. 2. Heft. 2. Aufl.	1.50
—— do. —— Anhang. 3. Heft. 2. Aufl.	1.80
—— do. —— Anhang. 4. Heft. 2. Aufl.	1.20
—— do. —— Anhang. 5. Heft.. . . .	1.20
—— do. —— Anhang. 6. Heft.. . . .	1.50

	M. Pf.
Homer's Ilias von *Ameis* u. *Hentze*. Anhang. 7. Heft.	1.50
—— do. —— Anhang. 8. Heft. . .	1.80
—— Ilias v. *La Roche*. 2. u. 3. Aufl. 6 Teile, jeder [4 Gesänge] . à	1.50
Horaz Oden von *Nauck*. 12. Aufl.	2.25
——Satir. u. Epist. v. *Krüger*. 12. Afl. I. Teil: Satiren.	1.50
—— Sermonen von *Fritzsche*. I.	2.40
—— —— II.	2.—
Jacoby, Anthologie I. II. . . . à	1.50
—— —— beide Teile in 1 Band .	1.80
Isokrates v. *Schneider*. I. Bd. 3. Aufl.	1.20
—— do. —— II. Bändchen. 3. Aufl.	1.80
Livius, Buch I. Von *M. Müller*. 2. Aufl.	1.50
—— Buch II. Von *M. Müller* . .	1.50
—— Buch III. Von *Luterbacher* .	1.20
—— Buch IV von *Luterbacher* .	1.20
—— Buch V von *Luterbacher* . . .	1.20
—— Buch VI. Von *Luterbacher* .	1.20
—— Buch VII von *Luterbacher* . .	1.20
—— Buch XXI v. *Wölfflin*. 3. Aufl.	1.20
—— Buch XXII v. *Wölfflin*. 2. Aufl.	1.20
—— Buch XXIII von *Wölfflin* u. *Luterbacher*.	1.20
—— Buch XXIV von *H. J. Müller*	1.—
—— Buch XXV von *H. J. Müller*	1.20
—— Buch XXVI von *Friedersdorff*	1.20
—— Buch XXVII von *Friedersdorff*	1.20
—— Buch XXVIII v. *Friedersdorff*	1.20
Lucian v. *Jacobitz*. I. Bändchen. 2. Aufl.	1.20
—— do. —— II. Bändch. 2. Aufl.	1.20
—— do. —— III. Bändchen . . .	1.20
Lykurg's Rede g. Leokrat. v. *Rehdantz*	2.25
Lysias' Reden v. *Frohberger*. I. Bd. 2. Auflage v. *Gebauer*	4.50
—— do. —— II. u. III. Band . à	1.50
—— do. —— kleinere Ausgabe . .	3.—
Auch in 2 Heften . . . . . à	1.50
Ovid's Metamorphosen v. *Siebelis* u. *Polle*. I. Heft. 14. Aufl. .	1.50
—— —— II. Heft. 12. Aufl.. . .	1.50
—— Fasten von *Peter*. I. 3. Aufl.	2.70
—— do. —— II. 3. Aufl.	—.90
Phaedrus v. *Siebelis*. 5. Aufl. v. *Eckstein*	—.75
Platon's Schriften. I. Bdchn.: Die Vertheidigungsrede d. Sokrates u. Kriton von *Cron*. 9. Aufl. .	1.—
—— do. —— II. Bdchn.: Gorgias von *J. Deuschle*. 4. Aufl. . . .	2.10
—— do. —— Anhang v. *Deuschle*	—.90
—— do. —— III. Bdchn.: Laches von *Cron*. 4. Aufl.	—.75
—— do. —— III. 2: Euthyphron von *M. Wohlrab*. 2. Aufl. . . .	—.45
—— do. —— IV. Bdchn.: Protagoras von *J. Deuschle*. 4. Aufl.	1.50
—— do. —— V. Bdchn.: Symposion von *Hug*. 2. Aufl.	3.—
—— do. —— VI. Bdchn.: Phaedon von *Wohlrab*. 2. Aufl.	1.50
Plauti Trinum. v. *E. J. Brix*. 4. Aufl.	1.20
—— Captivi v. *E. J. Brix*. 4. Aufl.	1.—
—— Menaechmi v. *E. J. Brix*. 3. Afl.	1.—
—— Miles gloriosus v. *Brix*. 2. Afl.	1.50
Plutarch's Biographien. I. Philopoemen u. Flamininus v. *Siefert*. 2. Aufl. von *Blafs*	—.90
—— do. —— II. Timoleon u. Pyrrhos v. *Siefert*. 2. Aufl. von *Blafs* .	1.50
—— do. —— III. Themistokles und Perikles von *Blafs*. 2. Aufl.	1.50
—— do. —— IV. Aristides u. Cato von *Blafs*	—.90
—— do. —— V. Agis und Kleomenes von *Blafs*	—.90
—— do. —— VI. Tib. et G. Gracchus von *Blafs*	—.90
Quintilian. X. Buch. Von *G. T. A. Krüger*. 3. Aufl	1.—
Sophokles v. *Wolff* u. *Bellermann*. I. Ajax. 4. Aufl.	1.50
—— do. —— II. Electra. 3. Aufl.	1.20
—— do. —— III. Antigone. 4. Aufl.	1.20
—— do. —— IV. König Oedipus. 3. Aufl.	1.20
—— do. —— V. Oidipus auf Kolonos	1.50
Supplement. lect. graec. v. *Hoffmann*	1.50
Tacitus Histor. von *Heraeus*. I. 4. Aufl..	1.80
—— do. —— II. 3. Aufl..	1.80
—— Annalen v. *Draeger*. I. 5. Aufl.	2.40
—— —— II. 3. Aufl..	2.25
—— Agricola von *Draeger*. 4. Aufl.	—.60
—— dialogus von *Andresen*. 2. Aufl.	—.90
Terentius Hauton Timorumenos von *Wagner*. [Vergriffen.] . .	1.20
—— Phormio von *Dziatzko*. 2. Aufl.	1.50
—— Adelphoe von *Dziatzko* . . .	1.50
Testament. nov. graece v. *Zelle*. I.	1.80
Theokrit v. *Fritzsche*. 3. Aufl. v. *Hiller*	2.70
Thukydides von *Böhme*. I. Band. 1. Heft. 5. Aufl. v. *Widmann*.	1.50
—— do. —— I. Bd. 2. Hft. 4. Aufl.	1.50
—— do. —— II. „ 1. „ 4. Aufl. von *Widmann*	1.50
—— do. —— II. Bd. 2. Hft. 3. Aufl.	1.50
Vergils Aeneis von *Kappes*. I. Heft. 4. Aufl.	1.20
—— do. —— II. 3. Aufl.	1.20
—— do. —— III. 2. Aufl.	1.20
—— do. —— IV. 2. Aufl.	1.20
—— Bucolica u. Georgica v. *Kappes*	1.50
Xenophons Anabasis v. *Vollbrecht*. 2 Bdchn. 8. u. 7. Aufl. . . à	1.50
—— Memorabilien von *R. Kühner*. 4. Aufl..	1.50
—— Cyropädie von *Breitenbach*. 2 Hefte. 3. Aufl.. . . . . . à	1.50
—— Agesilaus v. *Güthling*	1.50
—— Griechische Geschichte von *Büchsenschütz*. I. Bdchn. 5. Aufl.	1.50
—— do. —— II. Bdchn. 4. Aufl.	1.50

UNIVERSITY OF TORONTO
LIBRARY

Do not remove the card from this Pocket.

Acme Library Card Pocket
Under Pat. "Ref. Index File."
Made by LIBRARY BUREAU, Boston

LGr
P737mB

Plutarch. Moralia
Moralia, ed. by Bernardakes.
Vol. 2

47653